A 470864

Digitized by Google

RHETORES GRAECI

12C301

EX

CODICIBUS FLORENTINIS MEDIOLANENSIBUS MONACENSIBUS NEAPOLITANIS PARISIENSIBUS ROMANIS VENETIS TAURINENSIBUS ET VINDOBONENSIBUS

EMENDATIORES ET AUCTIORES EDIDIT

SUIS ALIORUMQUE ANNOTATIONIBUS INSTRUXIT INDICES LOCUPLETISSIMOS ADIECIT

CHRISTIANUS WALZ

PROFESSOR TUBINGENSIS.

VOL. VII.

Pars II.

STUTTGARTIAE ET TUBINGAE
sumtibus J. G. COTTAE.
LONDINI
apud BLACK, YOUNG et YOUNG. Tavistock Street.
LUTETIAE
apud FIRMIN DIDOT.
MDCCCXXXIV.

Digitized by Google

TUBINGAE, typis Hopferi de l' Orme.

Digitized by Google

Rhet. G 7-8-40 J.A

ΕΡΜΟΓΕΝΟΥΣ
ΤΕΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.

ΠΕΡΙ ΠΡΟΟΙΜΙΩΝ ΤΟΜΟΣ ά.

Cap. I.

Περὶ τῶν ἐξ ὑπολήψεων[1] *προοιμίων.*

ά. Προοίμιόν ἐστι λόγος παρασκευάζων τὸν ἀκροατὴν εἰς ὑποδοχὴν τῆς ὑποθέσεως· καλῶς δὲ προοίμιον ἔλεγον οἱ παλαιοὶ τὰ παρὰ τῶν[2] *κιθαρῳδῶν ἐν ἀρχῇ λεγόμενα· τέλος δὲ αὐτοῦ τὸ παρασχεῖν εὐήκοον πρὸς τὰ λοιπὰ τὸν ἀκροατήν.*

β. Εἰς τὸ αὐτό·[3] *Ἐπήνεσεν ἐν ταὐτῷ καὶ τὰ καθόλου προοίμια, καλλίστην εὕρεσιν τὴν περὶ αὐτῶν εἰρηκώς· οὐ γὰρ ἦν αὕτη καλλίστη, εἰ μὴ ἐκεῖνα καλὰ, καὶ εἰκότως· τοῦ γὰρ ὅλου λόγου ζῴῳ ἀτεχνῶς ἐοικότος, τὸ προοίμιον τῇ κεφαλῇ*[4] *τούτου ἀναλογεῖ· ἄλλως τε καὶ ἄτεχνον τὸ ἀπροοιμιάστως ἐμβάλλειν ταῖς ὑποθέσεσιν, μὴ πρότερον προηυτρεπικότας*[5] *περὶ ὧν λέξομεν. Καλλίστη οὖν καὶ ἀναγκαιοτάτη ἡ περὶ αὐτῶν εὕρεσις· ἐπήνεσε δὲ κατὰ τὸ ἐξαίρετον καὶ τὸ κάλλιστον αὐτῶν μέρος, τὸ ἐξ ὑπολή-*

1 Mon. *περὶ τῶν ἐπιπλήξεων προοιμίων.* 2 *τῶν* Mon. om. est in Farn. et Med. 3 *εἰς ὸ αὐτὸ* ex Med. recepi, abest a Mon. Par. 1. et Farn. sub hac et sub sq. littera. 4 Mon. Farn. Med. *τῷ κεφαλαίῳ.* Par. 1. *κεφαλῇ.* 5 Mon. et Farn. *προηυτρεπικότος.* Med. *—κότας.*

ψεων πραγματικώτατον αὐτὸ [6] καὶ πολυϋλότατον διαγνοὺς, οὗ φησι μετ' ὀλίγα τὴν ἀρετὴν καὶ ἐν τοῖς ἄλλοις δείκνυσθαι. [7]

γ'. Εἰς τὸ αὐτό. Πρώτην εἶπε διότι καὶ ἄλλαι εἰσίν· εἰπὼν δὲ πρώτην τὰς διαφόρους ποιότητας ἐδήλωσε τῶν ἐφεξῆς προοιμίων· ἡ γὰρ ἀπαρίθμησις τὸ σχῆμα τοῦτο δηλοῖ.

δ'. Εὑρέσεως τετύχηκεν. Εὕρεσίς ἐστι λόγος νοημάτων καὶ ἐπιχειρημάτων εὐπορίαν ἔχων ἢ ἔννοιαν· ἤτοι νοημάτων ἁρμοδίων εὐπορίαν τῷ ὑποκειμένῳ προβλήματι ἤγουν πράγματι. Ἠπόρησαν δέ τινες, ποίαν εἴληχε μετουσίαν κεφάλαιον καὶ εὕρεσις, καὶ τίσιν ἔργοις τὸ κεφάλαιον γίνεται, [8] καὶ τί τούτων ἑκάτερον καὶ πῶς νοητέον τὸ [9] ἐν τῷ στάσεων βιβλίῳ ὑπὸ τοῦ τεχνογράφου ῥηθέν. Ἔστιν οὖν σχεδὸν ὁ αὐτὸς τῷ [10] περὶ εὑρέσεως. Κεφάλαιον τοίνυν ἐστὶ μέρος λόγου ἐκ νοημάτων διαφόρων πρὸς ἕν τι τεινόντων τὸ κατασκευαζόμενον· εὕρεσις δὲ διανοημάτων διαφόρων εὐπορία· κοινωνοῦσι δὲ ἀλλήλοις, καθὸ

---

6 αὐτὸ abest a Mon. Farn., recepi ex Med. Litt. ά. usque ad litt. ζ' in Ven. in brevius contractae leguntur ita: Ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις καλλίστης καὶ πραγματικωτάτης εὑρέσεως τετύχηκεν· πρῶτον εἰπὼν τὰς διαφόρους ποιότητας τῶν ἐφεξῆς προοιμίων ἐδήλωσεν· ἡ γὰρ ἀπαρίθμησις τὸ σχῆμα τοῦτο δηλοῖ· εὕρεσις δέ ἐστι λόγος νοημάτων καὶ ἐπιχειρημάτων εὐπορίαν ἔχων, ἢ ἔννοιαν ἤγουν εὐπορίαν νοημάτων ἁρμοδίων τῷ ὑποκειμένῳ πράγματι. Πραγματικωτάτης δὲ ἀντὶ τοῦ πολυϋλοτάτης, καὶ γὰρ αὐτὸς προϊὼν ἐρεῖ· τῶν ἐξ ὑπολήψεως ἡ ἀρετὴ πανταχοῦ φαίνεται· ἐν προβλήμασι γὰρ ἢ κρίνομεν ἢ βουλευόμεθα. Οὐχὶ τὸ πανηγυρικὸν ἐκβαλεῖν βουλόμενος τοῦ περὶ προοιμίου ταῦτά φησιν κ. τ. λ. 7 Sequitur in Med. πραγματικωτάτης, κοινοτάτης, πορίμωτάτης, πολυϋλοτάτης· ὕλη γὰρ ἐνταῦθα σημαίνει τὰ πράγματα· οὕτω δὲ εἶπεν ἐξαίρων τὰ ἐξ ὑπολήψεων προοίμια. Idem legitur inter scholia minora in codd. Parr. et Farn. 8 Farn. ut saepe γράφεται. 9 Farn. τῷ. 10 Mon. τὸ, Med. Farn. τῷ.

Digitized by Google

πρὸς ἕνα σκοπὸν τὸν προκείμενον φέρονται· δεῖ γὰρ συμφυῶς τῇ ὑποθέσει ἑκάτερον ἐξετάζεσθαι. εἰ γὰρ ἄλλο μὲν εἴη τὸ ζητούμενον, ἄλλο δὲ τὸ κατασκευάζον, καὶ ἢ ἀσύστατον ἂν εἴη τὸ ζήτημα, ἢ ἀμαθὴς ὁ μελετῶν, οἷόν τί φημι, εἰ [11] προκέοιτο στοχαστικὴ ζήτησις εἰς ἐξέτασιν, ἡμεῖς δὲ ἀντίληψιν ἤ τινος ἑτέρας κεφάλαιον στάσεως εἰσαγάγωμεν, ἀσύστατον [12] εὐθέως τὸ ζήτημα· ἢ εἰ κοινὸν τόπον μέλλοντες ἐρεῖν τὰ τῆς ἀνασκευῆς [13] περιλάβωμεν κεφάλαια, παρὰ τὴν τεχνολογίαν ὁ λόγος προβήσεται. Κατὰ ταῦτα μὲν οὖν κοινωνοῦσι, διΐστανται δὲ τούτοις· τὸ μὲν κεφάλαιον ὡρισμένον ἐστὶ καὶ ἀεὶ φυλαττόμενον, οἷον ἐπὶ τῆς πραγματικῆς δίκαιον καὶ [14] συμφέρον καὶ νόμιμον. ταῦτα πάντα ἐν ἑκάστῃ στάσει πραγματικῇ ἐμπεσεῖται, καὶ πᾶς μεταχειριζόμενος χρήσεται, ἡ δὲ εὕρεσις ἀόριστος καὶ πρὸς τὴν ἑκάστου φαντασίαν ἐγγινομένη· διὸ οὐ πάντες χρήσονται τῇ αὐτῇ, ἀλλὰ πολλοὶ [15] μὲν εὐπορωτέρᾳ, [16] οἱ δὲ στενωτέρᾳ, πρὸς τὴν φύσιν μετροῦμενοι. ἔτι τὰ μὲν κεφάλαια περιέχει τὴν εὕρεσιν. ἡ δὲ ταῦτα [17] οὔ, ἀλλὰ περιέχεται· καὶ τὸ πάντων μέγιστον, ὅτι τὰ μὲν κεφάλαια ἀπὸ τῶν ἀγώνων ἀρχόμενα εἰς τοὺς ἀγῶνας καταλήγει, ἡ δὲ εὕρεσις καὶ τῇ παρεκβάσει, καὶ τοῖς ἄλλοις μέρεσι τοῦ λόγου πεπλήρωται. [18] Πρὸς δὲ τὸ ἐν τῷ περὶ στάσεων τῷ τεχνικῷ [19] λεχθέν φαμεν, ὅτι ἐκεῖ ὁ τεχνογράφος ἔοικεν ἀντιπίπτοντος λόγῳ [20] κεχρῆσθαι· ἐπειδὴ γὰρ σκοπὸν προὔθετο

11 Mon. οἱ et mox στοχαστικόν. corrigunt Med. Farn. 12 Mon. ἀσύστατος. 13 Mon. ἀνάγκης. Med. Farn. ἀνασκευῆς. 14 καὶ Mon. Farn. om., recepi ex Med. 15 Mon. πολὺ, post μὲν in Mon. Farn. legitur δὲ, quod Med. om. 16 Mon. et Farn. εὐπορώτεραι, οἱ δὲ στενώτεραι, lectio forsan nata est ex ι adscripto. Med. bis —τέρα. sine ι subscripto. 17 ταῦτα Farn. om. 18 Mon. κεκλήρωται. 19 Mon. περιστάσεων τεχνικῶν, corr. Med. Farn. 20 λόγῳ Farn. λόγου Mon. λύσει Med.

Digitized by Google

περὶ διαιρέσεως πολιτικῶν ζητημάτων λέγειν, ἤμελλε δὲ καί τινα τῆς εὑρέσεως [21] προσθεῖναι τῷ λόγῳ, ἵνα μὴ τῷ σκοπῷ δοκῇ μαχόμενα διαπράττεσθαι, ἐπεσημήνατο φήσας, ἐξ ἀνάγκης τοῦτο παρακολουθεῖν· ἔπειτα καὶ τῆς ἰδίας σαφηνείας ἤγουν ἀκριβείας ὁ τεχνογράφος ἀντιποιούμενος, ἀπορῶν δὲ τῶν κεφαλαίων ἑκάστου ἰδικὸν [22] ὅρον ἀποδιδόναι· ἐπὶ γὰρ τῶν μερικῶν ἐκλείπουσιν οἱ ὅροι· βουλόμενος τοῦτο [23] σαφηνίσαι διὰ τῆς εὑρέσεως τὸ δι' ὅρων ἀδυνατῆσαν [24] ποιεῖ. [25] οἷον τῆς στοχαστικῆς ζητήσεως κεφάλαιά ἐστι τάδε, παραγραφικὸν, ἐλέγχων ἀπαίνησις, βούλησις καὶ τὰ λοιπά. Ἐν τῷ λέγειν οὖν περὶ βουλήσεως καὶ τὰς μεθόδους τοῦ κεφαλαίου παραδιδόναι ἀνάγκη περιπίπτειν καὶ τροφὴν καὶ ὅσα τοιαῦτα, καὶ ἴσως τις ἀπορήσειε, τί δήποτε εἰπὼν σχεδὸν καὶ διδάξας, ὅτι ἔν τισι διαλλάττει, ἐπήγαγε· [26] πλὴν ὅσον οὐ [27] πάντα ἔχει τὰ περὶ εὑρέσεως· φαμὲν οὖν, ὅτι τοῦτο παρίστησι τοῦ τεχνικοῦ τὴν ἀκρίβειαν· εἰπὼν γὰρ τὸ σχεδὸν ὑπόνοιαν τοῦ μὴ διαλλάττειν παρέσχετο, τῷ [28] δὲ προσθεῖναι, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως, ἐν οἷς διαφέρει ἀλλήλων ἐδήλωσεν.

ε'. Τοῖς ἐκ τῶν ὑπολήψεων καλουμένοις· [29] Πρῶτον καὶ κάλλιστον προοίμιον τὸ ἐξ ὑπολήψεων, καὶ γὰρ αὐτὸς προϊὼν ἐρεῖ, τῶν ἐξ ὑπολήψεως ἡ ἀρετὴ πανταχοῦ φαίνεται.

ς'. Διελὼν ἐκθήσομαι. Ἑκάστου προοίμιον θέλων εἰπεῖν εὕρεσιν ἐν μέρει διαιρῶν αὐτά. [30]

---

21 τῆς εὑρέσεως Mon. om. 22 Mon. ἰδιωτικόν. Farn. Par. Med. ἰδικόν. 23 Mon. Farn. Med. τοῦ. Par. τοῦτο. 24 Farn. ἀδυνατῆσαι. Mon. Med. ἀδυνατῆσαν. 25 Par. ποιῆσαι. 26 Med. Farn. διαλλάττει καὶ ἐπήγαγε. Mon. ἀπήγαγε. 27 οὐ Mon. om. 28 Codd. τοῦ. 29 Verba Hermogenis in Mon. et Farn. constanter desunt. recepi ex Med. 30 Mon. Farn. Par. διαιρῶν. Med. διαιρεῖ. Sequitur in Med. περὶ οὗ ἡ κρίσις. διὰ

ζ. Ἢ κρίνομεν ἢ βουλευόμεθα. Ἐν προβλήμασι λέγει, ἀντὶ τοῦ· ἐν ζητήμασι τοῖς ἐξεταζομένοις· οὐ τὸ πανηγυρικὸν δὲ ἐκβαλεῖν βουλόμενος τοῦ περὶ προοιμίου ταῦτά φησιν· παραλαμβάνει δὲ καὶ τοῦτο· κρίσιν γὰρ γενικῷ λόγῳ καὶ τὴν ἀγαθοῦ καὶ κακοῦ ἐπίσκεψιν δηλοῖ, ἥτινι καὶ τὴν ἐν πανηγυρικῷ λόγῳ μέτιμεν μεταχείρισιν. πρόβλημα δὲ καλεῖ, ὃ ἀνωτέρω εἶπεν ὑπόθεσιν, ὡς τοῦτο· παρίστατό τις ἐπ᾽ ἐρημίας νεοσφαγεῖ σώματι, βαστάζων ξίφος ἡμαγμένον, καὶ φεύγει φόνου.[31]

ή. Τῶν ἔξωθεν ἐμφαινομένων. Ἔξωθεν ἐμφαινόμενοί εἰσιν οἱ ἔξω τούτων πάντων, οἷον[32] οἱ πολέμιοι· ἐμφαίνονται δὲ πολλάκις μὲν ἓν, πολλάκις δὲ πλείονα, ἢ ἓν πρᾶγμα ἢ ἓν πρόσωπον, ἢ πολλὰ πρόσωπα, ἢ πολλὰ πράγματα.[33]

τούτου ἐδήλωσε τὸ δικανικὸν, βουλευτήριον δὲ διὰ τὸ συμβουλευτικὸν, τοῦ δὲ πανηγυρικοῦ οὐκ ἐμνημόνευσεν ὡς ἐν τούτοις ὄντος. Sch. min. Farn. κρίσις, διὰ τὸ δικανικὸν, βουλευτήριον διὰ τὸ συμβ· τοῦ πανηγ. δὲ οὐκ ἐμνήσθη, ὡς ὄντος ἐν τούτοις. ibid. ἢ κρίνομεν Sch. τὸ πανηγυρικὸν δὲ δηλονότι ἐν ἑκατέροις εὑρίσκεται. τῶν κατηγορούντων Sch. τῶν συνηγορούντων τοῖς κατηγόροις, τῶν ἀπολογουμένων· τῶν συνηγορούντων τοῖς φεύγουσι. 31 Med. φόνου φεύγει. 32 οἷον ex Par. 1. recepi. 33 Sch. min. in Par. 1. τοῦτό φησιν, ὅτι δεῖ σκοπεῖν τὸν ῥήτορα τὰς ὑπολήψεις τῶν δικαστῶν, ἃς ἔχουσι περὶ τὸ πρόσωπον ἑκάστου· εἶτα ἑρμηνεύων αὐτὸς ἑαυτὸν ποίων λέγει· ἐπάγει τὸ κατὰ μέρος, ὅτι ἑκάστου τῶν κατηγορούντων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα· διὰ γὰρ (γὰρ Med. et Farn. om.) τοῦτο πάντως καὶ ἐξ ὑπολήψεως κέκληται, ὅτι τῶν δικαζόντων, τὴν περὶ αὐτὰ ὑπόληψιν ὀφείλομεν διαγινώσκειν· γνοὺς γὰρ, ὁποῖόν ἐστι τὸ πρᾶγμα, καὶ ὅπως ἐπ᾽ αὐτῷ διάκεινται οἱ δικάζοντες, καὶ ποῖαι αὐτοῖς ὑπολήψεις (Med. ποία αὐτοῖς ὑπόληψις) περὶ τὰ ῥηθέντα πρόσωπα, θαυμάσιον οἷον τὸ προοίμιον ἐργάσῃ. Eadem exstant in Farn. inter majorum scholiorum contextum post litt. ς'. et in Med. qui omnia miscuit, post litt. ή. sed uterque post ἐργάσῃ addit: τῇ πρὸς ἐκείνους

καὶ ἐγχέλεις πεπλεκομένους ἀλλήλοις ἔλκειν. ἔχεται δὲ τῶν ἀφροδισίων καὶ ἐν τῇ θαλάττῃ καὶ ἐν τῇ γῇ· καὶ γὰρ ἐν τῇ γῇ ἐπὶ τὰς ὀπὰς ἐρχόμενοι ἀλλήλοις συμπλέκονται. ἐν δὲ τῇ θαλάττῃ ἐπὶ τὰς πέτρας ἀναβαίνουσιν ἐπὶ τὸ ἀφρόδισιον. ἐν δὲ

ζ. Ἢ κρίνομεν ἢ βουλευόμεθα. Ἐν τοῖς
μασι λέγει, ἀντὶ τοῦ· ἐν ζητήσεσι τῶν ἐξεταζομένων· α
τὸ παυηγυρικὸν δὲ ἐκβαλεῖν βουλόμενος τὰ περὶ τῶν
μίου ταῦτά φησιν· παραλιμπάνω δὲ καὶ τὰ
γὰρ γενικῷ λόγῳ καὶ τὴν ἀγαθοῦ καὶ κακοῦ
δηλοῖ, ἥτινι καὶ τὴν ἐν παυηγυρικῷ λόγῳ
χείρισιν. πρόβλημα δὲ καλεῖ, ὃ ἀντὶ τοῦ
ὡς τοῦτο· παρίσταταί τις ἐπ' ἐρημίας
βαστάζων ξίφος ἠμαγμένον, καὶ φησὶ φόνου.

ἡ. Τῶν ἔξωθεν ἐμφαινομένων. Ἔστιν ἃ
νούμενοί εἰσιν οἱ ἔξω τοίτων πάντων, εἴτε
καίνονται δὲ π
ῆμα ἢ ἐν



ϑ'. Πρῶτον μὲν οὖν.[34] Οἱ δικασταὶ ἤτοι εὐμενεῖς εἰσιν, ἢ οὐ, ἢ οὐδέτερον· ἂν μὲν οὖν εὐμενεῖς ὦσιν ἡμῖν κ. τ. λ. Vol. V. p. 370. v. 22. — 373. v. 9.

ιβ'. Ὁρῶν[1] ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι. Ἀπὸ τῶν δικαζόντων τὸ πρῶτον προοίμιον· γράφει δὲ τὰ προοίμια ἀπὸ τῶν δικαζόντων, οἵτινές εἰσιν οἱ κριταὶ, ἀπὸ τῶν κατηγόρων, οἵτινές εἰσιν οἱ διώκοντες; ἀπὸ τῶν ἀπολογουμένων, οἵτινές εἰσιν οἱ φεύγοντες, ἀπὸ τῶν ἐχόντων αὐτὰ τὰ πράγματα[2] καὶ τὰ ἐγκλήματα.[3]

ιγ'. Εἰ δὲ φαῦλον εἴη τὸ πρᾶγμα·[4] Ὡς ἐπὶ φύνου ἁπλῶς, χαλεπὸν γὰρ καὶ ἀκοῦσαι τοῦτο, καὶ πρὸς θυμὸν ἐπίφορον παρασκευάσαι.[5] Οἰκτός γε μὴν οἷς τὰ ἀνήκεστα συμβέβηκε πεπονθέναι παρακολουθεῖ, ἤτοι

εὐνοίᾳ κακῶς ἡμᾶς ποιῶν· εἰ δὲ ἰδίαν πρὸς ἡμᾶς — — — — χρῆζειν τὸ πρᾶγμα λέγοντες λόγον, [T. V. p. 371. v. 4. — 372. v. 9. cum nota.] contra una cum Mon. litteram ϑ', abrumpunt in verbis: εἰ μὲν οὖν τῇ πρὸς ἐκεῖνον φιλίᾳ, ῥητέον. quibus Par. 1. recte subjungit ea, qua sinistro loco inferunt Farn. et Med. 34 Ven. add. σκοπητέον τὸ πρᾶγμα, ποταπόν ἐστι, ποταπὸν ὑπείληπται.

1 Litt. ιβ'. abest a Ven. 2 ἐχόντων αὐτὰ τὰ πράγματα Sch. min. Farn. Par. τῶν ἐχόντων τὰς ὑποθέσεις. 3 Sequitur in Med. et Sch. min. Ὁρῶμεν ὑμᾶς· ἰστέον, ὅτι ἐκεῖνα ὠφελίσθη τὰ χωρία, ἐν οἷς πρόσωπόν τινος ῥήτορος λέγοντος ὑποκρίνεται ὁ τεχνικὸς ἐν τῇ διδασκαλίᾳ. Τῷ μὲν θεῷ ὦ ἄνδρες. Δικανικὸν τὸ πρόβλημα, καὶ ἔστιν ἐξ ὑπολήψεως, (Farn. ὑποθέσεως) ἄρχεται δὲ ἀπὸ τῶν δικαζόντων, ἤγουν τῶν κριτῶν. Ἐβοήθησάν ποτε· ψηφίσματος εἰσφορὰ πραγματική. (Med. in marg. addit: ἢ καὶ οὕτως, ἡ στάσις πραγματικὴ καταψηφίσματος εἰσφορά.) Φυγάδες Med. in marg. οἱ ἐξόριστοι, οἱ ἐπί τισιν αἰτίαις φυγῇ καταδικασθέντες. Γράφει Sch. min. ἤγουν συμβουλεύει. Κατάγειν, ἐπανάγειν ἀπὸ τῆς ὑπερορίας. 4 Ven. τὸ πρᾶγμα τὸ γεγενημένον. idem καὶ ἀκοῦσαι τοῦτο — — — οἰκτός γε om. — Recepit hanc litteram etiam Georg. Diaereta, de quo vide T. VI. fin. 5 Diaer. addit: οἰκτείρειν δὲ μόνον, ὡς ἐπὶ ἐμπρησθέντος· οἰκτος γὰρ οἷς.

ἐχθροῦ τινος ἐπηρείᾳ, ἢ [6] ἄλλως φύσεως ἀνάγκῃ.[7] Χαλεπαίνουσι τοιγαροῦν οἱ ἀκροαταὶ τοῖς δεδρακόσιν, οἰκτείρουσι τοὺς πεπονθότας, πάσχει δέ τις,[8] ὡς ἔφαμεν, ἢ πονηροῦ τινος ἐπιβεβουλευκότος, ἃς ἐφ᾽ οὗ τὴν οἰκίαν [9] ἐμπρησθῆναι ὑπὸ τοῦ γείτονος ὑπῆρξεν, ἢ φύσεως νόμῳ, πατρός τινος ἢ υἱοῦ ἢ ἄλλου τῶν προσηκόντων ἀπογεγονότων.[10] Οἶκτος δὲ καὶ ὀργὴ καὶ ἔλεος τοῖς ὅμοια τῷ προκειμένῳ [11] ὑποδείγματι πεπονθόσι παρέπεται, καὶ [12] ἐπὶ μὲν τῶν ἐξ ἐπιβουλῆς πεπονθότων κατηγορία ἐνίσταται, ἐπὶ δὲ τῶν [13] φύσεως νόμῳ, ἐπιτάφιοι, μονῳδίαι καὶ εἴ τι [14] ἄλλο τοιοῦτον ἡ τέχνη [15] δέδωκεν ἐξευρίσκειν [16] ἀνθρώποις.

ιδ΄—ις΄ vide T. V. p. 373, v. 10. — 374. v. 9.

ιζ΄. Καὶ προοιμίου δριμύτης πρότασις. Τὸ ἀναγκαῖόν ἐστι τὸ δριμύ·[17] δριμύτητα δὲ προοιμίου τὴν πρότασιν ἐκάλεσεν, αὐτὸ γάρ ἐστι τὸ δρῶν καὶ συνεκτι-

---

6 Diaer. cod. Vat. ἢ καὶ ἄ. 7 Diaer. addit: ἐν ἐπιταφίῳ δὲ μάλιστα τοῦτο, ὅταν τις λυπῆται οἰχομένου τινός. 8 Mon. τινές. 9 Mon. οἰκείαν. in Diaer. cod. Vat. haec vox tineis exesa est. 10 Mon. Farn. ἀπὸ γεγονότων. corr. Med. Vat. Ven. ἀπογεγονότος. 11 Vat. προτεθειμένῳ. 12 Vat. ἐπὶ μὲν οὖν τῶν. 13 Ven. Vat. τῶν, reliqui τῷ. 14 Mon. καὶ ἔστιν ἄλλο. Farn. εἴ τι. Med. καὶ ἄλλο εἴτι. 15 Mon. Farn. ἐν τέχνῃ. 16 Farn. ἐξευρίσκει. Litt. ιδ΄. et ιέ. om. Sch. min. Ἐπεὶ δὲ καὶ οἱ πολῖται· ἡ τῆς αἰτίας πρότασις, ἡ κατασκευή. Διδασκαλικώτερον· σαφέστερον, ἁπλούστερον. Ἐπεὶ δὲ καὶ ὑμᾶς· τοῦτο ἀπὸ τῶν δικαζόντων τὸ προοίμιον. Τὴν γραφήν· τὴν κατηγορίαν. Ἀπέκτεινε τὸν υἱόν· γρ. ἀπέκτεινε τὸν ἑαυτοῦ υἱὸν κατὰ τὸν τῶν ἀκριτῶν νόμον καὶ κρίνεται. Τούτῳ χαλεπαίνοντες· τῷ πατρί. Ἐκείνους οἰκτείροντες· τὴν μητέρα καὶ τὸν υἱόν. 17 Mon. δριμύα· δρυμύτητα. (sic) Farn. δριμύ. Med. τὸ δριμύ. Ven. τὸ ἀναγκ. ἐστι τὸ δριμὺ et δὲ post δριμύτητα om.

κώτατον προοιμίου [18] παντός· καὶ αὐτοῦ μὴ δοθέντος οὐδὲν τῶν λοιπῶν ἔσται· [19]

Εὐσταθίου· [20] Ἐκ τοῦ κατηγορικοῦ [21] τὸ τρίτον προοίμιον ἔχει τὴν ἀρχήν· ἔστι δὲ ἀπὸ τῆς δόξης, ἣν οὐ φθονεῖν δείκνυσι τὸ προοίμιον, ἀπὸ τοῦ κατηγόρου λαμβάνοντα τὴν βασκανίαν ἀποκρούεσθαι· φαίνεται γὰρ οὐ διὰ τὴν ἀλήθειαν, ἀλλὰ διὰ τὸν φθόνον κινεῖσθαι ὁ λαλῶν, ὃ καλόν ἐστιν, ἀποκρούσασθαι, καὶ ἔπειτα εἰπεῖν εἰς τὸ τοῖς πολλοῖς νομιζόμενον μὴ [22] οὕτως ἔχειν· φθονοῦνται δὲ ἢ δόξα ἢ πλοῦτος. [23]

---

18 Ven. τοῦ παντὸς προοιμίου. 19 ἔσται Ven. om., ab eodem sequentia usque ad litt. κή. absunt. 20 Mon. Εὐσταθείου. 21 Med. κατηγόρου. 22 Mon. με. 23 In Farn. sequitur: σημείωσαι δέ, ὅτι καλόν ἐστι τὸ προοίμιον, ἀπὸ τοῦ κατηγόρου λαμβάνοντα etc. usque ad ἢ δόξα ἢ πλοῦτος. Ὅταν ἐπὶ δόξῃ βασκαίνωμεν ἢ πλούτῳ Med. Farn. et Par. Ἔφη τὸν κατηγοροῦντα δύο ὑπολήψεις ἐμποιεῖν τοῖς δικασταῖς ἐναντίας περὶ αὐτῶν, ἐν αὐτῷ τῷ κατηγορεῖν, φθόνον καὶ ἔχθραν, ὅτι δεῖ τὸν φθόνον τέλεον διακρούεσθαι. Ἐπεργάζεται δὲ τῇ τεχνολογίᾳ καὶ ἐπὶ τίσιν αἱ τοῦ φθόνου ὑπολήψεις, καί φησιν, ὅτι ἢ ἐπὶ δόξῃ ἢ ἐπὶ πλούτῳ, καὶ εἰπὼν τὸ προειλημφὸς παράδειγμα περὶ δόξης νῦν τὸ ἐπὶ πλούτῳ ἐπάγει· τὸ δὲ ἢ διαζευκτικόν ἐστι, τὸ πρός τι, ὅταν ἢ δόξῃ βασκαίνωμεν· σαφέστερον δὲ ἂν ἦν, εἰ ἔλεγε πλούτῳ μέν, δόξῃ δέ. Ἄχθεσθαι μὲν ὑμᾶς ὦ ἄνδρες· Med. et Farn. τοῦ δικανικοῦ ἐστι τὸ προοίμιον καὶ τοῦτο ἀπὸ τῶν δικαζόντων, ἵνα καὶ λυπῶνται καὶ ἄχθωνται. Ὀρθῶς ἐρεῖ· προσηκόντως, ἁρμοζόντως, οἰκείως· Ἢ πλούτῳ Med. ἔφη τὸν κατηγοροῦντα δύο ὑπολήψεις ἐμποιεῖν τοῖς δικασταῖς, ἐναντίας περὶ ἑαυτοῦ ἐν αὐτῷ τῷ κατηγορεῖν, φθόνου καὶ ἔχθρας, καὶ ὅτι δεῖ τὸν φθόνον τέλεον διακρούεσθαι, ὡς προεγράφη. Εἴτις ἐμφαίνοιτο Sch. Farn. min. εἴ τις φθόνος δηλονότι. Ὁ φθόνος σημαίνει καὶ τὴν μέμψιν. Δεινόν· ἄτοπον, χαλεπόν· ἀντίληψις ἐκ τοῦ μὴ κεκωλυμένου. Ἐπίφθονον· ἐπίμομφον. Οἷον πρεσβεύων· τοῦτο περὶ δόξης, ἐπάγει δὲ ἐχομένως καὶ τὸ περὶ πλούτου. Ἐτραγῴδησε· τραγῳδίαν τινὰ δημη-

ιθ'. Ὅτι αἰσχρὸν ἀπεχθάνεσθαι κοινῷ εὐεργέτῃ· καὶ τοῦτο τοῦ δικανικοῦ τὸ προοίμιον· ἀρνητέον δὲ τὴν ἔχθραν ἐπὶ προοιμίου, ὅτε ἐστὶ πρόσωπον ἢ πλούσιον ἢ ἔνδοξον, ἢ ἐπαινούμενον, ἤγουν χρηστὸν ἢ ὠμὸν, ἐξουσιάζον δέ.

κ'. Οὐκ ἔχθρας ἕνεκεν, ὦ ἄνδρες Ἀθηναῖοι.[24] Τοῦ συμβουλευτικοῦ τὸ προοίμιόν ἐστι· ἐκφεύγειν δὲ τὸ δοκεῖν δι' ἔχθραν λέγειν· τὸ γὰρ πρόσωπον τῶν ἄγαν ἐνδόξων[25] καὶ δείκνυσι τὸ εὐδοκιμοῦσιν ἀντιλέγειν οὐ καλὸν, ὡς φροντίζων δὲ τοῦ προσώπου λέγει.

κά. Οὐκ ἀπεχθανόμενος ἰδίᾳ τῷ πλουσίῳ. Καὶ τοῦτο τὸ[26] προοίμιον δικανικὸν,[27] γίνεται δὲ πρὸς[28] πρόσωπον ὠμὸν καὶ ἔνδοξον. Δείκνυσι δὲ ἑαυτὸν ὁ προοιμιαζόμενος οὐ διὰ τὸ ἀπεχθάνεσθαι λέγειν, ἀλλὰ τοῖς νόμοις καὶ τῇ πόλει βοηθῶν,[29] φησὶ, λέγω, καὶ τοῦ κοινοῦ συμφέροντος ἕνεκα, καὶ ὅλως εἰπεῖν, ὡς παραιτούμενος τὰς ἰδίας ἔχθρας ταῦτα προβάλλεται.[30]

γορικῶς εἶπε, τραγῳδία δέ ἐστι πάθους τινὸς διήγησις. Καὶ κρίνεται· στοχασμὸς, ἐρεῖ γὰρ ὁ Δημοσθένης, εἰ μὴ ἐφίλει σε ὁ Φίλιππος, ἀνθ' ὧν τὰ τῆς πατρίδος αὐτῷ προδέδωκας, οὐκ ἂν ἐστεφάνου. Πρὸς δὲ ὑπερέχον πρόσωπον· ἀπὸ κοινοῦ τὸ λεκτέον. Ἀπέθανον λιμῷ· δηλονότι οἱ τοῦ πένητος υἱοί. Ὑπέρ τῶν πολιτῶν· ἤγουν τοῦ πένητος, ἢ τῶν ἐκείνου υἱῶν. Γραφήν· ἤγουν τὴν κατηγορίαν κατὰ τοῦ πλουσίου. Ἐπὶ τοῖς νόμοις· ὑπὲρ τῶν νόμων καὶ τῆς πόλεως. Καὶ τῇ πόλει· ὅτι, ὅτε ζητήσει πλούσιος πτωχὸν, λαμβάνει. 24 Litt. κ'—κβ'. est etiam in Med. 25 Med. addit: τὸ τοῦ Περικλέους. 26 τὸ Vat. Med. om. 27 Mon. hic et in sqq. δικαστικὸν, ubi Med. et Farn. δικανικόν. 28 πρὸς Mon. om. Vat. Med. πρὸς πρόσωπον δι' ἐξουσίαν ὠμόν. Δείκνυσιν οὖν. 29 Vat. Med. pergit: καὶ τοῦ κοινοῦ συμφέροντος ἕνεκα [Med. ἕνεκα om.] ἀγανακτῶν· διὰ τοῦτο δὲ ἀγανακτῶν [διὰ τοῦτο δὲ ἀγαν. Med. om.] διὰ τὸ ἐπ' ἐξουσίας εἶναι τοῖς πλουσίοις, πρὸς σφαγὴν ζητεῖν πένητας καὶ λαμβάνειν, καὶ ὅλως ἐ. 30 Sequitur in Med. Par. 1. et Farn. Ἰστέον ὡς ἔνθα οἱ διπλοῖ

κβ'. Ὅπερ Εὐκτήμονος, ὦ ἄνδρες δικασταί. Ὁ Εὐκτήμων λόγον ἐποίησε κατ' Ἀνδροτίωνος, ἀδικηθεὶς ὑπ' αὐτοῦ, [31] καὶ Δημοσθένης κατὰ Ἀνδροτίωνος τὰ ὅμοια πεπονθώς, καὶ τοῦτο δὲ τὸ προοίμιον δικανικὸν,

---

βελισμοί εἰσι (Farn. et Par. 1. Ἔνθα οἱ διπλοῖ ὄβελοί εἰσι, χρὴ γινώσκειν, ὅτι) παρείληπται ἐν τῇ διδασκαλίᾳ ὑπὸ τοῦ τεχνικοῦ ἢ Δημοσθενικὸν ῥητὸν, ἢ Ἡροδότου ἢ Θουκυδίδου, ἢ Ἀριστείδου, ἢ ἑτέρου τινὸς ῥήτορος ἢ φιλοσόφου, ἢ ποιητοῦ, ἢ ὅλως τινὸς τῶν ἀρχαιοτέρων, εἰς ὠφέλειαν τεῖνον τῆς ὑποκειμένης διδασκαλίας. Οἷον ἠνέχθη σκηπτός· Ὁ Περικλῆς στρατηγὸς ἐγένετο Ἀθηναίων, καὶ μεγάλα κατωρθώκως καὶ τρόπαια στήσας, ἠτήσατο καλεῖσθαι Ὀλύμπιος, καὶ ἐψηφίσθη τοῦτο αὐτῷ παρὰ τοῦ δήμου, μικροῦ δὲ ὕστερον, ὡς ἔχει τὸ πλάσμα, κατηνέχθη σκηπτὸς ἐπὶ τὴν εἰκόνα αὐτοῦ, καὶ ὑπονοίας γεγονυίας τοῦ μηνῦσαι αὐτῷ τοὺς θεοὺς, συμβουλεύει τις, μηκέτι αὐτὸν Ὀλύμπιον καλεῖσθαι. (Med. καλεῖσθαι αὐτὸν Ὀλ.) Μηδεὶς ὑμῶν ὦ· Med. καὶ τοῦτο δικανικὸν, ἀπὸ τοῦ κατὰ Ἀριστοκράτους λόγου ἔχον τὴν ἀρχήν· ἀποκρουόμενον τὸ μὴ φθονεῖν, πλούτῳ δηλονότι. Ποτὲ δὲ ἀρνησόμεθα Med. Farn. ἀντὶ τοῦ διόλου μὲν ἀρνεῖσθαι τὴν ἔχθραν, διόλου δὲ ὁμολογεῖν, καὶ μὴ ἐν μέρει μὲν ὁμολογεῖν, ἐν μέρει δὲ ἀρνεῖσθαι. Τιμωρίαν κατὰ τῶν ἠδικηκότων λαμβάνειν· Farn. ἐὰν μὲν κατὰ γράψῃς, συνυπακούσῃς· περὶ τῶν δικαστῶν, πλὴν ἄμεινον· περὶ τῶν ἠδικηκότων γράφειν. 31 Mon. Ὁ Εὐκτ. ἀδικηθεὶς ὑπ' Ἀνδροτ. λόγον ἐποίησε, καὶ Δημ. receptam lectionem habet Farn. Med. Par. 1. Rem explicat Farn. Ἔστιν ἡ ὑπόθεσις ἡ κατὰ Ἀριστοκράτους τοιαύτη· τρεῖς ἦσαν ἐν Θρᾴκῃ βασιλεῖς, Βηρισάδης, Ἀμάδοκος καὶ Κερσοβλέπτης. ὧν μὴ φίλια τὰ εἰς ἀλλήλους ἐχόντων, ὑπηρέτησεν ἕκαστος τοὺς Ἀθηναίους καὶ ἐθεράπευσε διὰ τὸ μὴ προσθεμένων αὐτῶν ἑνὶ τῶν τριῶν, τὸ πᾶν τῆς Χερρονήσου κράτος περιποιεῖσθαι. Ἑνὶ οὖν αὐτῶν τῷ Κερσοβλέπτῃ ἦν ὑποστρατηγὸς ὁ Χαρίδημος ὁ Ὠρείτης· ὃν πολίτην σφῶν αὐτῶν οἱ Ἀθηναῖοι ἐποίησαν καὶ γεγονότα ἤδη αὐτοῖς χρήσιμον καὶ προσδοκώμενον ἔσεσθαι· περὶ τούτου οὖν ψήφισμα ἔγραψεν Ἀριστοκράτης ἐν τῇ βουλῇ τοιοῦτο· ἐάν τις ἀποκτείνῃ Χαρίδημον ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς Ἀθηναίων συγκλήτου· ἐὰν δέ τις τὸν ἀγώγιμον ἀφέληται, ἢ πόλις ἢ

καὶ ὁμολογοῦν τὴν [32] ἔχθραν· προαδικηθεὶς γὰρ ἀμύνεται.

κγ'. Πλὴν εἰ μὴ πιθανῶς λέγοιμεν. Καὶ τοῦτο δικανικὸν τὸ προοίμιον, ἀρχόμενον ἀπὸ τοῦ ὑπεραπολογουμένου, [33] ἤγουν τοῦ ἐντολέως· ἐπειδὴ ὕποπτός ἐστι δωροδοκεῖσθαι ὑπό τινος, παραιτεῖται τὸ κέρδος καὶ ἀρνεῖται· πιθανὸν δὲ δῶρον τοῦτο προβάλλεται τὴν σωτηρίαν τῶν βοηθουμένων.

κδ'. Οἷον φιλεῖν αὐτοὺς ἀδελφούς. Καὶ τοῦτο δικανικὸν [34] τὸ προοίμιον ἔχον τὴν ἀρχὴν ἀπὸ τοῦ ἀπολογουμένου αὐτοῦ· ὁμολογεῖ δὲ τὴν εὔνοιαν ὅλως φανερῶς. Δίδωσι γὰρ ἡ ὑπόθεσις, ὁμολογεῖ δὲ ἢ διὰ γένος· χρὴ γὰρ ὑπὲρ συγγενῶν λέγειν, ἢ διὰ κοινοὺς εὐεργέτας λέγων τις ἢ ὅλως τὸ ὑπὲρ προσηκόντων λαλεῖν· ἀνεπίφθονος [35] γὰρ τότε φαίνεται ὁ λέγων, ὡς μὴ φθονῶν τῷ κατηγορουμένῳ ἢ μισῶν αὐτόν, ἀλλὰ διὰ τὸ προσῆκον λαλῶν.

κε. Ὡς ἂν οἷός τε ὦ συνερεῖν. Οὐ θέλει γὰρ, ἵνα λυθῇ ἡ ἀτέλεια τοῦ Χαβρίου· ἀποθανόντος γὰρ τοῦ Χαβρίου ἐσύρετο διδόναι ὁ υἱὸς αὐτοῦ· ὁ Δημοσθένης δὲ λέγει, ἵνα ἔχῃ τὴν ἀτέλειαν.

κς'. Οἷον οὐκ ἀγνοῶ μέν. Καὶ τοῦτο δικανικὸν, ἀπὸ τοῦ ἔχοντος τὰ ἐγκλήματα ἡ ἀρχὴ τοῦ προοιμίου·

ἰδιώτης, ἔκ νδος ἔστω. Τούτου κατηγορῶν τοῦ ψηφίσματος Εὐθυκλῆς τῷ Δημοσθένους λόγῳ χρησάμενος, καὶ φησι μὴ συμφέρειν τοῖς Ἀθηναίοις, τοιαύτην Χαριδήμῳ δοῦναι δωρεὰν, ἀπολοῦμεν γὰρ διὰ ταύτης Χερρόνησον, μηδενὸς μὲν Χαριδήμῳ πολεμοῦντος διὰ τὸ ψήφισμα, τοῦ δὲ Κερσοβλέπτου διὰ τούτου ἰσχυροῦ γενομένου, καὶ τὸ πᾶν τῆς Χερρονήσου κράτος ἑαυτῷ περιποιουμένου, καὶ μηκέτι ἡμᾶς θεραπεύοντος. 32 Med. et Farn. ὁμολογοῦν τήν. Mon. ὁμολογοῦντος. 33 Par. Med. ἀπολογουμένου. Specimen ex Farn. sumtum h. l. finitum est. 34 Med. δικανικοῦ. 35 Mon. ἀντίφθονος.

γίνονται δὲ ἐν τούτοις προοίμια τέσσαρα, τὸ διαλῦσαι τὰς χρηστὰς ὑπολήψεις, τὸ διαλῦσαι τὰς φαύλας, τὸ βεβαιῶσαι [36] τὰς φαύλας, τὸ βεβαιῶσαι τὰς χρηστάς.

κζ. Ὅτι μὲν οὐκ ἄλλος τις. Ἀπὸ τοῦ ἀπολογουμένου [37] τὸ προοίμιον· ἡ δὲ ἀπολογία [38] ὑπὲρ τῆς τὸ ἔγκλημα ἐχούσης γυναικὸς, τῆς νίκης δὲ τὴν γυναῖκα αἰτιανᾶται φησὶ, διὰ τὸ φοβηθέντας τοὺς υἱοὺς, μὴ αὐτοὺς ἀνέλῃ, ἀριστέας ἀναφανῆναι· βεβαιοῖ δὲ τὸ προοίμιον τὰς χρηστὰς ὑπολήψεις, τὰς δὲ φαύλας διαλύει.

κή. Καὶ γὰρ συμβουλεύοντες [39] λέγομεν, ποιῶμεν τόδε, ὡς [40] ἂν μὴ τὰ τοῖς ἐχθροῖς δι' εὐχῆς ἐπισπασώμεθα [41] κακὰ, καὶ πάλιν, ποιῶμεν τόδε, ὡς ἂν τοὺς φιλικῶς ἡμῖν διακειμένους εὐφραίνωμεν· ὡσαύτως καὶ ἐπαινοῦντές φαμεν, [42] ὡς ὁ τοῦ προκειμένου ἔπαινος πολλοὺς ἐπὶ τὸν ὅμοιον ζῆλον παρακαλέσει, καὶ εὐφραινεῖ [43] μὲν ἀγγέλους καὶ πάντας τοὺς ἀρετὴν ἐπασκοῦντας, δαίμονας δὲ λυπήσει καὶ καταισχυνεῖ. [44]

---

36 τὸ βεβαιῶσαι τὰς φαύλας Mon. om. 37 Mon. ὁμολογουμένου. 38 ἡ δὲ ἀπολογία — — — — ἀριστέας ἀναφανῆναι Mon. et Par. om.; recepi ex Med. In Mon. τὸ προοίμιον· ἀπὸ λόγου ὑπὲρ τούτου ἔγκλημα ἔχοντος· βεβαιοῖ δὲ κ. τ. λ.: pariter Par. nisi quod rectius: ἀπολογία ὑπὲρ τοῦ scribit. 39 Ven. Ἐμφαίνεται δὲ καὶ ἔξωθεν πρόσωπον· καὶ γὰρ συμβ. Med. Ἀλλὰ καὶ συμβουλεύοντες λέξομεν. Ceterum hanc et sq. paragraphum non distinguit numeris a Diacretae commentariis: in sequentibus autem capitibus nostrum commentarium prorsus omittit. 40 Med. ἄ. 41 Mon. ἐπισπασώμενα. 42 Med. addit: οὐ γὰρ τὰ ἔξωθεν ἐμφαινόμενα ἀπολείπονται τοῦ ἐπιδεικτικοῦ· φήσει τοίνυν ὃ ἐπαινῶν. 43 Mon. εὐφραίνει. 44 Par. et Med. καταισχύνῃ. Mon. καταισχίνει. Sch. min. Τὴν τάξιν λιπόντες· τὴν πολεμικὴν δηλονότι, ἤγουν τὸν συναυπισμὸν τὸν ἴδιον. Πρόσωπα, ὡς ἔφαμεν, πολεμίων· οὐ πολεμίων μόνον, ἀλλὰ καὶ συμμάχων καὶ προγόνων καὶ οἰκιστῶν καὶ ἑτέρων τοιούτων. Μάλιστα, κατ' ἐξαίρετον. Παρούσῃ κρίσει· ἐξετάσει, ὑποθέσει.

κθ'. Τοῦτο τὸ προοίμιον ἀπὸ τῶν ἔξωθεν ἐμφαινομένων προσώπων ἄρχεται, οὐκ ἄξιον λέγον, ἃ δοκεῖ τοῖς πολεμίοις, ἡμᾶς ποιεῖν· ἔστι δὲ συμβουλευτικόν.

Cap. II.

Περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων.

ά. Ὧν μέλλει [1] λέγειν· μαθήματα δὲ ἔφαμεν καὶ ἀνωτέρω, ὅτι τὰς ὑποθέσεις καλεῖ, ἀφ' ὧν καὶ αἱ προτάσεις εὑρίσκονται. Σημείωσαι δὲ, ὅτι οὐκ ἀεὶ ἐν τοῖς ἐξ ὑποδιαιρέσεως ἡ πρότασις τοῦ προοιμίου ἀπὸ τῆς ἐμπιπτούσης τῶν ἐξ ὑποδιαιρέσεως διαφορῶν [2] γίνεται. b

---

1 Ven. Εὑρίσκεται δὲ καὶ ταῦτα ἀπὸ τῶν ἑξῆς μαθημάτων. Μαθήματα ἔφαμεν ἤδη καὶ ἄνω. Sch. min. μαθημάτων· δηλόνοτι τῶν μελλόντων ἐφεξῆς ῥηθήσεσθαι μεθόδων καὶ προβλημάτων. 2 Mon. διαιρῶν. Post γίνεται Ven. pergit: Ἀλλ' ἔστιν ὅταν τῆς προτάσεως ἐξ ὑπολήψεως γινομένης, ὡς ἀπὸ τῶν προκειμένων ὑποδειγμάτων ἐστὶ μαθεῖν, καὶ πρὸς αὐτὴν τῶν λοιπῶν τοῦ προοιμίου μερῶν γεγενημένων. (Cod. γεγενημένην.) Τὸ δεύτερον κεφάλαιον γίνεται ἐξ ὑποδιαιρέσεως· καθολικώτερα γὰρ τὰ ἐξ ὑπολήψεως τῶν ἐξ ὑποδιαιρέσεως καὶ τῶν λοιπῶν τοῦ προοιμίου διαφορῶν, καὶ τοῦτο δὲ αὐτὸ ὁ τεχνικὸς ἐπεσημήνατο πολλάκις, καὶ πανταχοῦ φήσας τὰ ἐξ ὑπολήψεως τὴν οἰκείαν ἐνδείκνυσθαι ἀρετήν, ὡς τῶν μὲν ἐξ ὑπολήψεως ἄδειαν ἐχόντων καὶ οὐ κωλυομένων, καὶ ἐν τοῖς λοιποῖς ἐξ ὑποδιαιρέσεως, φημὶ δὲ ἐκ περιουσίας, καὶ ἐπὶ τῶν ἀπὸ καιροῦ τὴν πρότασιν κληροῦσθαι· οὐ μήν γε καὶ ἔμπαλιν, ἀλλ' ἴσως ἐρεῖ τις· καὶ τί μὴ ἀπὸ τῆς προτάσεως χαρακτηρίζεται τὸ προοίμιον καὶ κατ' ἐκείνην μόνην λαμβάνει τὸ ὄνομα, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν αὐτοῦ μερῶν, πρὸς ὃν ἐροῦμεν, ὅτι ἀντιδιαστέλλεται ταῦτα τῶν ἐξ ὑπολήψεως τῷ περιττῷ καὶ ἰδιάζοντι τὴν ὀνομασίαν λαμβάνοντα, ὥσπερ καὶ ἄνθρωπος καὶ ἵππος φέρε καὶ βοῦς· οὐ γὰρ ὅτι ζῶα καὶ αὐτὰ ἐπὶ τῆς τοῦ ζώου μεμένηκε μόνον κλήσεως, ἀλλὰ καὶ τὸ

Τὰ ἐξ [3] ὑποδιαιρέσεως, φησὶ, προοίμια οὐκ ἐν πᾶσι τοῖς προβλήμασιν εὑρίσκεται, οὐδ' εἰ εὑρεθείη ἐν προβλήμασιν, ὅλα διόλου εὑρίσκεται, ἀλλὰ μέρη αὐτῶν συναναμεμιγμένα τοῖς ἐξ ὑπολήψεως· ἐκείνων γὰρ ἡ ἀρετὴ καὶ ἰσχὺς ἐν πᾶσιν εὑρίσκεται.

β'. Τὰ δυνάμενα [4] τέμνειν, ἀπὸ μεταφορᾶς τῶν μαχαιρῶν, αἱ τεθηγμέναι μᾶλλον τέμνουσιν· εὔθηκτα [5] οὖν ἀντὶ τοῦ τμητικοῦ, [6] ἐνεργοῦς, δραστικοῦ· ἄλλοι δὲ εὐθικτὰ [7] φασι διὰ τοῦ ῑ γράφεσθαι στοιχείου, οἱονεὶ [8] εὐαφῆ καὶ πολλὴν ἐπιφαίνοντα τὴν εὐτυχίαν τοῦ καταλλήλως καὶ ἁρμοδίως τῇ ὑποθέσει προάγεσθαι καὶ μηδὲν ἄστοχον πάσχειν, καὶ ἀποτευκτικὸν, ἀλλ' εὔθετον τῷ λόγῳ τὴν ἐπαφὴν παρεχόμενα.

γ'. Ὅτι καὶ [9] ἐν τοῖς περὶ τῶν ἐξ ὑποδιαιρέσεως ὑπόληψις φαίνεται, ὡς ἀνωτέρω ἐδηλώσαμεν.

δ'. Ἀθρόον ἐνταῦθα οὐ τὸ σημαῖνον [10] τὸ ἓν, ἀλλὰ

ἀποτεταγμένον, καὶ μάλιστα τῶν ἰδιωμάτων γνωριστικὸν ἑαυτῶν, πεποίηνται. 3 Τὰ ἐξ ὑποδιαιρέσεως — — — ἐν πᾶσιν εὑρίσκεται ex Par. 1. inserui. a Mon. absunt. 4 Ven. Εὔθηκτα μὲν γάρ ἐστιν ἀπὸ μεταφορᾶς. 5 Sch. εὔθηκτα διὰ τοῦ η̄ τμητικὰ ἐνεργῆ, δραστήρια· διὰ τοῦ ῑ εὐαφῆ, εὐμεταχείριστα. Δριμέα· ἰσχυρὰ διὰ τὸν νοῦν τὸν ὑπερβάλλοντα. 6 Ven. τμητικὰ, ἐνεργῆ, δραστικά. Par. 1. τμητικοῦ etc. 7 Mon. εὔκτη θικτα. Sch. min. ἀρετὴν ἐνταῦθα τὴν ἐπιτηδειότητα καὶ εὕρεσιν λέγει· εἰδέναι δὲ δεῖ, ὅτι τὸ ὄνομα δηλοῖ ποτὲ μὲν μίαν τῶν γενικῶν, ἀνδρείαν τυχὸν ἢ φρόνησιν· ποτὲ δὲ πάσας αὐτὰς συλλήβδην, ὡς Ὅμηρος· παντοίην ἀρετὴν κεκασμένος, ἐνίοτε δὲ καὶ τὸ ἁπλῶς ἀγαθὸν σημαίνει, ὡς ἐν τούτῳ τῷ χωρίῳ. 8 Ven. οἷον. 9 καὶ Mon. om., a Ven. litt. γ'. abest. Post παρεχόμενα pergit ita: Τρίτον ὃ καλεῖται τὸ τοῦ ἀθρόου πρὸς τὸ μέλλον ὑποδιαίρεσις. Τοῦτο οὕτως καλεῖται, οὐ γὰρ λεπτ. 10 Par. οὐ σημαίνει. Sch. min. ὅτι ἡ τοῦ ἀθρόου πράγματος εἰς τὰ ἑπτὰ τομὴ οὐ προοίμιόν ἐστιν ἀλλὰ κατασκευὴ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐτεχνολόγησεν ὁ Ἑρμογένης ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τοῦ τρίτου τόμου τοῦ παρόντος βιβλίου, ἐκείνῳ

δύο, ἢ τὸ λαμβανόμενον οὐκ ἐπὶ χρόνου ἑνὸς, ἀλλ' ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος, ἢ ἐπὶ παρῳχημένου καὶ μέλλοντος· τοῦτο δὲ οὕτως καλεῖται· οὐ γὰρ λεπτολογῶν τὸ ἀδίκημα κατὰ μέρος εἰσάγει, ὡς ἐφ' ὧν προεῖπον, ἀλλ' ὅλον αὐτὸ ἀθρόον λαβὼν πρὸς τὸ μέλλον μόνον ὑποδιαιρεῖ· πῶς δ' ἂν ἠδύνατο τὸ ἀδίκημα ὑποδιαιρεῖν, εἰ οὕτως ἔλεγεν· εἰ γὰρ οἱ πατέρες τούτου μόνου τοῦ γένους

οὖν ἐντυχὼν εἴσῃ, ὅ φησιν ὁ τεχνικός. Κατέσκαψάν τινες πόλιν· ἡ στάσις στοχασμός. Αἰτεῖ εἰς τὸ γέρας τὸν ῥήτορα· εἰ προσετέθη τὸ καὶ βουλεύεται, πραγματικὴ ἂν ἦν. Δεύτερον ἐξ ὑποδιαιρέσεως· τὸ ἓν ὡς καθ' ἕξιν προϋπάρχει· τὸ ἕτερον ἐπινοούμενον κατὰ πόδας ἤδη. Ποταπαί εἰσιν αἱ Ἀθῆναι· οἷον ποῦ μὲν ὑψηλὸν τὸ τεῖχος, ποῦ δὲ χαμαίζηλον· ποῦ δὲ ἀσθενὲς καὶ ποῦ ἰσχυρόν. Τοῦ Μακεδόνος· τοῦ Φιλίππου δηλονότι· Καὶ ἐπὶ τῶν ἰδιωτικῶν· εἰπὼν παράδειγμα δημοσίου ἀδικήματος, φημὶ δὴ τὸ κατὰ Δημάδην, τεῖνον πρὸς τὸ κοινὸν, λέγει καὶ ἰδιωτικὸν, τὸ κατὰ τὸν πορνοβοσκόν· ἰδιώτης δὲ ὁ πορνοβοσκὸς, οὐ γὰρ ῥήτωρ ἢ στρατηγὸς ἢ πρεσβευτής. Πορνοβοσκός ἐστιν ὁ τρέφων ἐκ μικροῦ τὰ βρέφη εἰς τὸ πορνεύεσθαι, ἢ καὶ αὐτὰς τὰς πόρνας τρέφων ἐπὶ τούτοις. Ib. Μάγος ἐστὶν ὁ ἐπῳδαῖς τισι κεχρημένος, φαρμακὸς δὲ ὁ μὴ ἐπῳδαῖς, ἀλλὰ δηλητηρίοις τισὶ φαρμάκων εἰς τὸ κακοῦν. αὕτη αὐτῶν ἡ διαφορά· τελώνης δὲ ὁ τοῦ δημοσίου πράκτης, ὁ τοὺς ἀνὰ ἔτος εἰσκομιζομένους τῶν δημοσίων παρὰ τῶν ὑποτελῶν ἐξ αὐτῶν εἰσπραττόμενος. Πρὸς τὸ μέλλον ὑποδιαίρεσις· χρὴ σημειώσασθαι, ὅτι τὸ ἀθρόον κατὰ μὲν τὸν χρόνον διαιρούμενον τρίτον εἶδός ἐστι τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων. κατὰ δὲ λεπτὰ διαιρούμενον αὐτὸ καθ' αὑτὸ κατασκευὴ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. Τὰ παραδείγματα, φησὶ διαλευκαίνουσι τὰ τῆς ῥητορικῆς τέχνης, καὶ διὰ τοῦτο χρηστέον αὐτοῖς, ὃ καὶ ποιεῖ. Ἡ στάσις πραγματική· νόμου εἰσφορὰ μετὰ περιστάσεως. Πολλοὶ τυραννοῦσι· τοῦτο τοῦ δευτέρου παράδειγμα, φημὶ δὴ τοῦ πραττομένου πολλάκις· τοῦ δὲ μιγέντος τῷ τεταριχευμένῳ σώματι, τοῦ μηδὲ πώποτε γεγονότος, τηνικαῦτα δὲ πρώτου συμβάντος, ἃ πάθεῖν καὶ πρὸς τὸ μέλλον δεδιότες ἐπεξερχόμεθα τὸν πεπραχότα. Τιμωροῦντας αὐτοῖς· ἀντὶ τοῦ ἐκδικοῦντας ἡμᾶς αὐτούς.

ἐτυράννουν, εἰ μέχρι τῶν υἱέων; τὰ τῆς πονηρᾶς ταύτης ἀπέληγεν ἐπιθυμίας, οὐχ οὕτως δεινόν· νῦν δὲ ἀϊδιότητι ὑποβέβληται, τῇ τοῦ γένους διαδοχῇ συμπαρατεινομένου τοῦ λυπηροῦ, καὶ ἐπὶ τοῦ ταριχομικτοῦντος, εἰ γὰρ ζώσῃ ἐμίγνυτο, εἰ κἂν μικρὸν γοῦν ἔμπέσῃ, εἶχεν ἂν τὸ πραχθὲν συγγνώμην. [11]

Cap. III. invenies integrum Vol. V. p. 378. v. 9. — 379. v. 4.

Cap. IV.

Περὶ τῶν ἀπὸ καιροῦ προοιμίων.

Τὸ ἀπὸ καιροῦ καὶ ἀπὸ τῶν λοιπῶν περιστατικῶν λαμβάνεται· ἔχει δὲ ὑπερβολὴν δυνάμεως περὶ τὸ ἐξ ὑπολήψεως, ἐπειδὴ ἐκεῖνα πολλάκις εὐνοίας ἢ κέρδους ἢ φθόνου ὑπόνοιαν δίδωσιν. [12]

Cap.

11 Sequitur in Ven. Μὴ μέντοι μείζονος κρίνοντος οὕτως μὲν ἁπλῶς. Sch. min. τίς ἡ ἰδία εὕρεσις τῆς κατηγορίας, καὶ τίς τῆς ἀπολογίας, ἐχομένως διδάξει σε ὁ τεχνικός. Σαφῆ δὲ αὐτά· τὰ ἐν κατηγορίᾳ καὶ ἀπολογίᾳ. Καὶ ἀσεβείας κρίνειν· ὁ μὲν φόνος ἰδιωτικὸν ἀδίκημα, ὁ δὲ εἰς ἀριστέα φόνος δημόσιον. κοινὸς γάρ ἐστιν εὐεργέτης ὁ ἀριστεύς, τὰ δὲ τῷ κοινῷ ἀνήκοντα δημόσια, οἷόν ἐστι καὶ τὸ προδοῦναι πόλιν, μεῖζον οὖν τοῦ ἰδιωτικοῦ τὸ δημόσιον, καὶ πάλιν μεῖζον τοῦ δημοσίου ἀδικήματος ἡ ἀσέβεια ἡ πρὸς τὸ θεῖον· ἀσέβεια γάρ ἐστι τὸ πρᾶξαί τι ἢ εἰπεῖν, τεῖνον εἰς ὕβριν τοῦ κρείττονος, οἷον τὸ ὑποκρίνασθαι τὸ σχῆμα τῆς Ἀθηνᾶς, ὅπερ ἡ Φύη ἐποίησεν, καὶ τὸ εἰπεῖν· οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος. Ad idem: μεῖζον γάρ ἐστι τοῦ φόνου τὸ δημόσιον ἀδίκημα. Ἀντίστασις διὰ τὸ ἔθος, μετάστασις ἐπὶ τὸν νόμον. Οἱ Πεισιστρατίδαι τύραννοι· Ἀντίληψις κατὰ τὸ μὴ κεκωλυμένον. Ἄτεχνον γὰρ τὸ τοιοῦτον· οὐκ ἄτεχνον μόνον, Ἑρμόγενες, ἀλλὰ καὶ ἠλίθιον ἐπιεικῶς. 12 Alia Schol., quae Par. ad hoc caput

Cap. V.

Περὶ παντὸς προοιμίου καὶ ἐκ πόσων μερῶν συνέστηκεν.

ά. Πᾶν προοίμιον σύγκειται[1] ἐκ τεσσάρων,[1*] ἐκ προτάσεως,[2] ἐκ κατασκευῆς, ἐξ ἀποδόσεως, ἤγουν ἀξιώσεως, ἐκ βάσεως, ἣ συνάγει τὴν πρότασιν· καὶ πρῶτα μὲν ἐν προοιμίοις πρότασις γίνεται· ἐπακολουθεῖ τῇ προτάσει κατασκευή· ἀπὸ τῆς κατασκευῆς[3] ἀπόδοσις, ἥτις ἐστὶν ἀξίωσις,[4] ἐκ τῆς ἀξιώσεως ἡ βάσις γίνεται, ἥτις συνάγει τὴν πρότασιν καὶ τὴν ἀπόφασιν, ἤγουν τὴν ἀξίωσιν, ἡ δὲ πρότασις ἐκ τῶν ὑποθέσεων ἀεὶ ἤτοι τῆς ὕλης τοῦ προκειμένου ζητήματος γίνεται, ἃ καὶ μαθήματα Ἑρμογένης καλεῖ, ὡς αὐτῶν ἡμᾶς διδασκόντων, ὅπως χρὴ τὴν τοῦ προοιμίου ποιήσασθαι πρότασιν, περὶ ὧν καὶ αὐτὸς φθάνει διδάξας. Σημείωσαι δὲ, ὅτι τὸ προοίμιον ἔχει τὰ τέσσαρα ταῦτα· τὸ δὲ τέταρτον ἐνίοτε ἐκλείπει, τὰ δὲ τρία ἤτοι δυνάμει ἢ ἐνεργείᾳ πάντως

---

habet, vide Vol. V. p. 379. v. 7. — 380. v. 4. Sch. min. τρόπον τινὰ ἤδη δεῖξαι· πραγματικὴ ψηφίσματος εἰσφορά. Τὸ μὲν δοκεῖν, ἐγὼ γράφω· πρότασις ἔχουσα καὶ τὴν ἀξίωσιν. Γένη τὰ τέκνα φησίν· ἀνήρουν γὰρ αὐτὰ ἄῤῥενα ὄντα οἱ Λακεδαιμόνιοι τύραννοι, ἵνα μὴ πληθύνωσιν οἱ Ἀθηναῖοι. Τί ἐστι πινάκιον, εἴρηται ἐν τῷ περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων. Ἀγχίστροφον· σύντομον, ἔχει γὰρ πρότασιν καὶ ἀξίωσιν. Οὐκ ἀναγκαῖον· οὐ χρειῶδες. 1 Ven. omisso capite antecedente ita: Σύγκειται δὲ πᾶν προοίμιον πρῶτον μὲν ἐκ προτάσεως, ἡ πρότασις ἐκ τῶν ὑποθέσεων ἀεὶ κ. τ. λ. 1* Sch. min. ἤγουν ἀπὸ τῶν ἐξ ὑπολήψεως, ἐξ ὑποδιαιρέσεως, καὶ τῶν λοιπῶν. 2 Sch. m. περὶ προτάσεως καὶ τῶν λοιπῶν ζήτει εἰς τὰ προλεγόμενα τῶν εὑρέσεων. Ἐκ τῶν μαθημάτων· ἐκ τῆς διδασκαλίας τῶν προβλημάτων. 3 Sch. m. ἤ τις ἐστὶν αἰτία τῆς προτάσεως. 4 Sch. m. παρέλιπε τὴν κατασκευὴν, ὡς οὖσαν τῆς προτάσεως.

ἐμφαίνεται· καὶ ἡ μὲν πρότασις προδήλως ἐκ τοῦ ἐπιχειρήματος γίνεται, ἡ δὲ κατασκευὴ τῆς αἰτίας ἐπὶ τὸ πλεῖστον γίνεται· ἡ δὲ ἀξίωσις σκόπει πῶς [5] διάνυμός ἐστι, καὶ ποτὲ μὲν ἀπόδοσις λέγεται, ποτὲ δὲ ἀξίωσις. Ἀλλὰ [6] τί δεῖται φέρε ἀπόδοσις ἀξιώσεως; καὶ λέγομεν ὅτι ἡ ἀξίωσις δεῖται τοῦ βοηθήσοντος, ἀξίωσις γάρ ἐστιν ἡ ἱκετεία, ἡ δὲ ἀπόδοσις τὸ προσῆκον κελεύει γίνεσθαι· πολὺ δὲ διέστηκε τὸ [7] δεῖσθαι τοῦ κελεύειν· ὁ γὰρ λέγων, ὑμᾶς δὲ προσήκει πρόνοιαν τῆς ὑμετέρας εὐδοξίας ποιουμένους, ὡς ἐκ τοῦ δικαίου προερχόμενος κελεύει· ὡς καὶ τὸ, ἔστι δὲ οὐκ ἄξιον ποιεῖν ἃ δοκεῖ τοῖς πολεμίοις· ὁ δὲ λέγων συμβουλεύσων παρελήλυθεν, ἀποδιδόναι τὴν πόλιν, ἣν ἔσωσαν αὐτοὶ, καὶ ὁ ἀξιῶν τόδε γενέσθαι οὐ κελεύει, ἀλλ' ἀξιοῖ δεόμενος· διὸ ταῦτα κυρίως ἀξιώσεις λέγονται· ἡ δὲ βάσις, δι' ἣν αἰτίαν λείπει τε πολλάκις καὶ προτίθεται, λεκτέον· γίνεται γὰρ ὡς αἰτία τῆς ἀποδόσεως, ὡς αὐτὸς ὁ τεχνικὸς φησιν· ἐὰν [8] δὲ προστιθῶμεν καὶ τὴν αἰτίαν τῆς ἀποδόσεως, πανηγυρικωτέρα [9]

---

5 πῶς Mon. om. 6 Ἀλλὰ τί δεῖται ἀπ. ἀξιώσεως ex Ven. recepi: deest in Mon. et Par. 7 Ven. τοῦ. 8 Ven. εἰ. 9 Sch. min. φαιδροτέρα· ἐὰν προοιμιαζόμενος ἅψῃ καὶ τοῦ πράγματος αὐτοῦ, ἔφοδον ποιεῖς· τοῦτο γὰρ ἡ ἔφοδος καὶ οὐκ ἄλλο, ὡς δηλοῖ καὶ τοὔνομα· ὁδεύει γὰρ ὁ λέγων ἐπ' αὐτὸ τὸ πρᾶγμα ἀπὸ τοῦ προοιμίου καὶ ἅπτεται αὐτοῦ. Par. inter sch. majora inserit: φόνου παρά τινος τολμηθέντος, γράφει τις· δεινῶν ἐν τῇ πόλει τολμωμένων, ὦ ἄνδρες δικασταὶ, ἥκω τιμωρήσων, ὡς ἂν οἷός τε ὦ, τοῖς ἀδικηθεῖσι· πρότασις τοῦτο ἐξ αὐτοῦ τοῦ μαθήματος, εἴτουν τῆς ὕλης· οἶδα γὰρ ἡμᾶς τοῦ μηδὲν τοιοῦτον τολμᾶσθαι νύκτωρ τε καὶ μεθ' ἡμέραν φροντίζοντας· τοῦτο κατασκευὴ ἀπὸ τῆς αἰτίας· εἶτα ἡ ἀξίωσις· ἀξιῶ τοίνυν, ζῆλον ὑμᾶς τοῦ δικαίου λαβόντας ἐπεξελθεῖν ἀξίως τὸν τολμητήν· εἰ δὲ ἀπόδοσιν θελήσεις ποιῆσαι, οὕτω γράψεις· ὀφειλόμενον οὖν ἐστιν, τὸν ὅμοιον ὑμᾶς ζῆλον κἀπὶ τοῦ παρόντος ἐνδείξασθαι ἀδικήματος. Μέχρι τούτου τὸ ἐπιδεικτικόν· εἰ δὲ καὶ πανηγυρικὸν ποιῆσαι θελήσεις προοίμιον, προθήσεις τὴν

γίνεται ἡ βάσις καὶ ἐπιὼν λέγει, εἰ βούλει δὲ πρόσθες καὶ τὴν τῆς ἀξιώσεως αἰτίαν, τουτέστιν αὐτὸ τὸ πρᾶγμα γυμνόν· τὸ δέ, δι' ἣν αἰτίαν βάσιν, [10] καὶ οὐ φανερῶς τῆς ἀξιώσεως [11] αἰτίαν λέγει τὸν τόπον, ἤδη λεκτέον· βάσιν τοίνυν αὐτὸν καλεῖ ἀπὸ τοῦ κυριωτέρου· ἐπεὶ γὰρ ἐν αὐτῷ ἀποκαταλήγει [12] καὶ εἰς αὐτὸν καταπαύεται τὸ προοίμιον, εἰκότως βάσιν αὐτὸν ἐκάλεσεν, ὑπόκρισιν δὲ προοιμίου, τὸ μετρίαν καὶ ἀτάραχον καὶ τοῖς ὑποκειμένοις ἁρμόζουσαν πράγμασι κατάστασιν παρέχεσθαι τὸν ῥήτορα.

β'. Τοῦτο [13] πάνυ ἀκριβῶς εἶπε, τὰ γὰρ ἐπιφωνήματα κ. τ. λ. Vol. V. p. 381. v. 21. — p. 382. v. 2. οὐ γάρ τι κατεπείγει συντομίας φροντίζειν, καὶ τῆς περὶ τὰ λεγόμενα δεινότητος· οὐδὲ τὸ μέν τι αὐτῶν [14] λέγοντα ἐρεῖν, τὸ δὲ τῇ τοῦ δικαίου παραχωρεῖν κρίσει· μόνης δὲ τῆς [15] ἡδονῆς τῶν ἀκουόντων φροντίζειν, ἣ γένοιτ' ἂν ἀπὸ τῶν τοιούτων. Ἐπὶ δὲ τοῦ δικανικοῦ πρὸς ὕδωρ τοῦ λόγου γινομένου ἱκανὸν καὶ τὰ καιριώτερα εἰπόντα μετρῆσαι [16] τῷ τοῦ κρουνοῦ ῥεύματι, [17] ἄλλως τε καὶ οὐκ ἀποφαίνεσθαι τὸν δικαζόμενον χρὴ, ἀλλὰ συνάγειν μὲν ὑπὲρ ἑαυτοῦ τὸν λόγον, μὴ μέντοι καὶ ἀποφαίνεσθαι, ἀλλὰ [18] τούτου παραχωρεῖν τοῖς δικασταῖς, ἀποφαινό-

---

αἰτίαν τῆς ἀποδόσεως, καὶ ἐρεῖς, ἵνα μὴ φύνων τολμωμένων πάντα τὰ τῆς πολιτείας συγχέηται. 10 Mon. post βάσιν ponit λέγει, nec non post αἰτίαν. Par. et Ven. prius om. 11 Mon. ἐξουσίας. 12 Par. ἀπολήγει. Sch. min. ἐπιφωνηματικῶς· supra scriptum: τροπικῶς. ad marg. ὡς τό· πάντη δὲ κακὸν κακῷ ἐστήρικται· περὶ δὲ ἐπιφωνήματος μαθήσῃ ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τοῦ τετάρτου τόμου τούτου τοῦ βιβλίου. 13 Ven. πανηγυρικωτάτη γίνεται ἡ βάσις. τοῦτο πάνυ. 14 post αὐτῶν Ven. habet εἶναι. 15 τῆς et sq. φροντίζειν Ven. om. 16 Mon. μερίσαι. 17 Ven. addit: τὸν λόγον. Sequentia usque ad litt. δ'. om. 18 Par. ἀλλὰ τὰς τούτου. post δικασταῖς Mon. addit εἶναι.

μενος γὰρ εἰς ὀργὴν αὐτοὺς κινήσει· τὸ γὰρ εἰπεῖν ὅτι δι' ὧν ἀναγκαζόμεναι δυστυχοῦσιν ἀπαιδίαν αἱ νῆσοι, ὅπερ ἐστὶν ἡ βάσις, ὁρισμός ἐστιν, ὁ δὲ ὁρισμὸς ἀποφάσει ἔοικεν.

γ'. Ἀπ' ἀρχῆς ἄχρι τέλους καλεῖται ἡ ἐν συντόμῳ ἀπαγγελία τοῦ σκοποῦ, οἷον κατατρέχει Χερρόννησον.[19]

δ'. Ἡ ἑρμηνεία[20] ἐν δυσὶ τούτοις κ. τ. λ. Vol. V. p. 382. v. 8.—17. τὸν δὲ καιρὸν ἑκάστου ἐδήλωσεν ὁ τεχνικός. Δεῖ δὲ, ὡς φθάνομεν εἰπόντες, πάσας τὰς ἐμφαντικὰς λέξεις καὶ πᾶσαν τοιαύτην περιέργειαν ἐκφεύγειν ἐν προοιμίοις, καὶ εὔκολα ταῦτα καὶ ἀνειμένα ποιεῖν τῇ συνθέσει, καὶ πολὺ τὸ φιλάνθρωπον ἐπιφαίνοντα·[21]

---

19 Mon. Χερόννησον. Par. Χερρόνησον. Par. addit: Ἐν τῷ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅπερ ἐστὶν ἔννατον κεφάλαιον τοῦ τρίτου τόμου τοῦ παρόντος βιβλίου, μαθήσῃ, πῶς ἐπιφωνηματικῶς αὐτὰ ἐκφέρεται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· νῦν δὲ καὶ περὶ τῆς βάσεως αὐτῶν λέγει, ὡς δείκνυσιν ἐν τῷ τέλει τούτου τοῦ κεφαλαίου. 20 Praecedit in Ven. Δεῖ δὲ τὸ προοίμιον ἐν μὲν τοῖς πολιτικοῖς ἑρμηνεύεσθαι μακροτέροις τοῖς κώλοις καὶ σχοινοτενέσιν· ἐν δὲ τοῖς παθητικοῖς συνεστραμμένοις καὶ εὐκώλοις μᾶλλον. περιβολὴ δὲ αὐτάρκης καὶ τὰ ἑξῆς. 21 Mon. Ven. ἐπιφαίνεται. Sch. min. κατὰ τὴν εὐρυθμίαν· περὶ ῥυθμοῦ ἐν πάσαις ταῖς ἰδέαις εὑρήσεις. Ἢ ἐν τῷ λόγῳ· ἢ ἐν τῇ λέξει, ἤγουν ἐν τῷ σχηματισμῷ τῆς φράσεως διὰ τὴν εὐρυθμίαν, ἢ ἐν τῷ νῷ καὶ ἐν τῇ διανοίᾳ. Ἐν τῷ νῷ· τῷ νοήματι. Φιλοτιμίαν τὴν ἀπ' ἀρχῆς ἄχρι τέλους εἶπεν, ὅταν ἐν τῇ βάσει καὶ αὐτοῦ ἁψώμεθα τοῦ πράγματος. Φιλοτιμίαν· ἀφθονίαν. Τοῖς πολιτικοῖς· ἀγωνιστικοῖς, δικανικοῖς. Τοῖς κώλοις· περὶ κώλου ζήτει τὸ τρίτον κεφάλαιον τοῦ τετάρτου τόμου, καὶ εἰς τὰς ἰδέας πάσας. Τοῖς παθητικοῖς· τοῖς πάθη κινοῦσιν· ὀργὴν, λύπην καὶ τὰ τοιαῦτα. Συνεστραμμένοις· εὐκόλοις καὶ σαφέσι. Διπλασιάσαι· διπλῇ προτάσει καὶ διπλῇ κατασκευῇ χρῆσθαι πολλάκις· ὡς Ἰσοκράτης ἐν τῷ πρὸς Δημόνικον λόγῳ καὶ παρ' Ὁμήρῳ· πολλὰ πλάγχθη· πολλῶν ἀνθρώπων· πολλὰ δ' ὅγ' ἐνὶ πόντῳ. Ἔχειν ἀσφαλῶς· λέξει μόνῃ τοῦ

τοῦτο δ' ἂν συμβαίνῃ, ἐὰν τὰ σχήματα τῆς λέξεως μὴ χαλεπὰ μηδὲ δεινότερα [22] ποιῶμεν, ἀλλὰ μέτρια καὶ εὔκολα· καὶ τὸ μέλος πρᾷον· τοὺς δὲ ῥυθμοὺς βεβηκότας· ταῦτα δὲ περὶ τῶν παθητικῶν εἴπομεν προοιμίων μόνον, πολιτικὰ δὲ [23] τὰ κ. τ. λ. Vol. V. p. 382. v. 18. — p. 385. v. 1. εὐκόλοις δὲ εἶπεν ὁ τεχνικὸς ἀντὶ τοῦ σαφέσιν, οὐ γὰρ κῶλα λέγει, προεῖπε [24] γὰρ, ὅτι συνεστραμμένα δεῖ εἶναι· ἡ δὲ συστροφὴ διὰ τῶν βραχυτέρων φιλεῖ γίνεσθαι κώλων, περιβολὴ δὲ αὐτάρκης εἶπε, δηλῶν ὅτι εἰσὶ καὶ ἀφ' ἑτέρων κατασκευαὶ, οἷον ἀπὸ τῶν περιστατικῶν τῶν ἄλλων, ἀλλ' αὗται τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ἁρμόσουσιν, ὡς ἐπίπαν αὐξητικῶς κατασκευαζομένοις, οὐ προοιμίοις, οἷς σπερματικῶς καὶ ὅσον παραδηλῶσαι τὴν ἰσχὺν [25] τοῦ λόγου οὐχὶ κατασκευάσαι τὰ κεφάλαια πρόθεσις, πλὴν εἰ μή που [26] σπανίως τοῦτο συμπέσοι, [27] καὶ γὰρ οὐκ ἔστι, φησὶ, μικρὰ, ὥστε λαθεῖν, οὐδὲ μέτρια, ὥστε μὴ γνωσθῆναι· χρὴ δὲ γινώσκειν, ὅτι κατασκευὴ μέν ἐστι τὸ ταῖς αἰτίαις ἀληθῆ δεικνύναι τὴν πρότασιν· διασκευὴ δὲ τὸ διὰ τοῦ τρόπου αὔξειν καὶ πολλαπλασιάζειν [28] τὸ ὁμολογούμενον καὶ

προκειμένου διαφέρει· τὸ γὰρ μὴ παρακρουσθῆναι οὐκ ἄλλῳ, ἢ τῷ ἀσφαλῶς ἀντεχομένῳ τινὸς ἑπακολουθεῖ. Μὴ παρακρουσθέντας· ἴσα τὰ κῶλα. 22 Ven. δημωτικά. 23 Ven. πολ. δέ φαμεν. 24 Ven. προείπομεν γὰρ, ὅτι συνεστρ. ταῦτα δεῖ. 25 Mon. Ven. ὑπόθεσιν. et post πρόθεσις Mon. addit: τὴν ὑπόθεσιν τοῦ λόγου. 26 που Par. om. 27 Litt. έ et initium litt. ς'. lege Vol. V. p. 383. v. 2 — 7. In Ven. litt. ε'. et ς'. deest. Habet vero ita post τοῦτο συμπέσοι. Ὑπὲρ τοῦ Χερρόννησον ἔχειν ἡμᾶς ἀσφαλῶς, τὸ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, λέξει μόνῃ τοῦ προκειμένου διαφέρει. τὸ γὰρ μὴ παρακρουσθῆναι οὐ κάλλος, ἢ τὸ ἀσφαλῶς ἀντεχομένους τινὶ ἀκολουθεῖν· οἷα μὲν οὖν, ὦ Ἀθηναῖοι, κακὰ εἴρηκεν ἀνωτέρω τὴν βάσιν συνάγειν τήν τε πρότασιν καὶ τὴν ἀπόδοσιν· πῶς οὖν τοῦτο ποιεῖ κ. τ. λ. 28 Par. πολυπλασιάζειν.

οἱονεὶ διαζωγραφεῖν αὐτὸ καὶ ἐκφράζειν· [29] καὶ ὥσπερ ὑπ᾽ ὄψιν ἄγειν τοῖς ἀκροαταῖς, ὡς ἔχει τὸ, „ἦν ἰδεῖν οὖν, κράτιστε, [30] τὴν Βυζαντίδα καὶ τὰ ἑξῆς.

ζ. Εἴρηται ἀνωτέρω τὴν βάσιν συνάγειν τήν τε πρότασιν· πῶς οὖν τοῦτο ποιεῖ, ἐντεῦθέν ἐστιν ἐλεῖν. Ἔστίν ἡ πρότασις αὕτη· [31] οἷα κακὰ πάσχουσιν οἱ νησιῶται προφάσει [32] τῶν φόρων, οὐδένα ὑμῶν λέληθε· [33] τοῦτο μέχρι τῆς ἀποδόσεως ἀσαφές· διὰ μὲν γὰρ τοὺς φόρους κακά φησι πάσχειν τοὺς νησιώτας, ποῖα δὲ, μέχρι τῆς βάσεως ἄδηλα· ἀλλ᾽ ἐπειδὴ αὕτη ἐκ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους γενομένη, [34] καὶ τὴν αἰτίαν προστίθησι τῶν κακῶν, εἰκότως τὴν πρότασιν συνάπτειν λέγεται τῇ ἀξιώσει· ἔστι γὰρ ἡ ἀξίωσις τῶν φόρων μὲν ἄνεσιν τοῖς νησιώταις προμηθουμένη· οὐ μέντοι καὶ δι᾽ ἥντινα οὐδ᾽ αὕτη προστιθεῖσα τὴν αἰτίαν· τῆς δὲ βάσεως τοῦτο ποιούσης καὶ ταύτη ἀμφοτέρας ὁριζούσης, εὖ μάλα καὶ καταλλήλως συνάπτειν αὐτὰς εἴρηκεν· [35] ἐνὶ γὰρ λόγῳ ταῦτα κἀκείνην σαφῆ καθίστησι· τὸ γὰρ ἐκ τοῦ δασμοῦ κακὸν ὁποῖόν ἐστιν, ὃ καὶ ἡ πρότασις καὶ ἡ ἀξίωσις περιφέρει, μόνη ἐσαφήνισεν αὕτη, τῷ τοῦ γένους ὀλέθρῳ τὴν τοιαύτην πρόσοδον μηνύσασα τοῖς Ἀθηναίοις τοὺς νησιώτας προσελθεῖν. [36]

---

29 Mon. ἐκφράττειν. 30 Mon. ἀκράτιστα. 31 Sch. min. πραγματικὴ ψηφίσματος εἰσφορὰ ψιλή. Ὀχληρούς· φορτικούς· Τολμῶντες ἐπιφων. τόλμησον γὰρ κἂν τῷ λέγειν· δειλὸς γὰρ οὐκ ὀρθῶς ἐρεῖ. Περὶ ἐπιφωνημάτων ζήτει κεφάλαιον ἔνατον τοῦ τετάρτου τόμου τούτου τοῦ βιβλίου. Δι᾽ ὃν ἀναγκαζόμεναι· δι᾽ ὅντινα, φόρον δηλονότι. 32 Ven. προφ. τῶν φόρων πάσχεσιν οἱ νησ. 33 Ven. ἔλαθεν. 34 Mon. et Par. γενομένην. Ven. γενομένη. 35 Ven. εἴρηται. 36 Quae sequuntur: ἐὰν μὲν ἐπὶ κριτὰς — — βάσις λέγεται Ven. om. Par. inter sch. majora inserit: ad στήσεις τὴν ἀξίωσιν· καὶ μὴν οὐκ ἀξίωσις τὸ προσήκει, ἀλλ᾽ ἀπόδοσις· ἀπόδοσις γάρ ἐστιν, ὅταν ὡς κελεύων τις λέγῃ,

Ἐὰν μὲν ἐπὶ κριτὰς ἀναφέρωμεν, κρεῖττον λέγειν αὐτὴν ἀξίωσιν· ἀξιοῖ γὰρ τοὺς ἀκούοντας πρόνοιαν ποιήσασθαι· ἐὰν δὲ οὐκ ἐπὶ κριτὰς, ἀλλ' ἐπὶ αὐτὸ τὸ δίκαιον, οἷον χρὴ δὲ, ἐπεὶ τοῦτο γίνεται, εἰκότα καὶ νόμιμα διανοεῖν καὶ ἐγχειρεῖν, ἵνα μὴ ἀπαιδίαν αἱ νῆσοι δυστυχῶσιν διὰ τούτων, δι' οὓς οὕτω κακῶς τὰ φίλτατα ἀπεμπολοῦσιν,[37] τότε βάσις λέγεται.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.

Cap. I.

Περὶ καταστάσεως,[1] ἤγουν διηγήσεως.

ά. Μετὰ τοὺς τόπους κ. τ. λ. Vol. V. p. 384. v. 11—17. καὶ διὰ τί ὁ τεχνικὸς ἐπιγράψας περὶ καταστάσεως οὐκ ἀπήρξατο ἐξ αὐτῆς, κατάστασίς ἐστιν, ἀλλὰ[2] διήγησις;

ἐρειδόμενος τῷ δικαίῳ, ὡς ἐνταῦθα. ἀξίωσις δὲ, ὅτε ἀξιοῖ· οἷον, ἀλλὰ πρὸς θεῶν, ὑπόσχετέ μοι τὰς ἀκοὰς μικρόν· ἀξιοῖ γὰρ, οὐ κελεύει, ἀλλὰ κατεχρήσατο ὁ τεχνικός. Αὐτὸ λέγω τὸ ἀπ' ἀρχῆς· σημείωσαι, ὅτι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· οἷον αὐτὸ τὸ πρᾶγμα γυμνόν· ἂν εἴπωμεν ἐπιφωνηματικώτερον ἤγουν τροπικώτερον πανηγυρικὴ καὶ φαιδροτέρα γίνεται ἡ βάσις, δηλονότι ὁ λόγος, ὁ συνάγων τὴν πρότασιν καὶ τὴν ἀξίωσιν, ὅ ἐστι μαθεῖν ἐκ τούτου τοῦ παραδείγματος. 37 Mon. οὕτω τὰ φίλτατα κακῶς ἀπαμελοῦσιν ὅτε βάσ. λέγ.

1 In Ven. titulus: Τόμος δεύτ. περὶ διηγήσεως. Par. inter sch. majora inserit: κατάστασίς ἐστιν ἡ διήγησις, ἡ καθιστῶσα εἰς ἀρχὴν τῆς προκειμένης ὑποθέσεως τὸν λόγον· προκατάστασις δὲ ἡ τὰ πρεσβύτερα τῆς προκειμένης ὑποθέσεως κατὰ ἀκολουθίαν ἀπαγγέλλουσα· προκατασκευὴ δὲ ἡ τῶν ἀγωνιστικῶν κεφαλαίων προέκθεσις, ὡς ἂν ἑκάστῳ συμφέρῃ. Litt. ά. non est in Ven. 2 Mon. ἀλλὰ καὶ διήγησίς ἐστιν, καὶ λέγωμεν.

καὶ λέγομεν, ὡς ταὐτὸν γινώσκων τὴν κατάστασιν τῇ διηγήσει, ἀντὶ τοῦ εἰπεῖν κατάστασίς ἐστιν, εἶπε διήγησίς ἐστιν, καὶ γὰρ ὑποκατιὼν λέγει· τὴν γὰρ προκατάστασιν τῆς διηγήσεως τὴν καὶ προδιήγησιν λεγομένην ἄξιον ἐξετάσαι πόθεν ληφθήσεται· φιλοσύντομος γὰρ ὢν ὁ τεχνικὸς, μὴ θέλων ταὐτὸ λέγειν, λέγων τί ἐστι κατάστασις καὶ τί διήγησις, καὶ ὅτι ἀδιάφορον καὶ ταὐτὸν, ἐπιγράψας περὶ καταστάσεως ἀπήρξατο ἐκ διηγήσεως, ὡς ὁ ἐπιγράψας περὶ στοιχείου καὶ ἀπαρξάμενος οὐ τί ἐστι στοιχεῖον, ἀλλὰ γράμματά ἐστιν εἴκοσι τέσσαρα· ταῦτα τοίνυν σαφῆ βουλόμενος ἡμῖν παραστῆσαι παραδείγμασι κέχρηται τοῖς ἐκ τοῦ συμβουλευτικοῦ εἴδους τῆς ῥητορικῆς, πρῶτον μὲν περὶ μετοικιῶν καὶ μονῶν καὶ τῆς ἐν τούτοις εὑρέσεως, δεύτερον περὶ νόμου εἰσφορᾶς καὶ μέντοι καὶ λύσεως,[3] τρίτον περὶ πολέμου καὶ εἰρήνης· εἶθ' οὕτως πως πλατύνεται[4] διήγησις· πέμπτον, πόσοι τρόποι διηγήσεως· ἕκτον, περὶ ἀκμῆς διηγήσεως, ὧν τὴν διαίρεσιν ὡς οἷόν τε ὑποκατιόντες ποιήσομεν. σημαίνει δὲ, ὅτι ἡ προκατάστασις τῶν μετοικιῶν καὶ τῶν ἐπιμονῶν ἀπὸ τῆς κτίσεως τῶν πόλεων καὶ οἰκήσεως τῶν χωρῶν λαμβάνεται· ὧν οὐδέν ἐστι πρεσβύτερον, ἡ δὲ κατάστασις ἤτοι διήγησις ἐκ τοῦ ἐνεστῶτος[5] χρόνου· καὶ ὅτι ἡ προκατάστασις τῆς εἰσφορᾶς καὶ λύσεως τοῦ νόμου ἐκ τῆς γραφῆς καὶ ἐκ θέσεως αὐτοῦ λαμβάνονται, ὧν οὐδὲν πρεσβύτερον, ἡ δὲ διήγησις ἐκ τῶν ἄρτι ἐκ τοῦ νόμου ἐπισυμβαινόντων.[6] καὶ ὅτι ἡ προκατάστασις τοῦ κινεῖν πόλεμον, τὰ πρεσβύτερα κακὰ ὑπάρχουσι τῶν ὑπεναντίων, καὶ ὅτι ἐξ ἀρχῆς ἐπεβούλευον ἡμῖν· ἡ δὲ διήγησις ἐκ τῶν ἄρτι ὑπ' αὐτῶν ἢ λαληθέντων ἢ πραχθέντων· ὁμοίως καὶ περὶ εἰρήνης.

---

3 Mon. λύεται. 4 Mon. περιπλατύνεται omisso πως, 5 Par. ἐνεοτηκότος. 6 Mon. συμβαινόντων.

β'. Ἰστέον, ὅτι προκατάστασίς ἐστι λόγος ἐν βραχεῖ τὰ ἐν τῇ καταστάσει μηνύων περιεχόμενα. ὡς δὲ Ἀψίνης φησὶν ἐν τῇ περὶ τῶν μερῶν τοῦ λόγου τοῦ πολιτικοῦ τέχνῃ, ἔφοδος πρὸς τὰς ἀποδείξεις, οἷον ἐν τῷ κατὰ Μειδίου.[7] βούλομαι δὲ ἕκαστον ἀπ' ἀρχῆς ὧν πέπονθα ἐπιδείξας καὶ περὶ τῶν πληγῶν εἰπεῖν, ἃς τὸ τελευταῖον[8] προσέτεινέ μοι, ἓν γὰρ οὐδέν ἐστιν, ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δίκαιος ὢν ἀπολωλέναι φαίνεται.[9] Κατάστασις δέ ἐστι λόγος πρὸς τὸ τοῦ πράγματος συμφέρον καθιστὰς τὴν διήγησιν, καὶ τὰ ἀντιπίπτοντα προαναιρῶν τῆς τῶν ἀκουόντων ἐννοίας· διαφέρει δὲ διηγήσεως, ὅτι ἡ μὲν ψιλὴν ἔκθεσιν ἔχει τῶν πραγμάτων, ἡ δὲ τῶν τε πρὸ τοῦ πράγματος ἔνια παραλαμβάνει,[10] καὶ τῶν μετὰ τὸ πρᾶγμα, καὶ αὐτὸ τὸ πρᾶγμα,[11] οὐ πάντως ὡς γέγονεν, ἀλλ' ὡς ἂν αὐτῷ δοκῇ συμφέρον ἀφηγεῖται,[12] τὰ μὲν ὅτι μάλιστα συστέλλουσα, τὰ δὲ πλατύνουσα, ἔνια δὲ καὶ πρὸς τὸ μεῖζον ἐξαίρουσα· καὶ γὰρ Ἰσοκράτης φησὶν ἐν τῇ τέχνῃ, ὡς ἐν τῇ διηγήσει λεκτέον τό τε πρᾶγμα καὶ τὰ μετὰ τὸ πρᾶγμα καὶ τὰς διανοίας, αἷς[13] ἑκάτερος τῶν ἀγωνιζομένων χρώμενος τόδε τι πέπραχε. Καταστάσεως δὴ τρόπους Ἀψίνης φησὶ δώδεκα· ἢ γὰρ τὴν ἑαυτῶν διάνοιαν ἐξετάζομεν, ἢ τὴν τῶν ἀκουόντων, ἢ ἀντιπίπτον ἀναιροῦμεν, ἢ προσυστάσει χρώμεθα, ἢ προδιαβολῇ, ἢ προδιορισμῷ,[14] ἢ ἀντεξετάσει τῶν προ-

7 p. 518. 8 Par. ἃς ὕστερόν μοι ἐπέθηκεν. Ven. προέτεινε. 9 φαίνεται Mon. om. 10 Ven. περιλαμβάνει. 11 καὶ αὐτὸ τὸ πρᾶγμα Mon. om. 12 Par. ἀφηγεῖσθαι. 13 Ven. ἃς. χρώμενος Mon. om. 14 Mon. προορισμῷ. vid. Aps. p. 690. Sch. m. πόθεν ληφθήσεται· λαμβάνεται μὲν ἀπὸ τῶν πρεσβυτέρων· τοὺς δὲ τρόπους μαθήσῃ διὰ τῶν ὑποκειμένων πέντε κεφαλαίων, ὧν πρῶτον τὸ περὶ μετοικίας. Ἀξιώσει ἢ κρίσει. ἀξιώσει διὰ τὸ συμβουλευτικόν, κρίσει διὰ τὸ δικανικόν. Τῶν πραγμάτων αἱ ζητήσεις· οἱ τρόποι. Ἐφ' ὃ τρεπτέον· ἐφ' ὃ τεχνικὸν τρεπτέον ἐστὶ δη-

τέρων καὶ τῶν νῦν. ἢ τὸ πρῶτον κεφάλαιον καταστατικῶς εἰσάγομεν, τουτέστιν ἀφηγηματικῶς καὶ ἀνηπλωμένως, ἢ μέρος κεφαλαίου ἀπολαβόντες εἰσάγομεν καταστατικῶς, ἢ τρόπους παρεισφέρομεν, τοῦτο γὰρ [15] μάλιστα ἐν τοῖς ἐσχηματισμένοις ἁρμόσει τῶν ζητημάτων, ἢ ἐπαγγελίᾳ χρώμενοι τὴν κατάστασιν ἐργασόμεθα· περὶ διηγήσεως δὲ προθέμενος εἰπεῖν ὁ τεχνικὸς περὶ προκαταστάσεως διαλαμβάνει· [16] μέρος γὰρ καὶ αὕτη τῆς διηγήσεως καὶ πρεσβύτερον, καὶ ὥσπερ κεφάλαιον τοῦ παντὸς λόγου [17] τούτου τοῦ μέρους· διά τοι τοῦτο οὐδὲ καθ' αὐτὸ ἠξίωται ἐπισκέψεως, σύνεστι γὰρ τῇ διηγήσει, οὐχ ὥσπερ τὸ προοίμιον, τοῦτο γὰρ οὐ τῆς διηγήσεως, ἀλλὰ τοῦ παντὸς μέρος λόγου· διὸ δὴ καὶ ὁ περὶ αὐτοῦ λόγος ἀποκέκριται τῆς διηγήσεως, ἡ μέντοι προκατάστασις οὔ· [18] οὐδὲ γὰρ κατ' ἰδίαν ἐπιγραφήν, [19] ὥσπερ τὸ προοίμιον τὴν οἰκείαν ὑπόθεσιν περιλαμβάνει, ἀλλὰ τῆς διηγήσεώς ἐστι κατασκευαστικὸν μόριον, ὥσπερ προοιμίου ἡ κατασκευὴ καὶ ἡ ἀξίωσις· οὐκ ἐχρῆν δὲ τὸ κυριώτερον καὶ περιέχον παρωσάμενον περὶ τοῦ μέρους προτεῖναι τὴν ἐπαγγελίαν τῆς διδασκαλίας· συγχέοντος γὰρ τοῦτο τὴν διδασκαλίαν καὶ ἀγνοοῦντος τὴν εἰς τὰ κυριώτερα μέρη τομήν· εὐτελέστερον δὲ τὸν περὶ διηγήματος λόγον ποιούμενος, ἀλλ' οὐχ ὡς ἐν προγυμνάσματι περὶ προκαταστάσεως πρῶτον [20] ποιεῖται τὴν διδασκαλίαν.

Τὸ φαίνεται [21] ἀντὶ τοῦ φανερὰ καὶ δήλη καθίσταται· τί δέ ἐστι, φησὶ, διήγησις; οὐδὲν ἄλλο ἢ πλατυσμὸς τῆς ὑποκειμένης ὑποθέσεως· πῶς δὲ πλατύνεται, ἐγὼ, φησὶν

λονότι θεώρημα, τὸ ἀπὸ τῆς ῥητορικῆς τέχνης γινόμενον. 15 Ven. δέ. 16 Ven. περὶ καταστάσεως προδιαλαμβάνει. 17 Par. Ven. τοῦ παντὸς μέρους τούτου τοῦ λόγου. 18 Mon. et Par. οὔ. Ven. οὕτως. 19 Mon. Par. περιγραφήν. Ven. ἐπιγραφήν. 20 Mon. λόγον. 21 Τὸ φαίνεται ἀντὶ τοῦ sqq. usque ad litt. γ'. ex Par. recepi: Mon. om. Ven. nec litt. γ'. habet.

Ἑρμογένης, διδάξω. ἐκθήσομαι γὰρ τοὺς τρόπους σαφῶς, δι' ὧν πλατυνεῖς τὸ ὑποκείμενον πρᾶγμα καὶ μέντοι καὶ ἐξέθετο κατὰ τὴν ὑπόσχεσιν ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ παρόντος τόμου, ἐν ᾧ περὶ διηγήσεως κάλλιστα καὶ ὑψηλότατα διαλέγεται. Πολὺν ἀνάλωσε λόγον κ. τ. λ.[5]
Vol. V. p. 384. v. 21. — p. 385. v. 18.

γ'. Ἡ σύνταξις, καὶ εἰ ὁμοίως ἐν πᾶσι προβλήμασιν ἡ αὐτὴ εὕρεσις προκαταστάσεως γίνεται, ἢ καθ' ἕκαστον εἶδος ζητήματος ἰδία[22] τις γίνεται.

Cap. II.

Περὶ μετοικιῶν καὶ τῆς ἐν τούτοις εὑρέσεως.[10]

ά. Οἱ περὶ μετοικίας βουλευόμενοι·[23] Ζητήσεως ἄξιον, τί δήποτε ὁ Ἑρμογένης[24] τὸν περὶ τῶν στά-

---

22 Par. ἰδέα. 23 Mon. Par. 2. βουλόμενοι. Ven. Οἱ περὶ μετοικεσίας βουλευόμενοι δυοῖν τούτοιν ἕνεκεν θατέρου τὴν βουλὴν ἔχουσι. 24 ὁ Ἑρμογένης Mon. om. Sch. min. Τὴν βουλὴν ἔχουσιν· ἰστέον ὅτι ἐν τούτῳ τῷ κεφαλαίῳ καὶ τοῖς ἑξῆς τέσσαρσι τὰ ὅλα εἴδη τῶν προβλημάτων καὶ αἱ ἐν τούτοις εὑρέσεις τῆς προκατασκευῆς θεωροῦνται. Πακτωλοῦ· ποταμὸς Λυδὸς ὁ Πακτωλὸς, οὗ τὴν ψάμμον χρυσοῦ γεννητικὴν εἶναι ἔλεγον. Σείεται Σικελία· σεισμούς φασιν οἱ φυσικοὶ γίνεσθαι, τοῦ ὑπογείου ὕδατος κινουμένου. Τοῦ Νείλου· ὁ Νεῖλος ῥεῖ μὲν ἀπὸ τῶν ὀρέων, οἷς καταῤῥάκται καὶ κατάδυποι ὄνομα· ῥεῖ δὲ θέρους λήγοντος ἤδη· ὅτι οἱ ἐτησίαι ἄνεμοι πνέοντες τήκουσι τὰς ἐν αὐτοῖς χιόνας, ἔνθεν καὶ σφοδρὸς κατιὼν ὑπερεκχεῖται μὲν τοῦ κύτους καὶ τῶν ὀχθῶν, ἄρδει τὴν ὑποκειμένην τῆς Αἰγύπτου χώραν. Ἐπὶ τὴν Κατάνην· πόλις μὲν ἡ Κατάνη· ἡ δὲ Αἴτνη λίφος τις γειτνιάζων, ἐν ᾧ πῦρ αὐτομάτως ἀναδίδοται, οἷς φασι καὶ τὸν Ἡρακλέα ἑαυτὸν ἐμβαλεῖν, ἀλλὰ καὶ πολλοὺς τῶν δοξομανούντων φιλοσόφων καὶ βουλομένων ἀπαθανατισθῆναι. Πλάττεται οὖν ὁ Ἑρμογένης, ὅτι χεομένου ἐπὶ

σεων ποιούμενος λόγον καὶ τὴν κατ᾽ ἐκείνας ἐπαγγειλάμενος εὕρεσιν ἐνταῦθα διδάξαι οὐ περὶ τῶν ἀγωνιστικῶν πρῶτον διέλαβε στάσεων, ἀλλὰ περὶ πραγματικῆς, ἥτις οὐ τοῦ δικανικοῦ μέρους, ἀλλὰ τοῦ συμβουλευτικοῦ. τίς οὖν ἡ αἰτία ἐροῦμεν, ὡς ἐν μὲν τῷ περὶ τῶν στάσεων κ. τ. λ.
Vol. V. p. 386. v. 5—13.

Cap. III.

Περὶ νόμων εἰσφορᾶς καὶ θέσεως ἢ διαθέσεως.

ά. Νόμος ἦν ἄνευ πανσελήνου μὴ ἐξέρχεσθαι εἰς πόλεμον, ἐπολέμησαν Ἀθηναίοις [25] καὶ ἐνίκησαν μὴ

τὴν Κατάνειαν τοῦ πυρὸς βουλεύονται οἱ πολῖται μετοικεῖν· ἐν δὲ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ παρόντος τόμου τοῦτο πεποίηκεν εὐθὺς περὶ ὧν προὔκειτο λέγειν αὐτῷ, ἤγουν περὶ προκαταστάσεως ἢ διηγήσεως. 25 Mon. Ἀθηναῖοι. Ven. caput hoc om. Sch. min. αἱ τῶν νόμων εἰσφοραὶ ἀντὶ τοῦ αἱ δὲ μετὰ περιστάσεως εἰσφοραὶ τῶν νόμων, καὶ αἱ μετὰ περιστάσεως λύσεις τῶν νόμων. Νόμου λύσις μετὰ περιστάσεως, καὶ νόμου εἰσφορὰ μετὰ περιστάσεως· οἷον νόμος, τὸν μοιχὸν χρήματα ἐκτινύναι· μοιχῶν πολλῶν ἁλισκομένων καὶ προθύμως βαλλομένων γράφει τις· λελύσθαι μὲν ἐκεῖνον τὸν νόμον, τεθεῖσθαι δὲ ἕτερον, ἀναιρεῖσθαι τοὺς μοιχούς· ἰδοὺ ἐν ταυτῷ ἡ λίσις καὶ εἰσφορά· περίστασις δὲ τὸ ἀδεῶς μοιχεύειν αὐτούς. Κακοῦ τινος ἀπαντήσαντος· ἐκ τούτου γνῶθι, ὅτι χωρὶς περιστάσεως οὐ λύεται νόμος. Αἱ ἄνευ περιστάσεως οὐδὲ προβλήματά εἰσιν, ὡς ἡ θέσις· ποίαν μὲν γὰρ ἕξουσι διήγησιν μὴ ἔχουσαν πρᾶγμα· μὴ οὔσης δὲ διηγήσεως μηδὲ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους οὐδὲ προβλήματα ἔσται, ἀλλὰ ψιλὸν προγύμνασμα. Οὐδὲ διηγήσεις ἔχει· ἀληθεῖς δηλονότι· ἐπεὶ εἰσὶ καὶ πεπλασμέναι διηγήσεις. Κατὰ Κύζικον. Καταλιπὼν Ἀλκιβιάδης τὸν στρατὸν μετὰ τὸν ἐν Κυζίκῳ πόλεμον, κατὰ μετάκλησιν Ἀθηναίων, μυρίων αὐτοῖς κατέστη συμφορῶν αἴτιος. καὶ ἐπανελθὼν

οὔσης πανσελήνου. καὶ λέγει τις λύεσθαι τὸν νόμον παρὰ Λακεδαιμονίοις. [26]

Cap. V.

Περὶ διηγήσεως.

ά. Πλατύνεται τοίνυν ἡ διήγησις ἐκ τοῦ ἕκαστον τῶν λεγομένων τρισὶ καὶ τετράσι κώλοις καὶ πλείοσι πολλάκις ἐκφέρεσθαι, ὅπερ λέγεται ἑρμηνεία· ἑρμηνεία γάρ ἐστι τὸ πολλάκις τὴν αὐτὴν ἔννοιαν ποικίλοις καὶ διαφόροις ὀνόμασι μεταποιεῖν τοῖς κώλοις, ὅπερ καὶ κόσμον ἐμποιεῖ τοῦ λόγου καὶ τὴν δύναμιν τρέφει τοῦ ῥήτορος· [1] αὐξάνεται δὲ καὶ μηκύνεται ἡ διήγησις ἐκ πέντε τούτων. ἐκ τοῦ πεπραγμένου καὶ τῆς αἰτίας αὐτοῦ, ἐκ τοῦ παραλειφθέντος καὶ τῆς αἰτίας αὐτοῦ, ἤτοι διὰ τί παρελείφθη τὸ παραλειφθὲν καὶ οὐ γέγονεν, [2] ὥσπερ καὶ ἐπὶ τοῦ

πειρᾶται εἰσφέρειν τὸν νόμον. Περὶ τούτου πλατύτερον διαλαμβάνει Πλούταρχος ἐν τοῖς παραλλήλοις. Σημείωσαι, πῶς εἰσφέρεται νόμος. Νόμος ἦν ἀποστελλομένου στρατηγοῦ μὴ ὑποστρέφειν αὐτὸν ἄνευ στρατοῦ. Εἰσφορὰ νόμου καὶ λύσις ἐν ταὐτῷ. Ἀφ' οὗ καὶ ἐνδοξότεροι διατελοῦμεν ὄντες πολέμου· ἡ σύνταξις, ἀφ' οὗ πολέμου καὶ ἔνδοξοι ὄντες διατελοῦμεν. 26 Litt. β. et totum caput IV. περὶ ἀσεβείας καὶ φόνου vide Vol. V. p. 386. v. 20. — p. 388. v. 27.

1 Mon. ῥητοῦ. Sch. min. εἰδέναι χρὴ, ὡς οἱ ἐξηγηταὶ, ὅσα ἔμελλον ἐρεῖν ἐν διηγήσει, ἐν τῇ προδιηγήσει εἶπον· ἀνάγνωθι οὖν τὸ πρῶτον κεφάλαιον τούτου τοῦ τόμου, καὶ εὑρήσεις. Σημείωσαι, πῶς πλατύνεται διήγησις. 2 Par. οὐκ ἐγένετο. Sch. min. τρόποις· τόποις γενικοῖς ἢ μέρεσι. Ῥητῷ μέτρῳ· ὡρισμένῳ. Ὅρα, πῶς μία καὶ ἡ αὐτὴ ἔννοια τῶν ἓξ κώλων. Μέτρῳ· τὸ μὲν προοίμιον συνεστραμμένον ὀφείλει εἶναι, καὶ μὴ πέρα τοῦ δέοντος ἐκτείνεσθαι, ἵνα μὴ καὶ τὴν ἀκοὴν τῶν δικαστῶν ἀποκναίωμεν, καὶ τὸ

πραχθέντος, διὰ τί γέγονεν καὶ ἐκ τῶν λογισμῶν. ἡνίκα οὖν τῆς διηγήσεως πλάτος λέγει, οὐχ ἁπλῶς λέγει, ἀλλὰ τῶν μερῶν αὐτῆς λέγει τὴν αὔξησιν τῶν προλεχθέντων πέντε. ἡνίκα δὲ λέγει μῆκος, αὐτὰ τὰ μέρη αἰνίττεται, ἐπεὶ πῶς ἐν ἀρχῇ εἰπὼν, ὅπως πλατύνεται διήγησις, ἐπήγαγεν αὐτὸ κατιὼν οὕτω; πρῶτον μὲν οὖν οὕτω μηκύνεται ἐξ ἑρμηνείας, ἢ δῆλον ὡς τῶν μερῶν τιθεμένων μὲν μηκύνεται ἡ διήγησις, ἑνὸς δὲ ἑκάστου αὐτῶν ἑρμηνευομένου διαφόροις καὶ ποικίλοις ὀνόμασι τεσσάρων καὶ πέντε κώλων πλατύνεται, καὶ διὰ τῆς [3] διαιρέσεως σαφέστερον αὐτὸ δείξομεν· ἔστω δὲ παράδειγμα ὁ στρατηγὸς ὁ μὴ ἀνοίξας τὰς πύλας· ἀ. τὸ πραχθὲν, β'. ἡ αἰτία [4] τῶν πραχθέντων, γ'. τὸ παραλειφθὲν, δ'. ἡ αἰτία τοῦ παραλειφθέντος, ε. ἡ προδιήγησις τοῦ λογισμοῦ, ς'. οἱ λογισμοί. Τὸ πραχθὲν ἡμεῖς ἐνστάντος τοῦ πολέμου καὶ καταῤῥαγείσης τῆς μάχης [5] καὶ κινηθείσης ἡμῖν πρὸς τοὺς ἐχθροὺς φιλονεικίας τοῦτον στρατηγεῖν ἠξιώσαμεν. καὶ τὸ ἀξίωμα τῆς πόλεως ἐπιστεύσαμεν· ἡ αἰτία τοῦ πραχθέντος, οὐχ ὡς μὰ τὴν ἀλήθειαν προδώσοντος αὐτοῦ τὴν πόλιν καὶ τοὺς ἐχθροὺς ἀγαπήσοντος, ἀλλ' ὡς εὐνοϊκῶς προστησομένου τῶν ἡμετέρων πραγμάτων. ἡ αἰτία τοῦ παραλειφθέντος, δύσνους γὰρ ἦν περὶ τὴν πόλιν καὶ ἄδικος πάνυ, ἀλλὰ καὶ αἴτιος ἡμῖν ἥττης ἐγένετο· τὸ παραλειφθὲν, ὁ δὲ ταῦτα πιστευθεὶς οὔτε ἐστρατήγει καλῶς οὔτε ἐξηγεῖτο τῶν πραγμάτων· ἡ προδιήγησις τοῦ λογισμοῦ, ἐπεὶ δὲ ὁ θεὸς καλῶς ποιῶν

ὕδωρ ἡμῖν ἀνονήτως ῥεῖ· ἐν δὲ τῇ διηγήσει τοῦ πράγματος αὐτοῦ πᾶσα ἀνάγκη ἐνδιατρίβειν τῷ λόγῳ καὶ κενοῦν τὴν ἑαυτοῦ ἰσχὺν τὸν ῥήτορα, πῶς γὰρ, εἰ μὴ ἐν τούτῳ χρειώδης· οἷς δὲ ἐργάζεται προοίμιον, ἔμαθες ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ πρώτου τόμου τοῦ παρόντος βιβλίου. 3 διὰ τῆς Mon. om. 4 Mon. καίτοι τῶν πραχθέντων. numeri ἀ, β' etc. Mon. om. Pro γ' iterum ponit καίτοι. 5 τῆς μάχης Mon. om.

καὶ κηδόμενος τῶν τῆς πόλεως πραγμάτων καὶ ἐπανορθούμενος τὰ τῆς πόλεως πταίσματα κατὰ νοῦν [6] ἐποίησε, ῥῆξαι τὰ δεσμὰ καὶ φυγεῖν δυνηθῆναι καὶ σωθῆναι πρὸς ἡμᾶς· οἱ λογισμοὶ, ἐνταῦθα ὁ στρατηγὸς ἐλογίσατο, εἰ μὲν ἀνοίξει τὰς πύλας σωθῆναί τε παρασκευάσει τοὺς τριακοσίους, καὶ οὐδὲν ὄφελος αὐτῷ τῆς προδοσίας ἔσται· καὶ τῆς ἥττης ἡμῖν ἀπαντήσει παραμυθία, εἰ δὲ μὴ ἀνοίξειεν, ὡς πληράσει τε τὴν ἐπιθυμίαν καὶ πάντες τεθνήξονται καὶ εἰς στενὸν κομιδῇ περιστήσεται τὰ ἡμέτερα· ἀλλ᾽ οὐ πάντα κυρίως κᾶλα, ἴσως δέ τις ἀπορήσει, πῶς τοῦ τεχνικοῦ ἐν τῷ παραδείγματι τιθέντος πρῶτον τὸ παραλειφθὲν, οἷον ἔστω δὲ ὁ στρατηγὸς ὁ μὴ ἀνοίξας τὰς πύλας, ἀπὸ τοῦ παραλειφθέντος πρῶτον, ἡμεῖς γὰρ ἐνστάντος τοῦ πολέμου καὶ καταῤῥαγείσης μάχης καὶ κινηθείσης ἡμῖν πρὸς τοὺς ἐχθροὺς φιλονεικίας, ἄλλον μὲν οὐδένα τῶν πάντων στρατηγὸν ἐχειροτονήσαμεν, οὐδὲ ἐπεστήσαμεν τοῖς πράγμασιν, οὐδὲ τὸ στρατόπεδον ἐπιστεύσαμεν, νῦν ἐν τῇ διαιρέσει τὸ πραχθὲν ἐπετάγη αὐτῷ· φαμὲν οὖν, ὡς ἐπί τινων μακρῶν διηγήσεων οὐχ ἅπαξ εὑρίσκεται τὸ παραλειφθὲν, ἀλλὰ καὶ δὶς εἰ τύχοι καὶ τρὶς ὁμοίως.[7] καὶ τὸ πραχθὲν, διὸ βουλόμενοι δεῖξαι ποσαχῶς τίθεται καὶ τί ἐστι, τεθείκαμεν αὐτὸ, ὡς ἂν παραδειγματικῶς κείμενον ἐμφαίνοιτο τοῖς μανθάνειν ὀφείλουσιν, καὶ αὐτοὶ ὁσάκις ἂν εὑρίσκωσιν αὐτὸ κείμενον, γνωρίζωσιν αὐτό. ἀλλὰ καὶ χρῆσθαι αὐτῷ δύναιντο·[8] τούτῳ οὖν τῷ τρόπῳ ἅπαξ ἐτέθη παρ᾽ ἡμῶν ἐν τῇ διαιρέσει· ὅτι δὲ καὶ ὁ τεχνικὸς τὸ αὐτὸ ἐνόησεν, ὅρα πῶς μνημονεύσας πρῶτον τοῦ παραλειφθέντος εἶτα τοῦ πραχθέντος, τρίτης δὲ τῆς αἰτίας τοῦ πραχθέντος οὐκ ὠνόμασεν αὐτὸ ὁ τεχνικὸς, ὡς ἤδη ἑτέρου παρ᾽

---

6 Sch. min. προλογισμὸς, ἀντὶ τοῦ ὅπερ ἐβούλοντο. 7 Mon. τρεῖς ὅμως. 8 Mon. αὐτοῦ δύνανται. Par. αὐτῷ om.

αὐτοῦ καὶ προτεθέντος καὶ τεχνολογηθέντος. Ὅρα γάρ, τί φησιν· εἶτα ἡ αἰτία τοῦ πραχθέντος οὐχ ὡς μὰ τὴν ἀλήθειαν προδώσοντος αὐτοῦ τὴν πόλιν, παραλειφθέν ἐστιν. ὁμοίως καὶ τοὺς ἐχθροὺς ἀγαπήσοντος· ἀλλ' ὡς εὐνοϊκῶς προστησομένου τῶν ἡμετέρων πραγμάτων· ἐνταῦθα γὰρ [9] ἐν τῇ αἰτίᾳ τοῦ πραχθέντος, ὡς φησιν ὁ τεχνικὸς, οὐκ ἔστι μόνον τοῦ πραχθέντος ἡ αἰτία, ἀλλὰ καὶ τοῦ παραλειφθέντος. τὸ γὰρ εἰπεῖν οὐχ ὡς μὰ τὴν ἀλήθειαν προδώσοντος αὐτοῦ τὴν πόλιν, παραλειφθέν ἐστιν, ὁμοίως καὶ τοὺς ἐχθροὺς ἀγαπήσοντος· τὸ δὲ, ἀλλ' ὡς εὐνοϊκῶς προστησομένου τῶν ἡμετέρων πραγμάτων τὸ πραχθέν ἐστι. τίς γὰρ εἴποι τὸ οὐχ ὡς μὰ τὴν ἀληθειαν προδώσοντος αὐτοῦ πραχθέν ἐστι καὶ οὐ παραλειφθὲν, ἐπεὶ ταὐτὸν ἔσται τὸ προδοῦναι τὴν πόλιν καὶ τὸ εὐνοϊκῶς προστησομένου τῶν πραγμάτων, ὅπερ οὐδεὶς ἂν ὁμολογήσειεν. ὅθεν μετὰ τὴν συμπλήρωσιν τούτων φησὶ καὶ παρατηρητέον, ὅτι τὰ πραττόμενα καὶ τὰ παραλειπόμενα καὶ τὰς αἰτίας τῶν πραττομένων καὶ παραλειπόμενα καὶ τὰς αἰτίας τῶν παραλειπομένων καὶ τοὺς λογισμοὺς, οὐκ εἶπε τὸ παραλειφθὲν [10] πρῶτον, εἶτα τὸ πραττόμενον, εἶτα τὴν αἰτίαν τοῦ πραττομένου καὶ πάλιν τὸ παραλειφθὲν, διὰ τὸ ἀρκεῖσθαι ἅπαξ ὀνομάσαντα τὸ παραλειφθὲν τὴν αὐτοῦ φύσιν διδάξαι. διὰ τοῦτο καὶ ἡμεῖς ἅπαξ αὐτοῦ μνήμην ἐποιησάμεθα προτάξαντές τε τὸ πραχθὲν καὶ ἅπαξ τεθεικότες τὸ παραλειφθέν· καὶ διὰ τί ἑπτὰ εὑρισκομένων ἐν τῇ διηγήσει παραλειφθέντος καὶ ἐναντίου, [10*] καὶ αἰτίας τοῦ ἐναντίου, πραχθέντος καὶ αἰτίας τοῦ πραχθέντος καὶ λογισμοῦ, πέντε τινῶν ἐμνημόνευσεν ὁ τεχνικὸς καὶ οὐχὶ τῶν ἑπτά· λέγομεν οὖν, ὅτι ὡς καθολικὸν ὄνομα ἤτοι γενικὸν θεὶς τὸ

λει-

9 Mon. τά. 10 Mon. παραληφθέν. 10* Mon. παραλειφθέντος ἐναντία. omisso sq. καὶ αἰτίας τοῦ ἐναντίου.

λειφθὲν συμπεριέλαβεν ἐν ἑαυτῷ καὶ τὸ ἐναντίον, τὸ γὰρ παραλειφθὲν ἔχει ἐν ἑαυτῷ τοῦ προσδοκηθέντος τὸ ἐναντίον· τὸ μὲν γὰρ πραχθὲν ἄτμητον ὡς ἕν τι σημεῖον, τὸ δὲ παραλειφθὲν δύο σημαίνει, σημαίνει γὰρ τὴν στέρησιν ἁπλῶς τοῦ μὴ πραχθέντος, σημαίνει καὶ τὸ ἐναντίον τοῦ πραχθέντος· καὶ ἵνα ἐκ παραδείγματος σαφέστερον γένηται τὸ λεγόμενον, τῷ τοῦ τεχνικοῦ χρήσομαι παραδείγματι· ὅρα γὰρ αὐτό, φησὶ, τὸ πραχθέν· τοῦτον δὲ στρατηγεῖν ἠξιώσαμεν, καὶ τὸ ἀξίωμα τῆς πόλεως ἐπιστεύσαμεν, καὶ πᾶσαν τὴν δύναμιν ἔχειν καὶ πράττειν ὅπως καὶ θελήσειεν, ἐπετάξαμεν·[11] εἶτα ἐπάγει τὴν αἰτίαν τοῦ πραχθέντος, οὐχ ὡς μὰ τὴν ἀλήθειαν προδώσοντος αὐτοῦ τὴν πόλιν, καὶ τοὺς ἐχθροὺς ἀγαπήσοντος, ἀλλ' ὡς εὐνοϊκῶς προστησομένου τῶν ἡμετέρων πραγμάτων· ἐν τούτοις τοῖς τρισὶ κώλοις τριῶν τινων ἐμνημόνευσεν, παραλειφθέντος, ὅπερ ἐστὶν, οὐχ ὡς μὰ τὴν ἀλήθειαν προδώσοντος αὐτοῦ τὴν πόλιν, καὶ τοῦ ἐναντίου, ὅπερ ἐστὶν, οὐχ ὡς τοὺς ἐχθροὺς ἀγαπήσοντος, τοῦτο γὰρ ἐναντίον ἐστὶ τοῦ ἐπαγομένου ἤτοι τοῦ πραχθέντος, ἀλλ' ὡς εὐνοϊκῶς προστησομένου[12] τῶν ἡμετέρων πραγμάτων· ὅπερ ἐστὶ τὸ πραχθέν· τὸ γὰρ εὐνοϊκῶς προϊστασθαι τῶν ἰδίων τοὺς ἐχθροὺς ἀγαπήσοντος ἐναντίον ἐστί· φιλοσύντομος οὖν ὑπάρχων ὁ τεχνικὸς διδασκαλικώτερον λόγον ἐκτιθέμενος, διὰ τοῦ παραλειφθέντος ὀνόματος ἐσήμανε τό τε παραλειφθὲν καὶ τὸ ἐναντίον.

β'. Διήγησίς ἐστιν ἔκθεσις πραγμάτων γεγονότων ἢ ὡς γεγονότων, καὶ ἡ μέν ἐστι γενικὴ, ἡ δὲ εἰδική· καὶ γενικὴ μὲν διήγησις ἀπαγγελία πραγμάτων γεγονότων, ἢ ὄντων ἢ μελλόντων, ἡ δὲ εἰδικὴ ἀπαγγελία πραγμάτων γεγενημένων ἢ ὄντων ἐπὶ κριτοῦ, ὑπὲρ ὧν δεῖ φέρειν τὰς ἀποδείξεις. ἰστέον δὲ, ὅτι φανερῶν ὄντων τῶν πραγμάτων,

11 Codd. ἐπέταξεν. 12 Mon. inserit ἤτοι.

περιττὸν τὸ διηγεῖσθαι, ὅπερ φασὶν ἐν δευτερολογίαις εὑρίσκεσθαι, ἢ ὅταν ἄδοξα τὰ πράγματα ᾖ· ἡ δὲ τάξις τῆς διηγήσεως οὐκ ἀεὶ μετὰ τὰ προοίμια, ἀλλ' ἔσθ' ὅτε καὶ μετὰ τὰς πίστεις καὶ ἐν τοῖς ἐπιλόγοις, ὡς Αἰσχίνης ἐν τῷ κατὰ [13] Τιμάρχου καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου.

γ'. Ὁ γὰρ [14] ἐν εὐπεριγράπτῳ καὶ συντόμῳ λόγῳ πλατυνόμενος δῆλον ὅτι δι' ἑτέρων καὶ ἑτέρων λέξεων πλατυνθήσεται· τὸ μὲν γὰρ ἀπερίγραπτον [15] καὶ ἀόριστον μῆκος τοῦ λόγου καὶ τὰς αὐτὰς ἐπιδέχεται λέξεις καὶ μέρη [16] τοῦ λόγου διάφορα. τὸ δὲ εὐπερίγραπτον καὶ ὡρισμένον, ὥσπερ καὶ ἡ τῆς διηγήσεως ἐν τρισὶ καὶ τέτρασι κώλοις περιγραφὴ οὐκέτι, ὥστε εἰκότως ἡ ἐξ αὐτοῦ γενομένη εὐπορία τῶν λέξεων τροφὴ καὶ αὔξησις γίνεται τοῦ ῥήτορος. Περιγραφὴν δὲ λέγει τὴν σύντομον διάνοιαν. αὕτη γὰρ καὶ μόνη ποικίλως ἑρμηνευθεῖσα [17] ἐκόσμησέ τε τὴν φράσιν καὶ δόξαν ἀκμῆς τῷ ῥή-

---

13 κατὰ Mon. om. 14 Ven. litt. α'. et β'. omissa: Τρέφει δὲ καὶ τὴν δύναμιν τοῦ ῥήτορος ἐν ταῖς περιγραφαῖς τοῦτο ἀσκούμενον· ὁ γὰρ εὐπεριγράπτῳ κ. τ. λ. 15 Mon. ἀπερίληπτον. Ven. et Par. ἀπερίγραπτον. 16 Ven. τὰ μέν. 17 Sch. min. Ἑρμηνευθέν· ἐκφρασθέν. Τρέφει δὲ καὶ τὴν δύναμιν· ἐν ταῖς εὐπεριγράπτοις καὶ μικραῖς διηγήσεσιν ὁ πολυπλασιασμός, φησὶ, τῶν κώλων αἴξει τὴν δύναμιν τοῦ ῥήτορος, πλατύνων αὐτὴν δηλαδὴ τὴν διήγησιν. Μάλιστα· κατὰ σύγκρισιν ἐξαιρέτως. Ἐν ταῖς περιγραφαῖς· τουτέστι ταῖς δι' ὀνομάτων ἐπαγγελίαις, καὶ ταῖς συντόμοις ἑρμηνείαις ἢ ταῖς διατυπώσεσι. Τοῦτο ἀσκούμενον· γυμναζόμενον, μελετώμενον. Ἐξ ἀνάγκης· εἰκότως εἶπεν τὸ ἐξ ἀνάγκης, ὃ γὰρ τὴν αὐτὴν ἔννοιαν πολλοῖς κώλοις ἀπαγγεῖλαι μελετῶν πρὸς ἀνάγκην ἔχει, οὐ πολλῶν μόνον, ἀλλὰ καὶ διαφόρων ὀνομάτων εὐπορεῖν εἰς τὴν ἔκφρασιν, ἄλλως γὰρ οὐκ ἔνι τοῦτο ποιῆσαι. Μηκύνεται· μακρὰ γίνεται. Ἐξ ἑρμηνείας· φράσεως. Οὐκ ἐποίησα οὐδὲ εἰργασάμην, ἐκεῖνο δὲ οὐ διεπρ. τρεῖς λέξεις τὸ ἓν σημαίνουσαι. Αἰτίαν ζητήσομεν· τοῦτο κατασκευῆς

τορι παρέσχεν· αἱ δὲ διεξοδικώτεραι οὔ. διαφόρως γὰρ ἑρμηνευθεῖσαι αὗται ἐπίλογοι ἢ δευτερολογίαι ἔσονται.[18]

δ'. Παραλειφθέντα[19] ταῦτα λέγει, ἐπεὶ μὴ ἐπράχθη, οὐδὲ γὰρ ἄλλος τῶν πραγμάτων ἐπιστατεῖν προκεχείρισται, ἢ οὗτος ὁ στρατηγὸς, ὥστε τὸ ἄλλον ἐπιστῆσαι παραλειφθέν.[20] εἰκότως οὖν ταύτην τὴν ἐργασίαν ἐκ τῶν παραλειφθέντων καλεῖσθαι παρεσκεύασεν.

ε. Ὁμοίως καὶ τοῦτο ἐκ τῶν παραλειφθέντων λέγεται. ἐξὸν γὰρ καλῶς τῶν πραγμάτων ἐξηγεῖσθαι τὸν στρατηγὸν παραλέλειπται·[21] εἴργασται δ' αὐτῷ τὰ ἐναντία τούτων.[22]

ς'. Πόσοι τρόποι διηγήσεων; τρεῖς, ἁπλοῦς ὁ ἀπὸ πολλῶν καὶ ποικίλων καὶ ἱκανῶν καὶ βαρούντων τοὺς ἀντιδίκους, ἡμῖν δὲ βοηθούντων πραγμάτων· ἐγκατάσκευος, ὁ ταῖς αἰτίαις κατασκευαζόμενος, ἐνδιάσκευος, ὁ ἐκ προσώπου διασκευαζόμενος, ἁπλοῦς ὁ ἀπὸ δυνατῶν πραγμάτων καὶ πολλῶν, ὅταν γὰρ ᾖ τὰ πράγματα πολλὰ καὶ ποικίλα καὶ ἱκανὰ, ἢ καὶ βαρῇ τοὺς ἀντιδίκους, ἡμῖν δὲ βοη-

---

εἶδος. Σημεῖα πλατυσμοῦ· α. ἐξ ἑρμηνείας. β. ἐκ τοῦ παραλειφθέντος. γ. ἐκ τοῦ πεπραγμένου. δ. ἐκ τῆς αἰτίας. ε. ἐκ τῶν λογισμῶν. Οὕτω καλὸς εἰς κατασκευήν· σημείωσαι, ὅτι οὐδὲν τῆς τοῦ πεπραγμένου αἰτίας οἰκειότερον τῇ κατασκευῇ τῆς διηγήσεως. Ἄλλον μὲν οὐδένα· τὸ παραλειφθέν. Οὐδὲ ἐπεστήσαμεν· τὸ ἐναντίον ἐπίτασίς ἐστι τοῦ παραλειφθέντος. 18 Par. inter sch. majora inserit: Σημείωσαι δι' ὅλου τοῦ χωρίου, ὅτι καὶ τὰ πραττόμενα καὶ τὰς αἰτίας τῶν πραττομένων καὶ τὰ παραλειπόμενα καὶ τὰς αἰτίας τῶν παραλειπομένων καὶ τοὺς λογισμοὺς καὶ πάντα ἐν πολλοῖς κώλοις λέγειν δυνάμεθα. 19 Ven. praemittit: Ἔστω δὲ ὁ στρατηγὸς ὁ μὴ ἀνοίξας τὰς πύλας παρὰ τοῦ παραλειφθέντος. 20 Ven. παραλειφθέντων καλεῖσθαι παρεσκεύασεν· ὁ δὲ ταῦτα πιστευθεὶς πάλιν ἐκ τῶν παραλειφθέντων, οὔτε ἐστρατήγει καλῶς. Καὶ τοῦτο ἐκ τῶν παραλ. λέγεται. 21 Mon. τῶν στρατηγῶν λέλειπται. 22 Par. πάντων. id. addit: σημείωσαι, ὅτι τρόπου ἴδιον ἡ διασκευή ἐστι. Litt. ς'. abest a Ven.

ιθῇ, ἁπλῇ χρησόμεθα τῇ διηγήσει· οὐ δεῖται γὰρ ἰσχυρῶν λόγων τὸ αὐτομάτως ἰσχυρὸν πρᾶγμα, ὡς ἐν τῷ κατὰ Κόνωνος αἰκίας· „ἐξήλθομεν εἰς Ἰάνακτον ἔτος τοῦτο τρίτον, καὶ μεθ' ἡμῶν ἐσκήνωσαν οἱ Ἀριστωνος υἱεῖς καὶ προσούρουν τε ἡμῖν καὶ τὰς ἀμίδας[23] κατερρήγνυον·" οὐ γὰρ εἶχε μᾶλλον δεινῶσαι τῷ λόγῳ; ἢ τὰ πράγματα λέγων αὐτὰ ὁ ῥήτωρ ψιλά, ἃ ἔπραττον ἐκεῖνοι. ἐγκατάσκευος, ἡ ἔχουσα αἰτίας· ὅταν γὰρ σύντομος καὶ πολιτικὴ ᾖ[24] διήγησις, τῷ ἐγκατασκεύῳ χρησόμεθα τρόπῳ. ταῖς αἰτίαις κατασκευάζοντες αὐτὴν, ἵνα γένηται ῥητορικωτέρα τῇ προσθήκῃ τῶν αἰτιῶν, εἰς τὴν κατασκευὴν βοηθουμένη· οἷον ὡς ἡ κατὰ Ἀριστοκράτους. φάσκων γὰρ Χερρόνησον[25] κινδυνεύειν τῇ πόλει, τὰς αἰτίας λέγει δι' ἃς ἐσώζετο, καὶ τὰς αἰτίας ἐξ ὧν ἀπολεῖται· ἔστι γὰρ τοῦτο·[26] „τελευτήσαντος Κότυος Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς Θράκης γενέσθαι βασιλέας· συμβέβηκε[27] γὰρ ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι[28] καὶ θεραπεύειν·" ἐνδιάσκευος ἡ τροπική· ὅταν δὲ ᾖ σύντομος καὶ φαιδροτέρα, τῷ ἐνδιασκεύῳ χρησόμεθα τρόπῳ, μὴ φειδόμενοι μηδὲ τῶν ἀπὸ τοῦ τρόπου κατασκευῶν· ἐνδιάσκευος γάρ τοι διὰ τοῦτο κέκληται, ὅτι τοῖς ἀπὸ τῆς διασκευῆς μέρεσι βοηθεῖται, οἷον ὡς ἐν τῷ τῆς παραπρεσβείας Δημοσθένης,[29] θέαμα δεινὸν, ὦ ἄνδρες

---

23 Sch. min. τὸ σταμνίον ἐν ᾧ οὐροῦσιν. — Adv. Conon. p. 1257. 24 Mon. ἡ. Sch. min. ὅτι τὸ ἐγκατάσκευον ταῖς αἰτίαις γίνεται. Ἐνδιασκεύῳ χρ. τρόπῳ. τὴν μέθοδον εἶπε τρόπον. Ἀπὸ τοῦ τρόπου· τοῦ ὅπως γέγονε τὸ πρᾶγμα. Σημείωσαι, ὅτι τὸ ἐνδιάσκευον τρόπον ποιεῖ. 25 Par. Χερρόνησον. Mon. Χερόννησον. 26 p. 623. 27 Sch. min. τὸ συνέβη ἀπὸ κοινοῦ. 28 Sch. min. ὑποπίπτειν, ταπεινοῦσθαι. Διὰ τῆς θεωρίας ταύτης· τῆς ἐννοίας, τοῦ σκοποῦ, φησὶ δὲ τῆς αἰτίας. 29 p. 361. — Sch. min. ἐγκατάσκευος διήγησις ἡ καθ' ἕκαστον

Ἀθηναῖοι, καὶ ἐλεεινόν· ὅτε γὰρ ἐπορευόμεθα εἰς Δελφοὺς, ἐξ ἀνάγκης ἦν ὁρᾷν ταῦτα, οἰκίας κατεσκαμμένας τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρια ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς." δεῖ δὲ εἰδέναι, ὅτι περὶ πλάτους καὶ μήκους πρῶτον ἡμᾶς διδάξας ὁ τεχνικὸς τῆς διηγήσεως ὕστερον τοὺς τρόπους αὐτῆς ἡμῖν ἐξέθετο. φύσει γὰρ ἡ ποσότης προῆκται τῆς ποιότητος. εἰ γὰρ μὴ δέξεται ὄγκον τὸ σῶμα, οὐκ ἂν ποιωθείη, καὶ γενήσεται τυχὸν λευκὸν ἢ μέλαν, ὑγρὸν ἢ ξηρὸν, [30] θερμὸν ἢ ψυχρόν· [31] ποῦ γὰρ ἂν σχοίη τὴν ὕπαρξιν, ὄγκου μὴ ὄντος, ὅθεν καὶ ὁ Ἀριστοτέλης ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ τὸ ποσὸν τοῦ ποιοῦ προέταξε. δεῖ τοίνυν ἐκ μεταφορᾶς τοῦ σώματος καὶ τὴν περὶ διηγήσεως διδασκαλίαν τεκμήρασθαι· δοθέντος τοίνυν τοῦ ὄγκου τῆς διηγήσεως ἤτοι πλάτους καὶ μήκους διὰ τοῦ πραχθέντος καὶ τῆς αὐτοῦ αἰτίας, ὁμοίως τοῦ παραλειφθέντος καὶ τῆς τούτου αἰτίας, εἶτα τῶν λογισμῶν, καὶ τούτων ἑκάστου ἐν τρισὶ καὶ τέτρασι κώλοις, ἢ καὶ πλείοσι λεχθέντων, ἀκόλουθον ἦν καὶ χρωματίσαι αὐτὴν διὰ τῶν τρόπων καὶ διαφόρους ποιότητας δοῦναι ἀναλογούσας ταῖς σωματικαῖς κράσεσιν, ὡς ἂν τὸ τέλος ἀπενέγκαιτο μηδενὸς λειπομένου τῶν ἐν τοῖς σώμασι τελειωτικῶν· οὕτως τοίνυν τῆς διηγήσεως φανείσης διά τε τοῦ ὄγκου καὶ τῶν προσεπιγινομένων ποιοτήτων, ἔδει αὐτὸν καὶ ἀκμῆς ἐπιμνησθῆναι, ὡς μὴ μόνον ἁπλῶς μέγεθος φανῆναι τὴν διήγησιν πεποιωμένην ἔχουσαν, ἀλλὰ καὶ αὔξησιν ἀναλογοῦσαν τῇ τῶν σωμάτων αὐξήσει· ὥσπερ γὰρ αὐτὰ ἐν τῇ γεννήσει μὲν ὑπάρχουσι

λόγον καὶ τὴν αἰτίαν καὶ τὴν κατασκευὴν ἐμφαίνουσα, οἷον ἡμεῖς αὐτὸν στρατηγὸν ἐχειροτονήσαμεν· ἐγινώσκομεν γὰρ αὐτοῦ τὸ ἀνδρεῖον· ἐνδιάσκευος δὲ διήγησις τὸ ἐπὶ λεπτῷ τὰ πράγματα διηγεῖσθαι· ἦν ὁρᾷν ἄνδρας, γυναῖκας, καὶ παῖδας καὶ τόδε καὶ τόδε.

30 Mon. ξυρόν. 31 Par. iterum ξηρόν.

τῇ ἑαυτῶν φύσει κατὰ τὸ μέγεθος κατάλληλα, δεχόμενα δὲ πλείστην αὔξησιν ἢ καὶ τὴν τελειότητα τῆς προσθήκης εἰληφότα, λέγω [32] μὲν τῆς αὐξήσεως, ἀλλάττει δὲ τὰς ποιότητας ἢ ἧττον ψυχρὰ ἢ μᾶλλον ξηρὰ γινόμενα, τὸν αὐτὸν τρόπον καὶ ἡ διήγησις αὐξηθεῖσα διὰ τῶν προῤῥηθέντων πέντε, εἰ χρὴ λέγειν, ἢ μέτρων ἢ εἰδῶν, ἢ ὡς ἄν τις αὐτὰ κατονομάσοι, καὶ ἑκάστου αὐτῶν ἐν τρισὶν καὶ τέτρασιν ἢ καὶ πλείοσι κώλοις λεχθέντος, ὀφείλει ἀκμὴν δέξασθαι, ἥτις τριχῶς γίνεται, ἤτοι τοῦ πράγματος αὐτοῦ, ἢ τῆς αὐξήσεως ἢ τῆς αἰτίας τῆς ἀξιώσεως· ἐπεσκεμμένος δέ τις σκοπείτω τὸ παράδειγμα σώματός τε καὶ λόγου, ὡς οὐκ ἐν πᾶσι τὴν ἀναλογίαν φυλαττόντων πρὸς ἄλληλα, ἀλλ' ὅσον τὸ μὲν λόγος, τὸ δὲ οὐσία, διαφόρους ποιότητας μετὰ τὸν ὄγκον καὶ τὴν ποσότητα δεχομένων, πλείστην δὲ διαφορὰν κατὰ τὴν αὔξησιν ἐχόντων, καὶ μὴ παραλλάσσοντος τὰς ἐν τοῖς μέρεσι ποιότητας τοῦ σώματος κατὰ τὴν ὁμοιότητα τῆς διηγήσεως.

ζ. Διττὸν [33] τὸ σημαινόμενον τῆς διηγήσεως, τὸ μὲν κοινὸν, τὸ δὲ ἀντιδιαστελλόμενον τῇ διασκευῇ, καὶ τὸ μὲν κοινὸν, δηλονότι οἱ τρεῖς τρόποι τῆς διηγήσεώς εἰσι, [34] κατὰ δὲ τὸ εἰδικὸν ἡ ἐνδιάσκευος οὐκέτι, καὶ ὁ τρόπος δὲ ὡσαύτως διττὸν ἔχει τὸ σημαινόμενον.

ή. Ἀντὶ [35] τοῦ ἁπλῆ καὶ ἀποίκιλος καὶ ἀσθενὴς, τοιοῦτον γὰρ τὸ σύντομον καὶ εὐτελὲς, ὃ καὶ εὔζωνον καλοῦσιν καὶ μὴ ἀφ' ἑαυτῆς ἔχουσα τὸ ἰσχύειν, ἀλλὰ τῆς ἀπὸ [36] τῶν αἰτιῶν καὶ τῶν τρόπων ἀποδείξεως δεομένη. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ πολιτική.

θ. Ἀντὶ [37] τοῦ ἐπακτικωτέρα καὶ πρὸς πάθος ἐπα-

---

32 Mon. λήγει. 33 Ven. praemittit: Ἁπλῇ χρησόμεθα τῇ διηγήσει. 34 εἰσὶ Ven. om. 35 Ven. praemittit: ἐὰν δὲ σύντομος ᾖ καὶ πολιτικὴ ἡ διήγησις. 36 Ven. παρά. 37 Ven. praemittit: ἐὰν δὲ ᾖ σύντομος καὶ φαιδροτέρα.

γωγοτέρα,[38] τουτέστι πάθος ἐμποιῆσαι δυναμένη χαρᾶς, φόβου, λύπης, ὀργῆς, τῶν τοιούτων.

ί. Ἀμὶς στάμνος[39] ἐν ᾧ οὐροῦσι, τοῦτο δὲ Σοφοκλῆς ἐν Πανδώρᾳ ἐνουρήθραν[40] καλεῖ, Αἰσχύλος δὲ σύρανην.

ιά. Ἡ τοῦ πράγματος αὐτοῦ, διαφόροις καὶ ποικίλοις κώλοις λεγομένου, οἷον συλλαβὰν ὁ πατὴρ τὸν υἱὸν ἔπαιεν, ἐτίτρωσκεν, ὁμοῦ τῇ γυναικὶ ἐφόνευσεν ὡς ἀλλοτρίους, ὡς ἐχθρούς, ὡς ἔκ τινος τῶν πολεμίων γεγονότας· ἢ τῆς ἀξιώσεως διαφόροις καὶ ποικίλοις κώλοις λεγομένης, οἷον τίς οὐκ ἀγαναχτεῖ; τίς οὐκ ὀργίζεται; τίς οἰ χαλεπαίνει τοῖς γεγενημένοις; τίς οὐκ ἀπαιτεῖ τὴν προσήκουσαν δίκην; ἢ τῆς αἰτίας τῆς ἀξιώσεως διαφόροις καὶ ποικίλοις κώλοις λεγομένης, δι' ὃν πεπλήρωται μιασμάτων ἡ οἰκία, δι' ὃν ἄθεσμοι φόνοι, δι' ὃν ἀσε-

38 Par. ἐπαγωγοτέρα. Ven. Mon. ἐναγωγοτέρα. 39 Par. σταμνίον. Ven. praemittit: προσούρουν τε ἡμῖν, καὶ τὰς ἀμίδας κατερρήγνυον. Aeschyli locum [Fr. 15. ed. Schütz] servavit Athen. I. p. 17. c. similemque Sophoclis in Ἀχαιῶν συνδείπνῳ. Sch. min. τῶν διηγήσεων· ἤγουν τῶν προβλημάτων, τῶν ὑποθέσεων. Ἐγκατάσκευος ἐξ αἰτίας. Ζήτει περὶ διασκευῆς τὸ δωδέκατον κεφάλαιον τοῦ τρίτου τόμου τούτου τοῦ βιβλίου. Ἡ ἀκμὴ τῆς διηγήσεως· ἤτοι τοῦ πράγματος ἢ τῆς ἀξιώσεως τῆς αἰτίας, ἢ τῶν δύο, ἢ καὶ τῶν τριῶν. In fine capitis Par. addit: ἐνδιασκεύως ἐκεῖ διηγεῖται ἀπὸ τοῦ τρόπου· λέγει γὰρ, ἦν ἰδεῖν τόδε καὶ τόδε. Ἀκμή ἐστιν αὔξησις καὶ ἀνάβασις. Σημείωσαι, ὅτι οὐκ εἰσὶ μέρη διηγήσεως ἥ τε ἀξίωσις, καὶ ἡ αἰτία τῆς ἀξιώσεως· καὶ διὰ τοῦτο παρῆκεν ἀνωτέρω καὶ οὐκ ἐμνήσθη αὐτῶν ὁ τεχνικός. Ἀκρίτων νόμον· ἐδίδου γὰρ ὁ νόμος παντὶ πατρὶ, ἀποκτείνειν τὸν υἱόν. Σημείωσαι, τίς ἐστιν αἰτία ἀξιώσεως· τοῦτο δὲ ἐν τοῖς προοιμίοις καὶ βάσιν εἶπε. Litt. ιά. abest a Ven. 40 Pollux X. 44. cfr. Bothii Lex. Sophocl. p. 627. vitiose exscriptum a Faehsio Lex. in Tragicos p. 333.

βεῖς σφαγαὶ, δι' ὃν ὅλον γένος ἐρρίπται πεφονευμένον, παρ' οὗ ἥκιστά τις ἂν προσεδόκησεν.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.[1]

Ἄξιόν ἐστι ζητῆσαι,[2] τί δήποτε πέντε κεφαλαίων μνημονεύσας, ἂν τὸ πρῶτόν ἐστιν εἰσαγωγὴ τῶν κεφαλαίων οὐκ ἀπ' αὐτοῦ τὴν ἀρχὴν ἐποιήσατο, ἀλλ' ἐκ προκατασκευῆς, ἧς μνήμην οὐκ ἐποιήσατο, καὶ λέγομεν, ὅτι βουλόμενος διδάξαι πῶς εἰσάγονται τὰ κεφάλαια προδιδάξας ἐν τῷ πρώτῳ τόμῳ προοιμίων, ἐν δὲ τῷ δευτέρῳ ἐφεξῆς περὶ προκαταστάσεως, εἶτα περὶ καταστάσεως, ἥ[3] ἐστι διήγησις, καὶ πῶς πλατύνεται καὶ μηκύνεται, εἶτα καὶ τρόπων διηγηματικῶν καὶ ἀκμῆς τῆς διηγήσεως, ἐν τῷ τρίτῳ βουλόμενος διδάξαι κ. τ. λ. Vol. V. p. 391. v. 12. — 19. διὸ ἐν τοῖς πρώτοις διδάσκει περὶ προκατασκευῆς, ἥτις ἐστὶ τῶν κεφαλαίων καὶ τῶν ζητημάτων προέκθεσις, εἶτα περὶ κατασκευῆς καὶ λύσεως τῶν αὐτῶν. καὶ εἶθ' οὕτως περὶ τῆς εἰσαγωγῆς αὐτῶν. Προκατασκευὴ[4] τοίνυν ἐστὶν, ὡς καὶ αὐτός φησιν, ἡ ἔκθεσις τῶν κεφαλαίων καὶ τῶν ζητημάτων, οἷον βούλεταί τις κατηγορῆσαί τινος περὶ φόνου, προδοσίας καὶ ἀπε-

---

1 Sch. min. Σύνταγμά ἐστι τόμος μετὰ σκέψεως. Litt. ά, non est in Ven. 2 ζητῆσαι Mon. om. 3 ἥ Mon. om. Sch. min. φθάνω· προείληφα. Δι' ἐμαυτοῦ· αὐτοστοματί. Τοῦ κορυφαίου τ. ρ. μέρους· τῶν στάσεων λέγει διὰ τοὺς ἀγῶνας. Οἱ τρόποι· τρόπους λέγει τὴν πρότασιν, τὴν ὑποφοράν, τὴν ἀντιπρότασιν καὶ τὴν λύσιν. Καὶ μὴν καί· ὁμοσήματα καὶ μὴν καὶ μέντοι ἤδη προσέτι· ἤδη δὲ ἀλλὰ μὴν καὶ μήν, οὐ μόνον δὲ ἀλλά, Περαιτέρω· πέρα, περαιτέρω· καὶ πόρρω πορρώτερω. 4 Par. τὸ αὐτὸ προκατασκευή, προέκθεσις, ἔκθεσις, ἐπαγγελία, ὑπόσχεσις,

βείας· δεῖ τοίνυν ἄρξασθαι ἀπὸ τῆς μνήμης τῶν κατηγοριῶν καὶ ταύτας θέμενον· οἷον βούλομαι τοίνυν, ὦ δικασταὶ, τουτονὶ τὸν πολλάκις ἀσελγῆ καὶ παράνομον φανέντα, ἁλόντα φόνου δεῖξαι γραφῇ προδοσίαν τε εἰργασμένον πόλεως τῶν Φωκέων, καὶ εἰς θεὸν τὸ τρίτον ἠσεβηκότα, καὶ τούτων τεθειμένων ὑποκατιόντα τὴν κατασκευὴν αὐτῶν ἤγουν τὴν περὶ αὐτῶν ἀπόδειξιν παραστῆσαι, ὡς ἀληθῆ τὰ κατηγορημένα, καὶ οὐκ ἔστιν ἡ τῶν κεφαλαίων προκατασκευὴ ψευδὴς, ἢ παρὰ ἐχθροῦ προεκτεθειμένων τῶν κεφαλαίων ἡμεῖς δείξομεν ταῦτα οὐκ ἀληθῆ· τὰ μὲν γὰρ παρ' ἡμῶν διὰ προκατασκευῆς τιθέμενα ὀφείλομεν ἀποδεικτικῶς κατασκευάζειν, τὰ δὲ ὑπὸ τῶν ἐναντίων τιθέμενα διαλύειν· γινώσκων τοίνυν ὁ τεχνικὸς, ὡς οὐκ ἀεὶ τὴν αὐτὴν [5] χώραν ἔχει ἡ προκατασκευὴ δείκνυσιν αὐτῆς τοὺς διαφόρους τρόπους καί φησιν, ὡς πολλάκις ἀπὸ τῶν προοιμίων ἐφεξῆς τίθενται τῆς προκατασκευῆς τὰ κεφάλαια· [6] εἶτα ἡ διήγησις καὶ οὕτως ἡ κατασκευὴ, ἢ ἡ λύσις αὐτῶν. καὶ τοῦτο μὲν γίνεται

5 αὐτὴν Mon. om. 6 Sch. min. ἡ προκατασκευὴ ζητημάτων, κεφαλαίων, ἐπιχειρημάτων. Τὰ ζητήματα· τὰς ὑποθέσεις, ὡς δηλοῖ κάτωτέρω· σημειωσαι δὲ, ὅτι ἀπὸ προοιμίου καὶ ἡ προκατάστασις· ἀπὸ τῆς προκαταστάσεως ἡ διήγησις· εἶτα ἡ προκατασκευή· εἶτα ἡ κατασκευὴ, ἔσχατον δὲ οἱ ἐπίλογοι. Οἷς περιπλακεὶς ὁ λόγος Par. inter sch. maj. περὶ μὲν τῆς τῶν κεφαλαίων εἰσαγωγῆς τὸ τρίτον κεφάλαιον τούτου τοῦ τόμου διαλαμβάνει, καὶ τῶν τρόπων αὐτῶν καὶ δι' ὅσων γίνεται· περὶ δὲ τῶν λύσεων τό τε πέμπτον, ἐν ᾧ περὶ ἐνστάσεως καὶ ἀντιπαραστάσεως τεχνολογεῖ· καὶ τὸ δεύτερον, ἐν ᾧ περὶ τοῦ βιαίου ὅρου, περὶ δὲ ἐπιχειρημάτων, τὸ τέταρτον κεφάλαιον περὶ ἐργασιῶν, τοῦ περὶ ἐνθυμημάτων καὶ ἐπενθυμημάτων τὸ ἕβδομον καὶ ὄγδοον. paullo post: Προεκτίθεται ὁ ῥήτωρ τὰ κεφάλαια, εἴτουν τὰς ὑποθέσεις, οἷον τίνων δεῖ λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, πρῶτον μὲν τῶνδε, δεύτερον τῶνδε. τούτοις δὲ συμπλέκεται ὁ λόγος δι' ἐπιχειρημάτων, ἐργασιῶν, ἐνθυμημάτων, ἐπενθυμημάτων ἢ καὶ πλαστῶν· γίνεται ἡ κατασκευή.

περὶ τῶν βουλομένων λαθεῖν τοὺς ἀκροατάς, ὡς ἂν ἐπιλαθομένων τῶν κατηγορικῶν κεφαλαίων οὕτως ἐπενέγκῃ τὴν κατασκευήν, ὡς θέλει ὁ προεκθέμενος τὰ κεφάλαια. εἰ δὲ τὸν λόγον βούλοιτο ποιῆσαι σαφῆ, θαῤῥῶν τῇ δυνάμει τῆς κατασκευῆς, ὡς αἱ ἀποδείξεις αὐτοῦ ἰσχυραί εἰσι, τίθησι τὸ προοίμιον· εἶτα προδιηγεῖται, καὶ πληρώσας καὶ τὴν διήγησιν, εἶθ' οὕτως τίθησι τὰ κεφάλαια καὶ τὰ ζητήματα καὶ ἐφεξῆς κατὰ πόδας τὴν κατασκευὴν ἢ τὴν λύσιν αὐτῶν· ἰστέον δὲ, ὅτι ἔστι καὶ ἕτερον εἶδος προκατασκευῆς, τὸ ἀντὶ τῶν ζητημάτων καὶ τῶν κεφαλαίων τιθέναι νόμον κατὰ τῶν τοιούτων τινὶ ἐγκλήματι ὑπευθύνων, οἷον βουλόμενός τις ἐνστῆσαι μοιχείας γραφήν τινος, τοῦ μὲν ἐγκλήματος οὐ μνημονεύσει, προάξει δὲ νόμον κατὰ μοιχείας, ὡς ἂν δείξῃ, ἐννόμως κατηγορεῖν, εἶθ' οὕτως ἐπάξει τὴν ἀπόδειξιν τῆς κατηγορίας καὶ τοῦ ὑπευθύνου καὶ ἔστι τότε τὸ νόμιμον ἀντὶ προκατασκευῆς· ὥσπερ γὰρ τῆς προκατασκευῆς προτεθείσης ὑπῆχθησαν αἱ κατασκευαὶ καὶ ἡ ἀπόδειξις τῶν κεφαλαίων, οὕτως προτιθεμένου τοῦ νόμου καὶ τόπον προκατασκευῆς ἔχοντος, ἐπιφέρεται ἡ ἀπόδειξις, καὶ ἡ κατασκευὴ τοῦ ἐγκλήματος, καθ' οὗ τὸ νόμιμον ἐγένετο.

β'. Τὴν παροῦσαν[7] πραγματείαν κορυφαῖόν φησι ῥητορικῆς μέρος, ἐπεὶ καὶ οὕτως ἔχει, εἴγε καὶ ἡ διαίρεσις, ἤτοι τὸ διαιρετικὸν ὑπὸ τὴν εὕρεσιν[8] ὁρᾶται· ἐπινοηθὲν γὰρ ὑπὸ τῆς τέχνης καὶ εὑρεθὲν οὕτως ὑπέστη[9] τε καὶ προήχθη.

---

7 Litt. β' et γ'. etiam ad marg. codicis Mon. 327. manu a solita diversa scripta sunt: *Κορυφαῖον μέρος τὴν παροῦσαν πραγμ. λέγει, ἐπεὶ — εὕρεσιν. Ὅπερ μέγιστόν ἐστιν, ἔλεγεν περὶ κεφαλαίων διαίρεσιν· ὥσπερ γὰρ ἐκεῖ ἔλεγε τὴν διαίρεσιν τῶν κεφαλαίων μέγιστον τῶν τὴν ῥητορικὴν συνιστάντων* [Cod. *συνεστώτων*], *οὕτω καὶ ἐνταῦθα τὴν κατασκευὴν αὐτῶν κορυφαῖον μέρος ὀνομάζει, ἐν ἐκείνῳ γὰρ τὰς φύσεις τῶν κεφαλαίων, ἐν τούτῳ δὲ τὰς εἰσαγωγὰς δίδωσιν, καὶ τὰς λύσεις.* 8 Ven. *διαίρεσιν.* 9 Mon. *ἐπέστη.* Post *προήχθη* habet

γ'. Τρόποι. Οἷον ὅτι κεφάλαιον ἢ παρ' ἡμῶν εἰσάγεται ἢ παρὰ τῶν ἀντιδίκων· τοῦτο ἡ εἰσαγωγή. τρόποι δὲ,

---

Ven. Ἔστι δὲ ἥ τε τῶν κεφαλαίων εἰσαγωγή· οἷον. Sch. min. αἵρεσιν δοῦναι· ἐκλογήν. Τὴν τομήν· τὴν διαίρεσιν. inter sch. maj. Τὴν διαίρεσιν τοῦ λόγου, ἣν μέλλει κατασκευάσαι διὰ τῶν ἐπιχειρημάτων καὶ τῶν λοιπῶν τῶν ἁρμοττόντων. Ἔχει χώραν· Sch. min. ὑποτύπωσιν. Λόγον παρὰ πρεσβ. λόγον ἀπολογίαν λέγει. Ὧν ἀπήγγειλεν· εἶδος σαφηνείας. Ἐπὶ κεφαλαίων· ἐν συντόμῳ. Ἀποδείξει· εἰς τὴν κατασκευήν, δηλονότι εἰς τοὺς ἀγῶνας α. ψευδολογίας, β. ἀμαθίας, γ. δειλίας, δ. ἀργίας, ε. δωροδοκίας. Εἰ τούτοις τέτμηκε· ἀγῶσι. inter sch. maj. τούτοις, οὐχ ἑτέροις, ἄλλα μὲν προεκθέμενος δηλονότι, ἄλλα δὲ κατασκευάσας. ἢ εἴπερ πᾶσι, καὶ οὐ τοῖς μέν, τοῖς δ' οὐκ· ἢ πλείοσιν· ἢ ἐν τῇ τάξει τῆς κατασκευῆς ἐχρήσατο τῷ πρώτῳ ὡς πρώτῳ, καὶ τῷ δευτέρῳ ὡς δευτέρῳ, καὶ μὴ ἄλλην ἄλλοις κατεσκεύασε. Ἐν τῇ κατασκευῇ Sch. min. ἐμελέτησε δι' ἐπιχειρημάτων. Λόγον ἴδιον· λόγον καθολικὸν καὶ θεωρίαν καὶ τέχνην. Ζητεῖς· ἐπιμερισίαν ζητεῖς. Τοῦ τῆς παραπρεσβείας· λόγου δηλονότι. Sch. maj. εἰ τὰ προανατεταγμένα ζητεῖς, φησὶν, ἰδιάζοντα λόγον ζητεῖς ἑτέρων θεωρημάτων καὶ ἐννοιῶν, καὶ τέχνην ἄλλην, ἰδιάζουσαν παρὰ τὴν καθολικὴν τοῦ λόγου τοῦ περὶ τῆς παραπρεσβείας Αἰσχίνου, καὶ οὐ συγχωρήσεις οἰκονομίαν εἶναι τὰ περὶ αὐτὸν, καὶ οὐ τέχνην, τὸ μὴ ποιήσασθαι προκατασκευὴν ὡς τεχνολογουμένην καὶ προεκθέσθαι τὰ κεφάλαια. Μεγάλη δὲ διαφορὰ τὸ περὶ τῆς καθόλου τέχνης εἰπεῖν, ἢ διανοήσασθαι καὶ διδάξαι σκοπὸν λόγου δικανικὴν ἔχοντος ἀνάγκην, καὶ πεῖσαι φιλονεικοῦντα τὸν ἀντικαθιστάμενον, οἷον οὗτός ἐστιν ὁ τῆς παραπρεσβείας, χρώμενος μὲν καὶ τῇ τέχνῃ, καὶ πρὸς τὸ χρήσιμον δὲ τῶν ζητουμένων διοικονομούμενος. Sch. min. οὐ συγχωρεῖς αὐτὸν, φησὶν, οἰκονομεῖν, καθὼς ἀνωτέρω ἐξέθετο. Ἀστεῖα λέγονται ῥήματα τὰ μετὰ ἡδονῆς καὶ γλυκύτητος, ἐπεὶ ὡς ἐπίπαν ἠθικοί τινές εἰσιν οἱ πολιτικοὶ, καὶ μετὰ χάριτος καὶ γλυκύτητος προφέροντες τὰ ῥήματα. Τεχνολογῆσαι· διοργανῶσαι. Θεωρῆσαι, σκοπῆσαι, κατανοῆσαι. Διοικονομουμένου· τοῦ λόγου μεθοδευομένου. Μιᾷ χώρᾳ· οὐχ ἑνὶ τόπῳ τοῦ λόγου συνοῦσαν, ἀλλὰ δυσί. Παραστῆσαι· δηλῶσαι. Τί ποτε τῷ ῥήτορι·

Ὅτι [10] εἰ παρ' ἡμῶν μὲν εἰσάγομεν τὸ κεφάλαιον, ἁπλῆς δεῖται τῆς ἐκθέσεως, καὶ τῆς εἰς τοῦτο κατασκευῆς· ἂν δ' ὑπὸ τῶν ἐχθρῶν [11] καὶ εἰσάγεται παρ' ἡμῶν οὐχ οὕτως, ἀλλὰ διὰ τοσούτων τρόπων. Δεῖ γὰρ τότε κοσμῆσαι τὸ κεφάλαιον προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει, ἀνθυποφορᾷ, τῇ [12] καὶ λύσει· συνίστανται δὲ αἱ λύσεις ἐξ ἐνστάσεως, [13] καὶ ἀντιπαραστάσεως καὶ ὅρου βιαίου, τὰ δὲ ἐπιχειρήματα ἐκ τῶν περιστατικῶν, οὗτοι γὰρ τόποι ἐπιχειρημάτων, αἱ δὲ ἐργασίαι ἀπὸ τοῦ [14] ἐναντίου, ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ μικροτέρου, ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, τὸ δ' ἐνθύμημα [15] πάλιν ἀπὸ τῶν περιστατικῶν.

δ'. Ὅσον [16] εἰς τὸ τεχνῶσαι δηλονότι, ἡ γὰρ χρῆσις πολλὴ παρὰ τοῖς ἀρχαίοις, ὡς καὶ αὐτός φησιν.

ε'. Ἐπὰν γάρ τι πρᾶγμα λαβοῦσα ἐργάσασθαι διὰ πασῶν τούτων περάνῃ, ἢ καὶ διά τινων τῶν μεθόδων, ἔτι δὲ ἡ ὕλη ἐργάζεσθαι χορηγῇ πάλιν τοῖς αὐτοῖς ἐπ-

---

τί ἄρα τῷ ῥήτορι συνδιέγνων; Παρέστη· συνέβη. Τοῦ πράγματος· τοῦ λόγου ὅσα γὰρ μὴ πρόσωπα, ταῦτα πράγματα. Ἐν ἐπιστάσει· ἐν ἐξετάσει. Καθαρῶς· ἀδόλως. Ἐναύλου· ἐνήχου· ἀπὸ τοῦ αὐλοῦ εἴληπται. Τὴν ἐπαγγελλαν· τὴν ὑπόσχεσιν. Ἐάλωκεν· ἐφωράθη. Ἐν τῇ ἀπαριθμήσει ἦγουν τῇ προκατασκευῇ προέταξε κεφάλαιον τοῦτο πρῶτον μὲν ὧν ἀπήγγειλεν· ἐν δὲ τῇ κατασκευῇ ἐνήλλαξε τὴν τέχνην καὶ τὴν τάξιν. μετὰ πολλὰ κεφάλαια θεὶς αὐτὸ, ἐν τῷ εἰπεῖν ἀντιληπτικῶς τὴν ὑποφορὰν κατὰ τὸ μὴ κεκωλυμένον. Ἀνεύθυνος ἐπὶ λόγοις. ἔξεστι γὰρ καὶ οὐ κεκώλυται λέγειν, ἃ βούλεταί τις. 10 Ven. ὅτι παρ' ἡμῶν εἰσαγόμενον. Mon. 327. ὅτι εἰ — εἰσάγεται. 11 Ven. ἐχθρῶν εἰσάγηται. Mon. 327. ἂν δὲ ὑπό. 12 τῇ Mon. 327. om. 13 Mon. 8. ἀνασιάσεως. Mon. 327. ἐνστάσεως. 14 Ven. παρὰ τοῦ ἐναντίου, ἀπὸ τοῦ μειζ. παρὰ τοῦ μικροτέρου, παρὰ τοῦ ἴσου, παρὰ παραβ., παρὰ παρ. 15 Mon. 327. τὰ δὲ ἐνθυμήματα ἀπὸ τ. περ. 16 Ven. praemittit: ἐμοὶ παρευρεθέντων. et ante litt. ε'. ἀνακυκλουμένην δέ γε.

ἀναλαβοῦσα [17] ἐπιχειρεῖ κύκλον τῇ μεταχειρίσει μιμουμένη.

Κεφ. Ι.

Περὶ προκατασκευῆς.

ά. Ὡς εἰ [18] ἔλεγεν, εἰ τέχνην ζητεῖς τοῦ τῆς παραπρεσβείας λόγου τὴν κατ' αὐτὸν οἰκονομίαν τοῦ ῥήτορος ἀποπέμψῃ. ἀλλ' οὐ τέχνη τοῦτον, οἰκονομία δὲ εἴργασται· ἡ μὲν γὰρ τέχνη μετὰ τὴν διήγησιν ἐπάγειν βούλεται τὴν προκατασκευήν, εἶτα τὴν κατασκευήν· ἡ δὲ οἰκονομία οὐχ οὕτως· ἀλλὰ πρὸ τῆς διηγήσεως [19] τὴν προκατασκευήν, ἄλλο γάρ ἐστι τέχνη καὶ ἄλλο οἰκονομία, τὸ μὲν γὰρ τοῖς [20] καθ' ἑαυτὸ ἢ τοῖς ἐμπίπτουσι χρῆται, οἰκονομία δὲ τῷ πρός τι· εἰ μὴ γὰρ συμφέρει τὸ ἐμπίπτον, οὐ χρῆται· ἐσθ' ὅτε δὲ καὶ ἡ χρῆσις οὐ κατὰ τεχνικὴν τάξιν, ἀλλ' ὡς ἂν ὁ καιρὸς διδῷ παρακολουθεῖ.

β. Τὸ [21] ἑξῆς οὕτως· εἰ δέ μοι λέγοι τις ὡς Δημοσθένης κ. τ. λ. Vol. V. p. 392. v. 8—15.

γ'. Καὶ καθ' ὑπέρβατον εἴρηται καὶ ἐλλειπτικῶς τὸ χωρίων· ἐφεξῆς μὲν γὰρ τοῦ [22] γραφέντα δεῖ τὸ προστάττουσι τάττεσθαι, τάττεσθαι δὲ μετὰ προσθήκης τοῦ

17 Par. πάλιν h. l. repetit. 18 Ven. praemittit: λόγον ἴδιον ζητεῖς θεωρίαν καὶ τέχνην τοῦ τῆς παραπρεσβείας, καὶ οἰκονομίαν οὐκ ἂν ἐρεῖς· ὡς εἰ ἔλεγεν. (Mon. ὡσεί.) 19 Ven. πρὸ τῆς κατασκευῆς τὴν διήγησιν. 20 Mon. et Ven. τῶν. tum Ven. εἴπερ ἀεὶ τοῖς ἐμπ. Ven. οἰκονομία δὲ τῶν πρός τι. 21 Ven. Ἀπηλλοτριωμένη τῶν ζητημάτων τῶν στοχαστικῶν δηλονότι καὶ ὁριικῶν· εἰ δέ μοι λέγοι τις — — κατὰ Τιμοκράτους καὶ τὰ ἑξῆς, καὶ καθ' ὑπέρβατον εἴρηται καὶ ἐλλειπτικῶς. 22 Ven. τοῦτο γραφέντα δεῖ τὸ προτάσσειν τάττεσθαι μετὰ προσθήκης. Cum Mon. et Par. post τάττ-

ἄρθρου τὸν ὑπὸ Τιμοκράτους γραφέντα καὶ τὸ πῶς διδόασιν ἐξουσίαν κατηγορίας. [23]

σθαι habeant δὲ, bis posui τάττεσθαι. 23 Ven. addit: προκατασκευῆς δὲ καὶ ἐνταῦθα προσληπτέον μέρος. Sequitur in Ven. caput: περὶ κεφαλαίων, περὶ ἐνστάσεως, περὶ ὅρου βιαίου. — Sch. min. Ὡς ἐπηγγείλατο, ὑπέσχετο. Κατεσκεύασεν· ἀλληνάλλως δὲ τέθεικε τὰ κεφάλαια. Τὸν λόγον· τὸν τῆς παραπρεσβείας. Τῶν μερῶν· τῶν κεφαλαίων. Ἀποῤῥήτους· λεχθῆναι ἀδυνάτους διὰ τὸν ἐγκείμενον νοῦν. Κοινὰ διδασκαλίας· τοῦτο καὶ ἀνωτέρω εἴρηκεν, ὡς ἕτερόν ἐστι τόδε, καὶ ἕτερον τόδε, οἷον ἄλλο τέχνη, καὶ ἄλλο οἰκονομία. Ὁρικῆς· τοῦτο ῥητορικόν ἐστι τοῦ λόγου τὸ ζήτημα· ὁ μὲν γὰρ Δημοσθένης δημόσιον ἀδίκημα εἶναι τὸ γεγονὸς εἰς αὐτὸν ἐν τῇ χορηγίᾳ τῆς ἑορτῆς παρὰ Μειδίου ἐπειρᾶτο δεῖξαι· δηλονότι τὸ ἐπενεχθῆναι αὐτῷ πληγὰς, ὁ δὲ Μειδίας ἔφασκεν οὐ δημόσιον εἶναι. Προβολῆς· προτέρας εἰσαγωγῆς δίκης. Διοίσειν· συνοίσειν, ὠφελήσειν· στοχασμὸς κατὰ παραγραφήν. Καὶ γὰρ ἐκεῖνος· Αἰσχίνου λόγος ἐστὶ κατὰ Τιμάρχου, ἵνα μὴ δύνηται λέγειν, ὡς πορνείᾳ χαίρων καὶ ἀσωτίᾳ. τοῦτο γὰρ τὸ κατεδηδοκέναι τὴν πατρόθεν αὐτῷ προσγενομένην οὐσίαν· ἔγραψε δὲ τοῦτον. Τῇ διδούσῃ· τῇ δηλούσῃ. Συναγωνίζεται· συμβάλλεται, ἁρμόζει. Οἷον αὐτόν· τὸν Τίμαρχον. Ἀπηλλοτριωμένη· διεζευγμένη, κεχωρισμένη, ξένη τῶν ὁρικῶν καὶ στοχαστικῶν ζητημάτων. Μέσῳ· τῷ ὑπ' αὐτοῦ τοῦ Δημοσθένους εἰσαγομένῳ. Ἐκεῖ μὲν εἰς τὸν κατὰ Τιμοκράτους λόγον. Ἐνταῦθα· Προσληπτέον τὸ μέρος· τὴν πραγματικὴν αἰνίττει. Ἐν τῷ κατὰ Τιμάρχου· τὸ ζήτημα ἦν στοχαστικὸν, εἰ φιλιππίζει Αἰσχίνης· ἐνέπεσε δὲ παραγραφικὸν, λέγοντος τοῦ Αἰσχίνου μεταληπτικῶς καὶ διακρουομένου τὸν ἀγῶνα· οὐ δεῖ Τίμαρχον κατηγορεῖν, οὐδὲ λέγειν ὅλως, πόρνος γάρ ἐστι καὶ ἄσωτος. Τούτῳ τῷ κεφαλαίῳ· τῷ νομίμῳ δηλονότι. Τετήρηκε τῷ νόμῳ· καὶ διὰ τοῦτο ἐκεῖνο οὐκ ἔστι προκατασκευή.

Cap. II.

Περὶ βιαίου.

Σκοπῶν [1] ἀκριβῶς γνώσῃ, ὅτι ὁ βίαιος ὅρος μικτόν τί ἐστι, σύγκειται γὰρ ἐκ τοῦ ἑνὸς εἴδους, τῆς μεταλήψεως δηλονότι, τῆς ἐνστάσεως καὶ τοῦ ὅρου· δηλοῖ δὲ καὶ αὐτὸ τὸ ὄνομα, βίαιος γὰρ ἡ ἔνστασις, ὡς καὶ αὐτὸς ὁ τεχνικός φησιν, καὶ ἡ μὲν ἔνστασις βίαιόν τί ἐστιν· ὁ δὲ ὅρος αὐτὸν τὸν ὅρον δηλοῖ, πρὸς ὃν ἡ τοῦ βιαίου συνάφεια· καὶ σκόπει, πῶς τὸ μὲν βίαιον ἀπαγορεύει μόνον, οὐ τοῦτό ἐστιν, ὁ δὲ ὅρος ὁρίζεται μόνον· τὸ δέ ἐστι τὸ ἐξ ἀμφοῖν συγκείμενον, ὃ βίαιος ὅρος ἐκλήθη, τὰ δύο συνάγει ἐν ταὐτῷ· πρὸς γὰρ τῷ εἰπεῖν, οὐ σώζεται διὰ Φωκέας ἀπολλυμένους Χερόννησος, καὶ δηλῶσαι τὴν ἔνστασιν, ὁρίζεται, ὅτι διὰ Φωκέας ἀπόλλυται, πλησιάζοντος αὐτῇ τοῦ Φιλίππου.

ά. Μετὰ τὰ δύο εἴδη τῆς προκατασκευῆς διδάσκει περὶ βιαίου, ὅπερ ἐστὶν ἐναντίον τῆς προτάσεως τοῦ ἐναντίου, οἷον Αἰσχίνης φησὶ τὸν Φίλιππον εὔνουν εἶναι τοῖς Ἀθηναίοις, ὁ δὲ Δημοσθένης τὸ βίαιον ἀποδείξει λέγων, ὡς οὐ μόνον οὐκ εὔνους ὁ Φίλιππος, ἀλλὰ καὶ δύσνους καὶ πολέμιος, οὐδὲ γὰρ μόνον οὐ σώζονται Φωκεῖς δι' αὐτοῦ, ἀλλὰ καὶ ἀπόλλυνται· τοῦτο οὖν εἶδος λύσεως τρίτον ὠνόμασεν ὁ Ἑρμογένης, ὡς δύο εἰδῶν ὄντων τῆς προκατασκευῆς καὶ τούτου ὑπάρχοντος τρίτου, ὡς καὶ διὰ τῆς διαιρέσεως δειχθήσεται. Μὴ θαυμάσῃς δὲ, εἰ [3] τρίτον εἶδος λύσεως αὐτὸ ὠνόμασεν. ἐκ τούτου γὰρ καὶ τὸ ἐναντίον ἐσήμανε· δέον δὲ εἰπεῖν κατασκευῆς καὶ λύσεως, ἔφη λύσεως, καὶ γὰρ προεκτιθεμένων διὰ τῆς κατασκευῆς τῶν κεφαλαίων ἢ κατασκευάζονται ὑπὸ

1 σκοπῶν ἀκριβῶς — — πλησιάζοντος αὐτῇ τοῦ Φιλίππου, ex Par. recepi. Mon. om. 2 Ven. litt. ά. non habet. Litt. β'. et γ'. quas habet, vide Vol. V. p. 592. v. 19. — p. 393. v. 13. 3 εἰ Mon. om.

τοῦ θεμένου μόνον, ἢ λύονται[4] ὑπὸ τοῦ ἐναντίου προσώπου. κατασκευὴ γὰρ λέγεται ἡ τοῦ προεκθεμένου τὰ κεφάλαια ἀπόδειξις; λύσις δὲ λέγεται ἡ ἀνατροπὴ τῶν ὑπὸ τοῦ ἐναντίου τιθεμένων κεφαλαίων τε καὶ ζητημάτων· δεῖ δὲ γινώσκειν, ὅτι οὐ μόνον ἡ ἀπόδειξις τῆς προκατασκευῆς λέγεται κατασκευὴ, ἀλλὰ καὶ ἡ λύσις λέγεται κατασκευὴ λύσεως, οἷον ἐκ τοῦ περὶ κεφαλαίων· ἐὰν δὲ, φησὶ, κατηγορῶμεν, ἀνάγκη τοῦ ἐχθροῦ τὸ κεφάλαιον τιθέντος καὶ λέγοντος, ἐλέγχους πάρασχε, ἡμᾶς λύειν λέγοντας, οὐ δεῖ ἐλέγχους παρέχεσθαι παντὸς πράγματος, καὶ τῆς τούτου κατασκευῆς εὐπορήσομεν ἀπὸ τῶν ἐπιχειρημάτων· καὶ ὅρα πῶς τὴν βεβαίωσιν τῆς λύσεως ὠνόμασεν· εἴδη δὲ κατασκευῆς τρία, ἢ προεκτιθεμένων τῶν κεφαλαίων διὰ τῆς προκατασκευῆς, ἢ οὐ προεκτιθεμένων κεφαλαίων οὐδὲ ἐπαγγελίας αὐτῶν οὔσης νόμος προτίθεται ἀντὶ τῶν κεφαλαίων· τοῦ δοκεῖν κατὰ τοὺς νόμους εἰσέρχεσθαι τὴν κρίσιν, ἢ ἐάν τινος κειμένου τὸ ἐναντίον αὐτοῦ κατασκευασθῇ, ὃ καὶ βίαιον λέγεται, ἢ ἐὰν προεκτιθεμένων διὰ τῆς προκατασκευῆς, ὑπὸ τοῦ Δημοσθένους κατὰ Αἰσχίνου ἐπάγηται ἡ κατασκευὴ αὐτῶν ὑπ' αὐτοῦ· οἷον σκέψασθε παρ' ὑμῖν[4*] αὐτοῖς τίνωνπ ροσήκει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν· πρῶτον μὲν τοίνυν, ὧν ἀπήγγειλε· δεύτερον δὲ, ὧν προσέταξατε αὐτῷ, μετὰ ταῦτα τῶν χρόνων, ἐφ' ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως ἢ μὴ πάντα ταῦτα πέπρακται, ἐνταῦθα τὰ ἐγκλήματα ἐπὶ κεφαλαίων τιθεὶς ἕκαστον ἐξελέγξει καὶ ἀποδείξει, ὧν ἡ ἀπόδειξις λέγεται κατασκευή· ἐπεὶ γὰρ ὁ Δημοσθένης ἐστὶν ὁ προτιθεὶς τὰ κεφάλαια τῶν ἐγκλημάτων, αὐτὸς ἀναγκάζεται κατασκευάσαι τὴν περὶ αὐτων ἀλήθειαν· εἰ δὲ ὁ Αἰσχίνης ἵσταται ἀπολογούμενος, ἀναγκάζεται λύειν αὐτὰ, καὶ τότε λέγεται λύσις τῶν κεφαλαίων, ἤτοι τῶν κατη-

4 Mon. ἢ καὶ λύοντος. 4* Mon. ἡμῖν. — de fals. leg. p. 342.

κατηγοριῶν, καὶ κατασκευὴ τῆς λύσεως τῶν κεφαλαίων· ὁ γὰρ κατηγορῶν κατασκευάζει τὰ ὑπ' αὐτοῦ τεθέντα, εἴτε ἐγκλήματα, εἴτε ἐπαίνους, ὁ δὲ δι' ἐναντίας λύει καὶ ψευδῆ αὐτὰ ἀποδεικνύει· ἢ μὴ προεκτιθεμένων κεφαλαίων, οὐδὲ ἐπαγγελίας αὐτοῦ οὔσης νόμος προτίθεται ἀντὶ τῶν [5] κεφαλαίων, τοῦ δοκεῖν κατὰ νόμον εἰσέρχεσθαι τὴν κρίσιν· τίθεται γὰρ νόμος κατὰ μοιχείας· εἶθ' οὕτως ἀποδεικνύμενος Τίμαρχος ὑπὸ Αἰσχίνου μοιχείᾳ ὑπεύθυνος ὑπόκειται τῇ τοῦ προστιθέντος ψήφῳ, ἢ ἐάν τινος κειμένου τὸ ἐναντίον αὐτοῦ κατασκευασθῇ, ὃ καὶ βίαιον λέγεται· οἷον διὰ Φωκέας σώζεται Χερόννησος· τὸ βίαιον τὸ ἐναντίον ἀποφαίνεται, καὶ κατασκευάζων ὅτι οὐ μόνον οὐ σώζεται διὰ Φωκέας, ἀλλὰ καὶ διὰ Φωκέας μᾶλλον ἀπόλλυται, καὶ ὁ Δημοσθένης, [6] ἀλλ' ἀγανακτήσει Φίλιππος, ἐὰν τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφίσησθε· δι' ἃ γὰρ ὁ [7] πρέσβυς οἴεται σωθήσεσθαι, διὰ ταῦτα δείκνυσιν αὐτὸν ἀπολωλέναι δίκαιον· ὁ μὲν γάρ φησιν δεῖν φυλάττεσθαι τοὺς Ἀθηναίους, μὴ εἰς ὀργὴν παρακαλέσωνται τὸν Φίλιππον· ὁ δὲ δείκνυσιν αὐτὸν τιμωρίας ἄξιον· ἐξ αὐτοῦ τούτου μάλιστα, διότι τοῖς Ἀθηναίοις τοιαῦτα ψηφίσασθαι παρακελεύεται, δι' ἃ μὴ χαλεπαίνει Φίλιππος· ἐπιφέρει γάρ· ἐγὼ δὲ εἰ τοῦτό ἐστιν ἀληθὲς, οὐκ ἔχω σκοπούμενος εὑρεῖν, ὅ τι μεῖζον τούτου κατηγορήσω, εἰ γὰρ ὁ τῆς εἰρήνης ἕνεκα χρήματα ἀναλώσας, ὥστε τυχεῖν αὐτῆς, οὗτος οὕτω γέγονε νῦν φοβερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικῶν ἀμελήσαντας ὑμᾶς ἤδη τι Φιλίππῳ χαριεῖσθαι σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν δίκην δεδωκότες εἶεν; Διατί πρῶτον εἶδος κατασκευῆς καὶ δεύτερον εἰπὼν ὁ τεχνικὸς τὸ βίαιον τρίτον εἶδος λύσεως ὠνόμα-

5 Mon. ἀντὶ κεφαλαίων, νόμους εἰσέρχεσθαι τ. κ. 6 de fals. leg. p. 382. 7 Mon. διὰ γάρ σε πρέσβυς.

σεν; φήσει γάρ· ἔστι καὶ τρίτον εἶδος λύσεως τὸ παραδοξότατον καὶ ἰσχυρότατον καὶ νικητικώτατον,[8] ὃ καὶ βίαιον κέκληται, ὅταν εἰς τὸ ἐναντίον περιϊστάναι τοῦ λόγου δυνάμεθα ἐξ αὐτῶν[9] αἱροῦντες τὸν ἀντίδικον, οἷς θαῤῥῶν εἰσέρχεται. Ἔδει τοίνυν περὶ προκατασκευῆς πρῶτον καὶ δεύτερον εἶδος ἐκθέμενον, καὶ τούτων τὴν ἀπόδειξιν ὀνομάσαντα κατασκευὴν τὸ βίαιον ἢ πρῶτον εἶδος λύσεως ὀνομάσαι, ἢ εἴγε ἠβούλετο αὐτὸ τρίτον καλέσαι, κατασκευῆς εἶδος ὤφειλεν αὐτὸ καλέσαι, καὶ οὐχὶ λύσεως· μὴ ὀνομασθέντος γὰρ μηδενὸς εἴδους λύσεως πῶς τὸ τρίτον προσαγορεύεται; καί φαμεν ὅτι βουλόμενος διδάξαι τὸ βίαιον μὴ μόνον λύσιν ἔχειν ἀλλὰ καὶ κατασκευὴν, ὠνόμασεν αὐτὸ τρίτον· εἰ γὰρ τὰ προῤῥηθέντα δύο εἴδη τῆς προκατασκευῆς ἀναμφιβόλως κατασκευῆς εἰσι κεφάλαια, ὀνομαζόμενον τὸ βίαιον τρίτον φαίνεται, καὶ αὐτὸ κατασκευὴν κεφαλαίου ὑπισχνούμενον· ὥστε μὴ μόνον εἶδος λύσεως εἶναι τὸ βίαιον, ἀλλὰ καὶ κατασκευῆς, καὶ τὸ ἀνάπαλιν, ἐὰν τὸ βίαιον ἔχῃ λύσιν, λέγεται δὲ τρίτον τῶν δύο εἰδῶν, τῆς προκατασκευῆς δηλονότι, καὶ ἡ προκατασκευὴ, ἥ τε πρώτη καὶ ἡ δευτέρα, οὐ μόνον κατασκευάζουσιν, ἀλλὰ καὶ λύουσι, καὶ εὑρίσκονται ἐν τῷ πρώτῳ εἴδει τῆς προκατασκευῆς κεφαλαίων καὶ λύσις κεφαλαίων· ὁμοίως καὶ ἐν τῷ δευτέρῳ, ὡσαύτως ἐν τῷ τρίτῳ ἤγουν ἐν τῷ βιαίῳ· εἰ τοίνυν ὑπὸ ἐχθροῦ τίθεται κεφάλαιον, διὰ τῆς προκατασκευῆς τοῦ τε πρώ-

---

8 καὶ νικητικώτατον Mon. om. Sch. min. ἔστι καὶ τρίτον· ἐὰν στίξῃς εἰς τὸ τρίτον, οὕτω νοήσεις· ἔστι καὶ τρίτον κεφάλαιον τοῦ τόμου· τί δέ ἐστιν αὐτὸ τὸ τρίτον; εἶδος λύσεως, ὡς καὶ ἄλλων εἰδῶν λύσεως ὄντων τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως. 9 Sch. min. τῶν λόγων δηλονότι. Ἡ σύνταξις οὕτως· ἐξ αὐτῶν, οἷς θαῤῥῶν συνεισέρχεται, καταβάλλοντες τὸν ἀντίδικον· ὁ μὲν γὰρ φήσει· ὁ Αἰσχίνης· ὁ δὲ δείκνυσι· ὁ Δημοσθένης. Προκατασκευασθῆναι τῇ πόλει· προσυπακουστέον τὸ θελήσῃ.

του εἴδους καὶ τοῦ δευτέρου, ἀλλὰ μὴν καὶ τοῦ βιαίου ὑφ' ἡμῶν κατασκευάζεται ἡ λύσις, εἰ δὲ ὑφ' ἡμῶν τίθεται διὰ τῆς προκατασκευῆς τὸ κεφάλαιον; κατασκευῆς τὸ τηνικάδε δεύμεθα τοῦ κεφαλαίου, ὥστε εὑρίσκεσθαι ἐν τοῖς τρισὶν εἴδεσιν, ὡς εἴρηται, καὶ κατασκευὴν κεφαλαίων καὶ λύσιν τῶν κεφαλαίων· ἄλλως τε καὶ ἐν τῷ πρώτῳ καὶ ἐν δευτέρῳ εἴδει τῆς προκατασκευῆς· κατασκευὴ δύο τινῶν ἐστι κατασκευὴ κατασκευῆς, καὶ κατασκευὴ λύσεως, καὶ γὰρ καὶ ὁ λύων κατασκευῆς δεῖται εἰς βεβαίωσιν καὶ ἀπόδειξιν τῶν ὑπ' αὐτοῦ λεγομένων κεφαλαίων, ὡς εἶναι τὴν λύσιν μετὰ κατασκευῆς, καὶ αὐτὸς γὰρ ὁ τεχνικὸς ὑποκατιὼν ἐσαφήνισε τούτῳ, ὡς ἐν τοῖς ἄνω πρὸ μικροῦ ἐδείξαμεν. [10]

Cap. III.

Περὶ κεφαλαίων. [1]

β'. Διδάξας ἡμᾶς ὁ τεχνικὸς ἑκάστης στάσεως τὰ κεφάλαια, οἷον ὡς ἐπὶ τοῦ στοχασμοῦ, τοῦτο γὰρ δὴ πρότερον ἐν παραδείγματι τίθεται, εἶθ' οὕτως τὴν πραγματικήν, διαιρεῖται γάρ, φησὶν, ὅτε καὶ πρόσωπα ἔχοι [2] *καὶ πράγματα κρινόμενα, παραγραφικῶς ἔστιν ὅτε ἐλέγχων ἀπαιτήσει, βουλήσει, δυνάμει, τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀντιλήψει, μεταλήψει, μεταθέσει αἰτίας, πιθανῇ ἀπολογίᾳ, ποιότητι κοινῇ, ἄρτι τὴν κατασκευὴν αὐτῶν καὶ τὴν λύσιν ὑπισχνεῖται παραδοῦναι ἡμῖν· οὐδὲ*

---

10 Litt. *β.* et *γ.* vide T. V. p. 392. v. 19. — p. 393. v. 13.

1 Litt. *α.* vid. Vol. V. p. 393. v. 17 — 21. 2 Par. ἔχει. Sch. min. *ὑποβαλλομένης· προτιθείσης. Ἰστέον, ὅτι ἐν τῷ κεφαλαίῳ ἐνδέχεται λείπειν πρότασιν καὶ ἀντιπρότασιν, ὑπαφορὰν δὲ καὶ λύσιν οὐκ ἐνδέχεται.*

γὰρ ἀρκεῖ κ. τ. λ. Vol. V. p. 394. v. 1—13. ὡς γὰρ εἴρηται οὐδεὶς τῶν ἀκροατῶν πεισθείη ἐκ τῶν λεγομένων ἐν ταῖς στάσεσιν, ἢ δυνατὸν εἶναι τὸν λόγον τὸν παρ' ἡμῶν ἐκτεθέντα ὡς ἀληθῆ, ἢ ἐλεγχθῆναι τὸν προβαλλόμενον ὑπὸ τῶν ἐναντίων ὡς ψευδῆ· ἡ τῶν ἐλέγχων γὰρ, φησὶν, ἀπαίτησις διπλῆ ἐστιν· ἢ γάρ εἰσιν μάρτυρες ἢ οὔ· οἷον μνωμένῳ τινὶ κόρην ἡ μήτηρ ἔφη τῆς κόρης, θᾶττον τεθνήξεσθαι αὐτὴν, ἢ ἐκείνῳ δοθῆναι· ἀπέθανεν ἐπὶ σημείοις φαρμάκων ἡ παῖς, εἶτα βασανίζων ὁ πατὴρ τὰς θεραπαίνας περὶ μὲν τῆς φαρμακείας ἀκήκοε πλέον οὐδὲν, μοιχείαν δὲ τῆς γυναικὸς πρὸς τὸν μνηστῆρα, καὶ φαρμακείας κρίνει τὴν γυναῖκα· εἰ μὲν ποιεῖται τὴν παραγραφὴν τῶν μαρτύρων, λέξει ἡ γυνὴ, ἢ ὁ ἀντιποιούμενος αὐτῆς, εἰ οὐ πάντας τοὺς ἐλευθέρους ἀξιοπίστους ὑπολαμβάνομεν, ἥκιστα ἂν τοῖς δούλοις πιστεύσαιμεν· καὶ ὡς ἐκ τούτου μόνον ἀσθενὴς αὐτῆς [3] φαίνεται ὁ λόγος ὁ τοὺς μάρτυρας παραγραφόμενος, ὅθεν διδάσκει ἐκ τῶν ἐπιχειρημάτων τὴν σύστασιν τῶν κεφαλαίων· καὶ κατὰ πόσους τρόπους εἰσάγεται ἐπιχείρημα καὶ ἐκ ποίων· εἶτα πῶς ἐργάζεται τὰ ἐπιχειρήματα, καὶ τίς ἐστιν ἡ δύναμις τῆς ἐργασίας, καὶ μηδὲ μέχρι τούτου στὰς, πῶς εὑρίσκονται πάλιν τὰ ἐνθυμήματα τὰ κατασκευάζοντα τὴν ἐργασίαν, καὶ ταῦτα πάντα καὶ δυνατὸν ποιοῦσι τὸν λόγον, ἐν τῇ ἀποδείξει καὶ λύσει καὶ τῷ πλήθει ἄπειρον, ὡς μηδενὸς λειπόμενον, ὥστε εἰ θελήσει ἕκαστος ὁ τὴν τέχνην μετερχόμενος ἐκ τῆς τοιαύτης μεθόδου καὶ προσκορὴς γενήσεται τοῖς ἀκούουσιν, ἐκ τῆς ἀμυθήτου εὑρέσεως τῶν τε κατασκευαζόντων, τοῦ προβαλλομένου τὸν λόγον καὶ τῶν ἀναλυόντων τὴν πρότασιν τοῦ ἐναντίου· παραδίδωσιν οὖν ἡμῖν τὴν μέθοδον οὕτως· τίθησι κεφάλαιον πρῶτον τοῦ στοχασμοῦ τὴν τῶν ἐλέγχων ἀπαίτησιν· καὶ ἐπειδὴ δύο πρόσωπά εἰσι, τοῦ τε διώκοντος καὶ τοῦ

3 Mon. φαίνεται αὐτοῦ.

φεύγοντος, εἰ μὲν ὁ διώκων εὐπορήσει μαρτύρων, κατασκευάσει τὸν περὶ τῶν μαρτύρων λόγον ἀναγκαῖον, [4] ὡς δεῖ παντοίῳ τρόπῳ πιστεύεσθαι τοὺς μάρτυρας, καὶ τοῦτο ἰσχυροποιήσει ἐκ τῶν ἐπιχειρημάτων, ὡς ἐν τῷ περὶ ἐργασίας ἐπιχειρημάτων, εἰ θεῷ φίλον, μαθησόμεθα· εἰ [5] δὲ ὁ διώκων μὲν προβάλλεται τὸν περὶ τῶν μαρτύρων λόγον, ὡς εὐπορῶν αὐτῶν, θελήσει δὲ αὐτῷ ἐναντιωθῆναι ὁ φεύγων, λύσει τὰ παρὰ τοῦ διώκοντος προβαλλόμενα, ὡς ἐν τοῖς ἐφεξῆς δείξομεν· ἡ δὲ εἰσαγωγὴ κεφαλαίου, εἰ μὲν παρ' ἡμῶν τίθεται, ἁπλῶς εἰσάγεται ἤτοι προτάσεως δίχα, εἰ δὲ ὑπὸ τοῦ ἐχθροῦ εἰσάγεται, ὀφείλομεν κοσμῆσαι τὰ κεφάλαια τούτοις τοῖς τέσσαρσι, προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει, λύσει, τῇ καὶ ἀνθυποφορᾷ καλουμένῃ· καὶ ἐπὶ παραδείγματος ἑνὸς ταῦτα τὰ τέσσαρα δείξομεν. Φίλιππος γὰρ ἄρχεται μὲν περὶ Ἄλοννήσου λέγων, ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν, ὑμᾶς δέ φησιν οὐ δικαίως αὐτὸν ἀπαιτεῖν, οὐ γὰρ ὑμετέραν οὖσαν οὔτε [6] λαβεῖν, οὔτε νῦν ἔχειν· ἔλεγε δὲ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτι πρὸς αὐτὸν ἐπρεσβεύσαμεν· τοῦτο ἡ πρότασις· ὡς λῃστὰς ἀφελόμενος τὴν νῆσον κτήσαιτο, καὶ προσήκει αὐτὴν ἑαυτοῦ εἶναι· τοῦτο ἡ ὑποφορά, καθὼς εἴρηται· ἐχθροῦ γάρ ἐστιν οὗτος ὁ λόγος, κἂν παρ' ἡμῶν προφέρηται· τοῦτον δὲ τὸν λόγον ὡς οὐ δίκαιον οὐ χαλεπὸν αὐτοῦ ἐστιν ἀφελέσθαι· τοῦτο ἡ ἀντιπρότασις· ἅπαντες γὰρ οἱ λῃσταὶ τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους ἐχθροὺς ποιούμενοι ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν· ὁ δὲ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας οὐκ ἂν δή ποτε εἰκότως λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον ταῦτα ἂν [7] ἑαυτοῦ γενέσθαι· τοῦτο ἡ ἀνθυποφορά, καὶ

4 ἀναγκαῖον, ὡς δεῖ ——— προβάλλεται τὸν περὶ τῶν μαρτύρων λόγον Par. 1. om. est in Par. 1983. 5 Mon. ὁ δέ. Par. 1983. εἰ δέ. 6 Mon. οὐδέ. 7 Mon. ἐάν. scr. ἄν. tum Mon. γίνεσθαι.

ἡ λύσις καλουμένη· καὶ γὰρ πρότασις μέν ἐστιν ἡ ἐπαγγελία τῆς ὑποφορᾶς, ὑποφορὰ δὲ τοῦ ἐχθροῦ λόγος· ἀντιπρότασις δὲ ἡ τῆς λύσεως ἐπαγγελία· λύσις δὲ ἣν ποιούμεθα ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς· χρὴ δὲ γινώσκειν, ὡς πολλάκις ἐν τῇ εἰσαγωγῇ τῶν ἐπιχειρημάτων λείπει ἡ πρότασις, μηδὲ λυμαινομένη τῷ λόγῳ, πολλάκις δὲ καὶ ἡ ἀντιπρότασις· οὐδὲν γάρ ἐστιν ἡ πρότασις, εἰ μὴ κόσμος τοῦ λόγου ὁμοίως καὶ ἡ ἀντιπρότασις· καὶ διὰ τοῦτο λείπονται, οὐδὲ μίαν βλάβην ἐμποιοῦσι τοῦ λόγου· ἄξιον οὖν ἀπορῆσαι, πῶς τὴν τῶν στάσεων πραγματείαν πρώτην ὁ Ἑρμογένης ποιησάμενος, δευτέραν δὲ τὴν περὶ εὑρέσεως, εἶθ' οὕτως τρίτην τὴν περὶ ἰδεῶν ἐν ταῖς στάσεσι καὶ τοῦ περὶ εὑρέσεως μέμνηται λέγων, ἔστι δὲ σχεδὸν ὁ αὐτὸς τῷ περὶ εὑρέσεως, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως, ἀλλὰ καὶ τοῦ περὶ ἰδεῶν φάσκων, [8] διδάσκειν οὖν πρό γε ἐκείνων τὸν περὶ ἰδεῶν λόγον πάντη ἀνόητον, καὶ λέγομεν ὅτι ταῦτα τὰ ῥησείδια οὐκ εἰσὶ τῶν στάσεων, ἀλλὰ τῶν προλεγομένων τῶν στάσεων· ἀπὸ στοχασμοῦ τοίνυν ποιησάμενος τὴν ἀρχὴν τῆς τέχνης, καὶ μετὰ τὴν συμπλήρωσιν τῶν στάσεων ποιήσας τὸ περὶ εὑρέσεως, καὶ τρίτον τὸ περὶ ἰδεῶν ἔσχατον ὡς εἰσαγωγὴν ἐποιήσατο τῶν στάσεων, μεμνημένος τῶν προγεγονυιῶν δύο πραγματειῶν, τῆς τε περὶ εὑρέσεως καὶ περὶ ἰδεῶν. [9]

ε. Πυνθάνομαι [10] τοίνυν αὐτὸν περιάγοντα κατὰ

---

8 Mon. πάσχειν. διδάσκων. 9 Litt. γ'. et δ'. vide Vol. V. p. 394. v. 14. — p. 395. v. 6. — Ven. litt. β. et δ. non habet. 10 Praecedit in Par.: δεήσει τῆς θέσεως· θέσιν ἐνταῦθα αὐτὴν τὴν ἔκθεσιν τοῦ κεφαλαίου καὶ προβολήν φησι. Πρότασις μὲν γάρ· ἡ προκατάληψις καὶ προεπαγγελία τῆς ὑποφορᾶς τοῦ ἐχθροῦ· τουτέστι προκατάληψιν λαβὼν ὁ ῥήτωρ προαπαγγέλλει τὰ μέλλοντα ῥηθήσεσθαι ὑπὸ τοῦ ἐχθροῦ. Τάχα τοίνυν καὶ τοιοῦτος· ἡ πρότασις καὶ προεπαγγελία. Θεωρίας ἐνδείγματα· τοῦ-

τὴν ἀγορὰν λέγειν, ἃ καὶ νῦν ἴσως πρὸς ὑμᾶς ἐρεῖ ἀγανακτῶν, εἰ μόνος τῶν ἐνταυθοῖ πολιτευομένων λόγων εὐθύνας ὑφέξει, λείπει ἡ ἀντιπρότασις καὶ ἡ ἀνθυποφορά· [11] καὶ ἔστι μόνον ὑποφορὰ καὶ λύσις, οἷον ἀλλὰ ἀδίκως, [12] φησὶν, ἦρξας· εἶτα παρὼν, ὅτε με εἰσῆγον οἱ λογισταὶ οὐ κατηγόρεις.

Cap. IV.

Περὶ ἐπιχειρημάτων.

ά. Πᾶν κεφάλαιον ἢ παρ' ἡμῶν εἰσάγεται καὶ δεῖται κατασκευῆς, ἢ παρὰ τῶν ἐναντίων καὶ δεῖται λύ-

τό φησιν, ὅτι οὐ πρὸς ἀνάγκην μέν ἐστι τῷ ῥήτορι λαμβάνειν πρότασιν καὶ ἀντιπρότασιν· οὐδὲν γὰρ λυμαίνονται καὶ μὴ ληφθεῖσαι τῇ ὑποφορᾷ ἢ τῇ ταύτης λύσει· ληφθεῖσαι μέντοι καλλωπίζουσι καὶ κοσμοῦσι τὸν λόγον· καὶ πῶς, φησὶ, τοῦτο ποιοῦσι; διασύρουσι καὶ διαβάλλουσι τοῦ ἐχθροῦ τὸν λόγον, ὅς ἐστιν ἡ ὑποφορὰ, καὶ ῥᾳδίαν ὑπισχνούμενοι δοῦναι τὴν λύσιν· ἐνδείγματα οὖν καὶ ἐμφάσεις καλλίστης καὶ ἡδίστης ἐννοίας δεικνύουσιν, εἰ προσέχοιμεν τῇ λέξει τῆς φράσεως τοῦ διασυρμοῦ· ὡς ἐὰν λέγωμεν, ἀκούσατε, ὦ ἄνδρες δικασταὶ, συνέσεως πλήρη ῥήματα, οἷα μηδ' ἂν αὐτὸς εἶπε Δημοσθένης δημηγορῶν, οὐδ' ἂν Πλάτων, οὐδ' ἂν Θουκυδίδης, ἢ Ἡρόδοτος· τοιαῦτα γὰρ χάριτος καὶ ἤθους πλήρη τὰ ῥήματα τοῦ διασυρμοῦ. Κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ· εἴτε, φησὶν ὁ Λεπτίνης, εἴτε τις ἕτερος ὑπὲρ τοῦ τεθέντος νόμου λέγει, καὶ ἰσχυρίζεται καλῶς ἔχειν αὐτὸν, καὶ χρῆναι τὸ τῆς τελείας ἀναιρεθῆναι, οὐδὲν μὲν δίκαιον ἐρεῖ· τοῦτο δὲ μόνον, ὅτι ἀναξίως τινὲς ἔτυχον τῆς ἀτελείας, καὶ ἐξέφυγον τὸ ὑποτελεῖς εἶναι φόρων. Ἐκδεδυκέναι· ἐκφυγεῖν. 11 Post ἀνθυποφορὰ Mon. habet: Λείπει πρότασις καὶ ἀντιπρότασις. Sch. min. οὔτε νῦν ἔχειν· προσυπακουστέον τὸ λέγει. Αὐτοῦ ἀφελέσθαι· ἀπ' αὐτοῦ τοῦ Φιλίππου τὸν λόγον τοῦτον οὐκ ἔστι δύσκολον καὶ χαλεπὸν ἀφελέσθαι. 12 Dem. pro cor. p. 266.

σεως· πᾶσα δὲ κατασκευὴ καὶ λύσις ἐκ τῶν περιστατικῶν μορίων γίνεται· ἔστω κεφάλαιον ὁ Περικλῆς προδότης· ὅτι μὴ ἐδήωσε τοὺς καρποὺς αὐτοῦ Ἀρχίδαμος, ὅπερ ἐστὶ πρῶτον κεφάλαιον τοῦ στοχασμοῦ.

β'. Ἐπιχείρημά [1] ἐστιν, ὡς μὲν Ἀποκρατίων, θέσις νοήματος εἴς τι μέρους ζήτημα, πρὸς τὴν καθόλου καὶ γενικὴν ζήτησιν ἔχον τὴν ἀναφοράν· ὡς δὲ Νεοκλῆς ἐπιχείρημά ἐστι συλλογισμὸς, κ. τ. λ. Vol. V. p. 395. v. 12. — 397. v. 3.

γ'. Ἀντὶ [2] τοῦ κοινὸν ἡ γένεσις τῶν ἐπιχειρημάτων καὶ ἀνασκευάζουσι καὶ κατασκευάζουσι.

δ'. Ἀντὶ τοῦ ἐν ἑκατέροις τοῖς ἐπιχειρήμασι τοῖς τε κατασκευάζουσι τὸ προτεθὲν καὶ τοῖς ἀνασκευάζουσιν ἀπὸ τῶν αὐτῶν εἰσι νοημάτων. [3]

ε'. Τὰ γὰρ περιστατικὰ κεχώρισται τῶν προσώπων καὶ δῆλον ἀφ' ὧν πολλάκις καθ' ἓν καὶ κατὰ δύο ἢ καὶ κατὰ πάντα ἐμπίπτει τῷ ὑποκειμένῳ, ἐπὶ δὲ [4] τῆς ὕλης οὐ δυνατόν· οὐ γὰρ φιλάργυρος τὸ τοῦ λίχνου πάθοι ἄν ποτε, οὐδ' υἱὸς τὸ τοῦ μηδὲν προσήκοντος καὶ δικαζομένου πατρί.

Τοῖς περιστατικοῖς [5] ὡς ἤδη εἴρηται· πρὸς γὰρ τὸ οἰκεῖον συμφέρον καὶ τὰς ποιότητας αἱ τοῖς περιστατικοῖς ἐπακολουθοῦσι, βιάζεται πιθανῶς μεταπλάττειν.

Ἀπὸ τοῦ παρελθόντος [6] καλὸν ἦν τὸν υἱὸν εὐλα-

---

1 Litt. ά. non est in Ven. 2 Ven. Εἴτε οὖν εἰσάγοιμεν ἡμεῖς κεφάλαιον, εἴτε θέντες λύοιμεν καὶ τὰ ἑξῆς· ἀντὶ τοῦ κοινόν, (Mon. κοινοῦ) Omissa litt. δ. post κατασκευάζουσι pergit: Προστιθέασιν οἱ φιλόσοφοι καὶ ἑβδομόν τι τὴν ὕλην. 3 Sequuntur in Par. ea, quae leguntur T. V. p. 397. v. 3 — 6. Ibid. v. 6. — p. 398. v. 14, legitur litt. έ. 4 Mon. ὅπερ δὲ τῆς. Ven. ὅπερ ἐπὶ τῆς. Par. ἐπὶ δὲ τῆς. 5 Ven. Ἐπιμερίζεται τῶν ἄλλων ἑκάστῳ, ὅτῳ ἂν καὶ δύναται. 6 Ἀπὸ τοῦ παρελθόντος sqq. usque ad litt. ή. Mon. et Ven. om.

βεῖσθαι τὸν πατέρα· τοῦτο τὸ κεφάλαιον ἀπὸ τοῦ δικαίου ὁρίζοντες ἀντιτίθεμεν ἀπὸ τοῦ· καλόν ἐστι τὸ τοὺς γονεῖς τιμᾷν· ὁρίζει γὰρ τί ἐστι τὸ κεφάλαιον· ἀπὸ προσώπου τὸ ἐπιχείρημα, ἐπεὶ καὶ οἱ πατέρες τῶν παίδων φροντίζουσιν· οἱ πατέρες τὸ πρόσωπον· ἀπὸ τοῦ τόπου· καὶ μάλιστα ἐκεῖσε ἔδει αὐτὸν τιμᾷν, ὅπου σπάνις ἦν τῶν θεραπευόντων· ἀπὸ τοῦ χρόνου· καὶ τότε, ἡνίκα τῇ λύπῃ καὶ τῇ ἀήθει χρήσει τοῦ οἴνου κατείχετο· ἀπὸ τοῦ τρόπου· προσηκόντως καὶ εὐλαβῶς καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας· ἀπὸ τῆς αἰτίας, ὡς ἂν ἀντὶ τῶν καταρῶν τὰς εὐχὰς μᾶλλον ἐκληροῦτο, καὶ μὴ ἐκπεπτώκει τῆς γνησιότητος· ταῦτα μὲν ἐπιχειρήματα· ἐργάσῃ δὲ ἓν ἕκαστον πρῶτον μὲν ἀπὸ παραβολῆς, ὥσπερ γὰρ οἱ τιμῶντες τοὺς γονεῖς μακροχρόνιοι γίνονται, οὕτω καὶ οἱ τὸ ἐναντίον πράττοντες τῆς ζωῆς ἀποτέμνονται· ἀπὸ παραδείγματος, καὶ ὅρα τὸν Κάιν, πῶς ὅλον τὸν βίον στένων καὶ τρέμων διήγαγε τῇ πρὸς τοὺς πατέρας καὶ τοῦ ἀδελφοῦ ἀδικίᾳ, καὶ τὰ ὅμοια· ὡσαύτως εἶτα τὰ ἐνθυμήματα, ὅτι εἰ μηδὲν ἔμελλε κερδήσειν ἀγαθὸν δι' αὐτὴν τὴν φύσιν καὶ ὅτι ἐξ αὐτοῦ γεγένητο, περικαλύπτειν ἔδει τὸ σφάλμα, καὶ τὸ αὐτὸ τήρει ἐπὶ πᾶν τὸ κεφάλαιον εἴτε δικανικοῦ εἴτε συμβουλευτικοῦ εἴτε πανηγυρικοῦ· πᾶν γὰρ ἐκ πάντων ἐπιχειρημάτων συνίσταται, καὶ ἐκ τῶν μελλουσῶν[6*] ῥηθήσεσθαι ἐργασιῶν. Εἴτε ἐπὶ τοῦ μέλλοντος· τὸ συμβουλευτικὸν λέγει· τὸ δὲ πανηγυρικὸν παρῆκε διὰ τὸ μὴ στασιάζεσθαι, ἀλλὰ καὶ ἀναμεμίχθαι τούτοις τοῖς δυσὶν εἴδεσιν.

ἡ. Τοῦτο εἶπεν, ἐπείτοι[7] πολλάκις ἢ παντελῶς ἐκ-

6* Par. μελλόντων. scripsi μελλουσῶν. 7 Ven. praemittit: εἰ μή τι πρὸ αὐτοῦ παραδοξότερον εὑρεθείη. Pro ἐπείτοι Mon. ἐπάγει. Sch. min. Ἀρχίδαμος· βασιλεὺς Λακεδαιμονίων. Ὁρίσας· ἀντιταθείς: σημείωσαι, τίνες λέγονται παράδο-

λείπει τὸ κεφάλαιον κ. τ. λ. Vol. V. p. 398. v. 18. — p. 399. v. 9. λέγω δὲ τῶν κατηγορούντων καὶ ἀπολογουμένων· καὶ γὰρ ὁ αἰτῶν τὴν δωρεὰν τῶν φευγόντων ὑπάρχων ὡς πεποιηκὼς τὸ πρᾶγμα, τὴν τοῦ διώκοντος χώραν κληροῦται, [8] πρῶτος λέγων, ὃ χαρακτηρίζει τὸν διώκοντα,

---

ξοι στοχασμοί. Ἐν δημοκρατίᾳ· ἡ γὰρ δήμοκρατία πόλις ἐστί. infra addit: ἤτοι τόπος. Μὴ συκοφαντῶσι· συκοφάντης ἐστὶν ὁ ψευδοκατήγορος· φησὶ γὰρ ὁ Πλούταρχος ἐν τῷ πρώτῳ βιβλίῳ τῶν παραλλήλων, ὅτι σύκων ἕνεκεν κατηγορήσαντός τινος ψευδῶς πρῶτον καὶ διαγνωσθέντος τοῦ ψεύδους ἐκλήθη συκοφάντης, καὶ οὕτως ἐπὶ τῆς καθόλου ψευδοῦς κατηγορίας εἴληπται. Συκοφαντία ἐστὶν ἡ κρύβδην λοιδορία ἢ φανερῶς· καταλαλιὰ δὲ ἡ καθόλου. Ἀπὸ τῶν εἰκότων εἴρηται διαφόρως ἐν ταῖς στάσεσιν, ὅτι εἰκότα ἰδικωτέρῳ λόγῳ τὰ ἐμφαινόμενα τεκμήρια τοῖς προσώποις φαμὲν, σημεῖα δὲ τὰ ἐν τοῖς πράγμασιν εὑρισκόμενα. Δήμοις· ἐν τοῖς οἰκείοις δηλονότι δήμοις. Ῥήτωρ ἀνεύθυνος· εἰπὼν ἀνεύθυνος φησὶν ἐπὶ λόγοις, ὡρίσατο τὴν στάσιν, ὅτι ἀντίληψις, εἶτά φησιν οὐκ ἀνεύθυνος, λύων αὐτὴν ἀντιθέσει. Ὁ Αἰσχίνης κρινόμενος κ. τ. λ. Vol. V. p. 399. v. 13 — 18. Ἀσφαλῶς ἐστι πολιτεύεσθαι· οἱ δημοκρατούμενοι, φησὶν, ἐν λόγοις ἔχουσι τὴν πολιτείαν· οὗτοι οὖν, ἂν μὴ ὦσιν ἀληθεῖς, ἀλλὰ ψευδολογῶσι καὶ παραπρεσβεύωσι, πῶς ἔστι τὸ πολιτεύεσθαι αὐτοὺς ἀσφαλῶς. Καινὰ γράφεις· τοῦτο τῆς πραγματικῆς· ἐνταῦθα γὰρ τὸ ἔθος ἐξετάζεις. Ἡ λύσις· λύσιν ἐνταῦθα κατασκευὴν τῆς λύσεώς φησιν· εἰπόντος γὰρ Δημοσθένους, ὅτι δεῖ διορύξαι τὸν Ἰσθμὸν, ἵνα μὴ συνεχῶς κατατρέχῃ Χερόννησον Φίλιππος, ἀπελογήσατό τις καὶ ἔλυσε τὸ κεφάλαιον διὰ τῶν προῤῥηθέντων ἐπιχειρημάτων, ὅτι οὐ δεῖ διορύξαι· εἶτα τυχὸν ὁ Δημοσθένης πρὸς τὴν τοιαύτην λύσιν ἁπαντᾷ καὶ λύει αὐτὴν διὰ τῶν ἑξῆς ἐπιχειρημάτων κατασκευαστικῶς, ὥστε ἣν εἶπε λύσιν ὁ τεχνικὸς λύσις ἐστὶν, ἀλλὰ λύσεως, εἴτουν κατασκευὴ λύσεως. Εὑρίσκεται κοινὸν, ἵνα γένηται ἐκ προσώπου καὶ πράγματος καὶ ἄλλων τινῶν περιστατικῶν. Ἐλέγχους παρέχεσθαι· τὸ κεφάλαιόν ἐστι τοῦτο τὴν τῶν ἐλέγχων ἀπαίτησιν παριστῶν. Πάλιν δεῖ λόγων· τοῦτο τοῦ προσώπου καὶ τοῦ πράγματος. Ἀπὸ κοινοῦ τὸ μὴ περιττὰς εἶναι δοκεῖν Προσήκειν νομίζειν, ἀπὸ τῆς ὕλης δηλονότι. 8 Ven. κατα-

διὸ καὶ παράδοξοι καλοῦνται οἱ τοιοῦτοι στοχασμοὶ, ἅτε δὴ τὴν τάξιν τῶν προσώπων ἀμείβοντες· ἐπεὶ τοίνυν τὴν τοῦ κατηγόρου τάξιν ὁ φεύγων ἐν τούτοις ἔχει [9] τοῖς στοχασμοῖς, ἀναγκαίως πρὸ τῶν ἄλλων κεφαλαίων καὶ πρὸ τοῦ παραγραφικοῦ, ἃ τοῦ φεύγοντός ἐστι, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους θήσεις, εἶθ' οὕτως ἐπὶ τὰ τοῦ φεύγοντος ἥξεις κεφάλαια τὰς λύσεις αὐτῶν καὶ τὰς ἀνθυποφορὰς ἐργαζόμενος. [10]

ϑ'. Ἰστέον, ὅτι μία γένεσις δύο καὶ τρία εὑρίσκει ἐπιχειρήματα, οἷον οὐκ εἰκὸς ἐϑελῆσαι προδοῦναι Περικλέα τὸν συνετὸν Ἀθηναίους τοὺς φίλους Λακεδαιμονίοις τοῖς ἐχθροῖς· ἐνταῦϑα πρᾶγμα ἓν, ἡ προδοσία καὶ πρόσωπα τρία, τοῦ Περικλέους, καὶ τῶν προδιδομένων Ἀθηναίων, καὶ οἷς προδίδονται Λακεδαιμονίοις, καὶ πάλιν ἓν πολλάκις ἐπιχείρημα κοινὸν καὶ δύο καὶ τριῶν εὑρίσκεται γενέσεων· οἷον δεῖ τῶν κρίσεων ἐλέγχους παρέχεσθαι παρ' ὑμῖν τοῖς δημοκρατουμένοις, τοῦτο γὰρ τὸ πρῶτον ἐπιχείρημα ἐγένετο ἐκ προσώπων μὲν τῶν δημοκρατουμένων καὶ τοῦ τόπου, ἔνϑα ἔστιν ἡ δημοκρατία· ὥστε τὸ αὐτὸ εἶναι καὶ πρόσωπον καὶ τόπον· ἰστέον δὲ, ὅτι καὶ κ. τ. λ. Vol. V. p. 399. v. 20—23. δεῖ δὲ εἰδέναι, ὅτι ὁ τεχνικὸς οὐ δέδωκε παραδείγματα πάντων τῶν περιστατικῶν μορίων, ἀλλ' ἐν μὲν τῇ τῶν ἐλέγχων ἀπαιτήσει, τεσσάρων μόνων, πράγματος, προσώπου, τόπου τε καὶ αἰτίας, ἀπό τε τοῦ φεύγοντος, ἀπό τε τοῦ διώκοντος· ἐν δὲ τῇ βουλήσει τῶν τεσσάρων, πράγματος, προσώπου, αἰτίας καὶ χρόνου, ἀπὸ τοῦ φεύγοντος, ἀπὸ δὲ τοῦ διώκοντος οὐδ' ὅλως· ἐν δὲ τῇ δυνάμει πράγματος, προσώπου, καὶ χρόνου, ἀπὸ τοῦ διώκοντος· ἀπὸ δὲ

κληροῦται. 9 Ven. κατέχει. 10 Sequitur in Ven.: Δύο καὶ τρία παρατυχὼν, ἀντὶ συμβάντος οὕτως, ἔστι δὲ Ἀττικὴ ἡ σύνταξις εὐθεῖα ἀντὶ γενικῆς, ἀντὶ γὰρ τοῦ παρατυχόντος. Reliqua usque ad finem capitis absunt.

τοῦ φεύγοντος ὁμοίως οὐκ ἐχρήσατο κἂν ὅλως παραδείγματι, οὐδὲ γὰρ ἐν πᾶσι τοῖς πράγμασιν εὑρίσκονται κατὰ τὰ ἐπιχειρήματα τὰ ἐξ περιστατικά· ἡμεῖς δὲ τῶν ἐξ ἐποιήσαμεν, καὶ συγγνώτω ἕκαστος τῶν ἐντυγχανόντων τῷ πονήματι, εἴτι εὑρεθείη ἐν αὐτοῖς οὐκ ἰσχυρὸν ἢ οὐ λίαν ἁρμόδιον, οὐ γάρ ἐσμεν τῶν πραγμάτων δημιουργοὶ ἐφέλκοντες αὐτὰ ἔνθα καὶ βουλοίμεθα, ἀλλὰ τοῖς προγεγονόσι τοὺς λόγους ἁρμόζομεν· ὁ δὲ τούτων τὴν πεῖραν εἰληφὼς δυνατὸς ἔσται ἐν ἑτέροις προσαρμόσαι τὰ προσπίπτοντα τὴν φύσιν τῶν πραγμάτων ἔχων συνερχομένην, καὶ ῥᾳδίως [11] χειραγωγηθήσεται ὑπ' αὐτῆς πρὸς τὴν τῶν ἐπιχειρημάτων χορηγίαν κατὰ τὰ ἐξ περιστατικὰ μόρια, ὄψεται γὰρ ὑφ' ἡμῶν τὸν λόγον βιασθέντα ὁ ἐγκύπτων ἐνταῦθα διὰ τὸ εἶναι τὸ κεφάλαιον ἀνεπίδεκτον κατὰ τὰ ἐπιχειρήματα τῶν ἓξ περιστατικῶν μορίων· τὸ δὲ ἀνεύθυνος ἐν λόγοις ἔχον τρία μόνα μόρια ἀπὸ τοῦ φεύγοντος μόνου· καὶ τὸ κοινὰ γράφεις τρία ἐν τῇ κατασκευῇ καὶ τῇ λύσει, ἤτοι ἀπὸ τοῦ διώκοντος καὶ τοῦ φεύγοντος· καὶ περὶ τῆς διορυγῆς τοῦ Ἰσθμοῦ καὶ τῆς μυήσεως ὡς εὐχερῆ παρήκαμεν· οὐδεμία γάρ ἐστιν ἐν αὐτοῖς δυσχέρεια, ὅτι καθά φησιν ὁ τεχνικὸς, ὥσπερ ἡ μία γένεσις τοῦ ἐπιχειρήματος καὶ δύο καὶ τρία παρὰ τὸ τυχὸν εὑρίσκει ἐπιχειρήματα, οὕτως καὶ ἓν ἐπιχείρημα εὑρίσκεται κοινὸν καὶ δύο καὶ τριῶν γενέσεων· ὡς δύνασθαι τὸ αὐτὸ δοκεῖν εἶναι καὶ καιροῦ καὶ τόπου ἢ αἰτίας ἢ πράγματος, ἢ προσώπου ἢ τόπου.

---

11 καὶ ῥᾳδίως χειραγωγηθήσεται — — ἐγκύπτων ἐνταῦθα Mon. om. Sch. min. Τὴν θεωρίαν· τὴν ἔννοιαν τῆς ὑποθέσεως. Ἡ ἀνάγκη· τῆς στερρότητος δηλονότι. Συστέλλειν τὰ νοήματα δυνάμεθα περιοδικῶς, ἡ δὲ περίοδος ἐτεχνολογήθη τῷ Ἑρμογένει ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ τετάρτου τόμου τοῦ παρόντος βιβλίου, ἐκεῖ οὖν γνώσῃ, πῶς πολλὰς ἐννοίας συνεστραμμένως δι' ὀλίγων ἐρεῖς· πλατύνειν δὲ κ. τ. λ. Vol. V. p. 400. v. 1—15.

Cap. V.

Περὶ ἐνστάσεως καὶ ἀντιπαραστάσεως.

ά. Διδάξας ἡμᾶς ὁ τεχνικὸς τὴν τῶν ἐπιχειρημάτων εἰσαγωγὴν καὶ λύσιν, ταῦτα δὲ εὑρίσκονται γινόμενα ἀπὸ τῆς περιστάσεως, ἡ δὲ περίστασίς ἐστι τοῦ κατηγόρου πρὸς βοήθειαν τοῦ φεύγοντος, τὸ ἀντιληπτικὸν εἰσέρχεται κεφάλαιον· οἷον ὅτι ἔξεστί μοι ἀποκτεῖναι τὸν υἱόν· κεφάλαιον, ὁ διώκων πάλιν χρήσεται τοῖς κατ' αὐτοῦ, οἷς ἐπίσταται ἐναντίοις τῆς ἀντιλήψεως· ταῦτα δέ ἐστιν ἡ ἔνστασις ἡ λέγουσα, ἢ ὅτι οὐκ ἔξεστιν, ἢ ὅτι εἰ καὶ ἔξεστιν, ἀλλ' οὐκ ἐνώπιον τῆς μητρός. ἔδει οὖν μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐξ ὧν τὰ ἐπιχειρήματα εὑρίσκεται, διδάξαι τὸν τεχνικὸν ἐφεξῆς περὶ[1] ἐνστάσεως· τοῦ γὰρ στοχασμοῦ πρῶτον δεδωκὼς κεφάλαιον τὴν τῶν ἐλέγχων ἀπαίτησιν καὶ δεύτερον τὴν βούλησιν, καὶ τρίτον τὴν δύναμιν, τέταρτον τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, εἶτα πέμπτον κεφάλαιον τὴν ἀντίληψιν εἰδὼς δι' ἐνστάσεως καὶ ἀντιπαραστάσεως αὐτὴν λυομένην μετὰ τὰ ἐπιχειρήματα τὰ εὑρισκόμενα ἀπὸ περιστάσεως τὴν διδασκαλίαν ἁρμοδίως τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως ἐξέθετο· βουλόμενος δὲ ὁ τεχνικὸς τὸ ἀναγκαῖον τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως ἡμῖν ὑποδεῖξαι· φησὶν ἐν πάσῃ στάσει κ. τ. λ. Vol. V. p. 400. v. 18. — p. 401. v. 16.

Βουλόμενος[2] *ὁ τεχνικὸς τὸ ἀναγκαῖον τῆς ἐνστάσεως*

---

1 Mon. παρά. scr. περί. — v. 14. καὶ δεύτερον τὴν βούλ. — ἄχρι τέλους Mon. om. 2 Sch. min. *Ἐξῆν μοι κτεῖναι· ἀντιληπτικῶς. Τὸ κεφάλαιον· ἐξῆν γὰρ κτείνειν τὸν υἱὸν κατὰ τὸν νόμον ἀκρίτως· ἔκτεινέ τις ἐνώπιον τῆς μητρὸς, καὶ θανούσης ἐκείνης κρίνεται. Ἀνεύθυνος ἐπὶ λόγοις· εἴρηται περὶ αὐτοῦ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ. Κατ' εἰκόνα τῆς ἐνστάσεως· κατ' ἀλήθειαν γὰρ ἐν μόνῃ ἐστὶ τῇ μεταλήψει. Σημείωσαι, ὅτι καὶ ἀνάγκην καὶ ὑπόθεσιν ἡ περίστασις

καὶ ἀντιπαραστάσεως ἐπιδεῖξαί φησιν, καθ' ἕκαστον κεφάλαιον ἐν πάσῃ στάσει κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν τὰς μάχας δεῖ [3] καὶ τὰς κατασκευὰς γίνεσθαι· ἤτοι κατ' εἰκόνα ταύτην εἰσάγουσιν, οἷον χρὴ ἐλέγχους παρέχεσθαι, τὸ κεφάλαιον· οὐ χρὴ ἐλέγχους παρέχεσθαι, ἔνστασις· εἰ δὲ χρή, οὐκ ἐπὶ τῶν κρύφα πραττομένων· [4] ἀντιπαράστασις· καὶ ἐπὶ τῆς βουλήσεως ὡσαύτως· κ. τ. λ. Vol. V. p. 401. v. 4 — 14. τὴν δὲ τάξιν τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως ὁ τεχνικὸς καλῶς ἐπεσημήνατο.

γ'. Τὸ ἐξῆς οὕτως· [5] τοῦτο δὲ ἡ τέχνη πάσχει ἀπορήσασα ὀλιγάκις, ἀντὶ τοῦ σπανίως τοῦτο πάσχει ἡ τέχνη, τουτέστι τὸ εἰς ἑκατέραν, τὴν ἔνστασίν φημι ἢ τὴν ἀντιπαράστασιν, μὴ ἐπιχειρεῖν, καὶ ὅσα ἐξῆς τῷ τεχνικῷ εἴρηται, καὶ γὰρ ὀλιγάκις τῶν τοιούτων ἐξαπορεῖ.

σημαίνει, καθάπαξ δὲ τὰ περιστατικά. Βιαιότατον· ἰσχυρότατον. Δεῖ καινοτομεῖν· δεῖ παρὰ τὸ ἔθος πράττειν. Καινοτομεῖν προσήκει· τοῦτό ἐστι τὸ ἐπιχείρημα ἐκ τοῦ πράγματος κατὰ ἀντιπαράστασιν. Ἀμύθητος· τοῦτο λέγει, ὅτι οἵαν ἂν προτάξῃς, εἴτε τὴν ἔνστασιν, εἴτε τὴν ἀντιπαράστασιν, εἶτα θήσεις ἐπιχείρημα, εἶτα ἐργασίαν, εἶτα ἐνθύμημα, γίνεται ἀμύθητος καὶ κάλλιστος ὁ λόγος. Πίστεις· ἀποδείξεις. Ὀλιγάκις ἡ τέχνη πάσχει· τοῦτο τὸ μὴ γίνεσθαι τὰς λύσεις ἐκ πλειόνων ἐπιχειρημάτων καὶ ἐργασιῶν καὶ ἐνθυμημάτων ὀλιγάκις πάσχει ἡ τέχνη ἀπορήσασα. 3 δεῖ Ven. om. Litt. ά. non est in Ven. 4 Ven. addit: πραγμάτων. Sch. min. Οἱ παλαιοὶ πολλάκις· τούτῳ καὶ ὁ θεολόγος κ. τ. λ. Vol. V. p. 402. v. 2 — 7. Βιαιότερον τὸ ῥητορικώτερον λέγει· ὅρος δὲ καὶ βίαιος ὅρος καὶ βίαιον διαφέρει, ὅτι ὅρος οὐ βιάζεται, ἀλλὰ μόνον ὀνομάζει, ὁ δὲ βίαιος ὅρος βιάζεται καὶ ὀνομάζει· τὸ βίαιον βιάζεται μόνον, οὐχ ὁρίζεται· βίαιον δέ ἐστιν ἡ ἔνστασις καὶ ἀντιπαράστασις, ἃ ποιεῖ τὴν μετάληψιν. 5 Τὸ ἐξῆς οὕτως non est in Ven., qui habet: Τοῦτο δὲ ὀλιγάκις ἀπορήσασα ἡ τέχνη πάσχει· ὀλιγάκις ἀπορήσασα ἀντὶ τοῦ σπανίως κ. τ. λ.

Cap. VI.

Περὶ ἐργασίας ἐπιχειρημάτων.

ἀ. Ἐργάζεται[6] πᾶν ἐπιχείρημα ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, ἀπὸ[7] μικροτέρου, ἀπὸ μείζονος, ἀπὸ ἐναντίου, ἀπὸ ἴσου, ἀπὸ παραβολῆς, οἷον[8] ὥσπερ γὰρ τὸ ἐργάζεσθαι κρεῖττον τοῦ ἀπρακτεῖν καὶ σχολὴν ἄγειν, οὕτως τὸ καινοτομεῖν καὶ μὴ μένειν ἀεὶ ἐν ταυτότητι λυσιτελέστερον· ἀπὸ παραδείγματος, τὸν Ξέρξην ὅρα· πῶς καινοτομήσας τὴν ὀρυγὴν τοῦ Ἄθω σύντομον εὗρε τὸν πλοῦν τοῦ οἰκείου στρατεύματος· ἀπὸ[9] μικροτέρου, οἷον Εὐβοεῖς καινοτομήσαντες τὸ καὶ τὸ κατώρθωσαν τόδε καὶ τόδε· ἀπὸ μείζονος καὶ τοῦ μὴ παρ' ἄλλου τολμηθέντος· δεῖ τὸν σπουδαῖον ἐφάπτεσθαι, μήτι γε τοῦ ὑφ' ἑτέρων γεγονότος· ἀπὸ[10] ἴσου, εἰ ὁ ἐπινοῶν τι τῶν συμφερόντων συνετὸς, καὶ ὁ καινοτομῶν ἐπὶ τὸ συμφέρον σπουδαῖος καὶ ἐπαινετὸς διὰ τοῦτο· ἀπὸ τοῦ ἐναντίου, εἰ γὰρ τὸ σχολὴν ἄγειν περὶ τὰ πρακτέα ἐπίψογον, πῶς οὐκ ἐγκωμίων ἄξιοι οἱ τὰς τοῦ βίου καινοτομίας ἐννοοῦντες;

β. Οὐ[11] τὰ περιστατικὰ λέγει, ἀλλὰ τὰ ἀπὸ πα-

---

6 Ἐργάζεται πᾶν ἐπιχ.] Mon. et Par. om., recepi ex Ven. 7 Ven. παρὰ μικρ. παρὰ μ. παρὰ τοῦ ἐν. παρὰ τοῦ ἴ. παρὰ παραβ. mox ib. παρὰ παράδειγμα. 8 οἷον Par. om. Sch. min. ὅρα μή ποτε κ.τ.λ. Vol. V. p. 402. v. 10—17. 9 Ven. παρὰ μικροτ. et mox παρὰ μείζονος. Mon. εὐβοῆς καινοτομήματος. Sch. min. ἃ δοκοῦσιν εἶναί τινες ἐπιχ. Μινουκιανὸς λέγει καὶ Μητροφάνης. Ἀπὸ περιστάσεως· τῆς ἐργασίας δηλονότι λέγει, κἂν οὐδετέρως εἶπε διὰ τὸ προειπεῖν ἀπ' αὐτῶν τούτων ἃ δοκοῦσιν. Ἄλλα καθ' ἕκαστον· οὐ γὰρ ἓν ἕκαστον κεφάλαιον μόνον ἔχει τὰς ἐργασίας, ἀλλὰ ἓν ἕκαστον ἐπιχείρημα, καὶ διὰ τοῦτο ἀμύθητος ἡ ἐπιχείρησις αὐτῶν. 10 Ven. παρὰ τοῦ ἴσου, οἷον εἰ. 11 Ven. praemittit: Ταῦτα δὲ οὐ καθ' ἕκαστον κε-

ραβολῆς καὶ παραδείγματος, καὶ ἀπὸ μικροτέρου, καὶ ἀπὸ ἴσου καὶ μείζονος καὶ ἐναντίου. Ἰστέον [12] δὲ, ὅτι τὸ ἀπὸ τοῦ ἥττονος ἐργαζόμενον ἐπιχείρημα ἐπιτιμητικῶς ἀεὶ εἰσάγεται· δεινὸν τὸ μὲν λόγοις ὑβρικότα [13] εὐθύνεσθαι, τὸν δὲ παίσαντα ἀφίεσθαι.

γ'. Σημείωσαι, [13] ὅτι ταῦτα οὐ καθ' ἕκαστον ζητοῦνται κεφάλαιον, ἀλλὰ καθ' ἕκαστον ἐπιχείρημα, ἐπιχειρήματα δὲ καθ' ἕκαστον κεφάλαιον εὑρίσκονται ἓξ· κατὰ τὰ περιστατικὰ μόρια ἐν κατασκευῇ· καὶ ἐν τῇ λύσει ἓξ· ὥστε ἕκαστον τῶν δώδεκα κατὰ τὰ ἓξ ταῦτα εὑρίσκεσθαι τὰ δοκοῦντα εἶναι ἐπιχειρήματα, ἀλλὰ μὴ ὄντα, ὡς γίνεσθαι καθ' ἕκαστον κεφάλαιον, εἰ ἐγχωροίη, κατὰ τὴν διαίρεσιν τῆς τέχνης ἐργαζόμενα ἐπιχειρήματα ἑβδομήκοντα καὶ δύο· εἶπον δὲ κατὰ τὴν διαίρεσιν τῆς τέχνης· ἐπειδὴ ἡ μὲν τέχνη ἐπίσταται ταῦτα, ἡ φύσις δὲ τῶν πραγμάτων οὐκ ἐπιδέχεται ταῦτα ἐν πᾶσι τοῖς κεφαλαίοις, διὸ, ὡς ἐγχωροίη, ἐν τοῖς ἀγῶσι χρησόμεθα.

δ'. Ἰστέον, ὅτι αἱ ἐργασίαι ἀπὸ τῶν περιστατικῶν λαμβάνονται· οἷον ἡ ἐκ παραβολῆς ἀπὸ [15] προσώπου, ἢ πράγματος, ἢ αἰτίας, ἢ χρόνου, ἢ τρόπου, ἢ τόπου, ὅμως καὶ τὰ λοιπὰ τῆς ἐργασίας, πλὴν παραδείγματος· τοῦτο γὰρ γίνεται ἐκ τῆς παραβολῆς, ἡνίκα ἐκ προσώπου λαμβάνεται ἡ παραβολὴ, καὶ οὐκέτι χώραν ἔχει ἐπὶ [16] τῶν

φάλαιον ζητηθήσεται. ib. τὰ παρὰ παραβ. κ. π. καὶ παρὰ μικροτέρου καὶ ἴσου. 12 Ven. ἰστέον, ὡς τὸ παρὰ ἥττονος. Mon. τὸ om., recepi ex Ven. 13 Mon. ὑβρικωτέροις. Par. λόγοις μὲν ὑβρικότα. Ven. τὸν μὲν λόγῳ ὑβρικότα εὐθ. τὸν παίσαντα δὲ ἀφ. Ὥσπερ καὶ κεφαλαίου τεθέντος καὶ τὰ ἑξῆς. Ἰστέον, ὅτι αἱ ἐργ. litt. δ. 14 σημείωσαι Mon. om. 15 Ven. ἢ ἀπό. 16 ἐπὶ Par. om. Par. post litt. δ. addit: κάλλιστα τὴν ἐργασίαν τῶν ἐπιχειρημάτων ποιησάμενος νῦν μέτεισιν ἐπὶ τὴν ἐργασίαν, καὶ λέγει, ὅτι ὥσπερ τὰς λύσεις δι' ἐπιχειρημάτων κατασκευάζομεν, οὕ-

τῶν λοιπῶν περιστατικῶν· οὐ γάρ ἐστι διάφορον ἄλλο παραβολῆς καὶ παραδείγματος, ἢ ὅτι τὸ μὲν ἐκ προσώπου ἀεὶ λαμβάνεται, ἡ παραβολὴ [17] δὲ ἀπὸ τῶν ἄλλων περιστατικῶν.

Cap. VII.

Περὶ ἐνθυμήματος. [1]

ά. Τόποι ἐνθυμηματικοὶ εἴκοσι καὶ εἷς. ά. ἐκ τοῦ ἐναντίου. β'. ἐκ τοῦ ἐνδεχομένου. γ'. ἐκ τῶν πρός τι. δ'. ἐκ τῶν αἰτίων. έ. ἐκ τοῦ μᾶλλον καὶ ἧττον. ς'. ἐκ τῆς ἀκολουθήσεως. ζ'. ἐκ τῶν εἰρημένων. ή. ἐκ τοῦ ἀναλόγου. θ'. ἐκ τοῦ παραδείγματος. ι. ἐξ ἀπαγωγῆς·

τω καὶ τὰ ἐπιχειρήματα διὰ τῶν ἐργασιῶν, κἀκείνας δι' ἐνθυμημάτων· περὶ δὲ τούτων ἁπάντων οὐ μόνον ἐν τῷ παρόντι κεφαλαίῳ διέξεισιν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις δυσίν. Ἐκ τοῦ ἐναντίου· ἡ σωφροσύνη ἐναντίον ἐστὶ τῆς ἀκολασίας. Ἀπείροις· τοὺς ἀτέχνους λέγει ἀπείρους, οὐ τοὺς πολλούς. Στρατευόμενος· τὸ στρατεύεσθαι πρᾶγμα. Παρὼν ἐφ' ἅπασιν· εἰδέναι δεῖ τὸ ἀπὸ τοῦ πράγματος ἐπιχείρημα· ὅτι ταὐτόν ἐστι τῷ κεφαλαίῳ. Τὸ καλὸν τοῖς ἓξ κεφαλαίοις τῆς πραγματικῆς διαιρεῖται, νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ, ἐκβησομένῳ. Γονέας τιμᾶν· οἷόν ἐστι τὸ τοῦ Χάμ· προείρηται δὲ ἐν τῷ περὶ ἐπιχειρημάτων. Ἐκ παραβολῆς· παραβολὴ ἀόριστος, ἐπειδὴ οὐκ ἔχει τὸ ὡς. 17 Ven. ἡ παραβολὴ καὶ παρὰ τῶν περιστατικῶν.

1 In Ven. ordo capitum: περὶ ὅρου. περὶ διασκευῆς, cui sine titulo proprio subjungitur cap. περὶ ἐνθυμήματος, ordine nostri commentarii prorsus inverso. Transit enim ad ἐνθύμημα in verbis, quae noster habet sub litt. β'. multo post init. Συνέστηκε δὲ ὁ συλλογισμὸς, ὡς φησι Νεοκλῆς, consentiens cum nostro usque ad finem capitis: tum vertitur ad litt. ά. Ἐνθύμημά ἐστι τὸ ἐν τῷ διανοήματι ἔχον — — ὁ ἀκροώμενος. Τόποι δὲ ἐνθυμηματικοὶ καλοῦνται ἐκ τοῦ ἐναντίου κ. τ. λ.

ιά. ἐκ τῆς διαιρέσεως. ιβ'. ἐκ τῆς κρίσεως. ιγ'. ἐκ τῶν καιρῶν. ιδ'. ἀπὸ [2] μεταλήψεως. ιέ. ἀπὸ τῶν ἑπομένων. ις'. ἐξ ὁρισμοῦ. ιζ. ἐξ ὑποθέσεως. ιή. ἐκ τῶν ἁμαρτανομένων. ιθ'. ἐκ τοῦ ἕνεκα. κ'. ἐκ τοῦ ὀνόματος. κά.[3] ὅταν ἐκ τῶν προδιαβεβλημένων καὶ ἀνθρώπων καὶ πραγμάτων τὴν αἰτίαν τοῦ παραδόξου λέγωμεν. τὰ δὲ παραδείγματα κατὰ πόδας. Εἴπωμεν οὖν πρῶτον, τί ἐστιν ἐνθύμημα. ἐνθύμημά ἐστι τὸ ἐν τῷ διανοήματι ἔχον τὴν δύναμιν καὶ τὴν σύστασιν· διάνοια γάρ ἐστί τις ἐκ μάχης λεγομένη ἐν ἀκολουθίας σχήματι.[4] καὶ ἁπλῶς τὸ ἐνθύμημα συλλογισμὸς ῥητορικὸς ὑπάρχει· καὶ γὰρ ἀτελής ἐστι. καὶ ἄλλως, ἐνθύμημά ἐστι συλλογισμὸς ἀτελής· καὶ ἀναγκαῖον τὴν ἐπὶ μέρους ἢ τὸ συμπέρασμα λείπειν τῷ λόγῳ. διόπερ εἴρηται κυρίως ἐνθύμημα, ὅτι προσενθυμεῖται τὸ λεῖπον ὁ ἀκροώμενος.

Πρῶτος τοίνυν τόπος ἐνθυμημάτων ὁ ἐκ τοῦ ἐναντίου κ. τ. λ. Vol. V. p. 404. v. 3. — p. 406. v. 17.

β'. Ἐνθύμημά[5] *ἐστιν, ὡς Νεοκλῆς, λόγος προειρημένων τινῶν περὶ τοῦ ζητουμένου ἢ περὶ τοῦ καθηγου-*

---

2 Ven. *ἐκ μεταλήψεως· ἐκ τῶν ἑπ.* 3 Ex *κά.* Mon. fecit *καί.* Par. *κᾱ. πρῶτος.* Ven. *προβεβλημένων καὶ ἀνθρώπων πραγμάτων τὴν αἰτ. τοῦ παρ. λέγωμεν· καὶ ἐκ τοῦ ἐναντίου ἐστὶν, ὅταν τὰ ἐναντία τοῖς ἐναντίοις ἀκολουθεῖ. οἷον, καὶ γὰρ εἰ ἡ σωφ. κ. τ. λ.* Numeros *δεύτερος, τρίτος* Ven. om. constanter ponens: *ὁ δὲ ἐκ τοῦ ἐνδεχομένου· ἐκ δὲ τῶν πρός τι* etc. 4 *σχήματι* Mon. om. id. habet: *λογισμὸς ῥητ.* Ven. *ῥητορ. συλλογ.* Sch. min. *δόξαν δριμύτητος· τὴν ὑπόληψιν τὴς ἰσχύος. Ὅ τί τέ ἐστιν· ἀντὶ τοῦ ὅ ἐστι. τοῦτο δὲ διδάσκει ὅτε λέγει, ὅτι συγκριτικῶς ἅπαν ἐκφέρεται· ὅπως δὲ εὑρίσκεται, ἀπὸ τῶν περιστατικῶν· ὅπου δὲ, ἐπὶ τοῦ τέλους τῆς κατασκευῆς, μετὰ γὰρ τῆς ἐργασίαν ἐπάγεται ἀεί. Ἡ τάξις, φησὶν, αὕτη· τὸ εἰδέναι τί ἐστι καὶ ὅπως καὶ ὅπου εὑρίσκεται, πρὸς ἀνάγκης εἶναι ποιεῖ τὸ δριμὺ δοκεῖν τὸ ἐνθύμημα.* 5 Absunt haec a Ven. usque ad p. 764. v. 16.

μένου αὐτοῦ, καί τινα δὲ συνήχησιν ἐχόντων τῶν ἀκροατῶν, τὸ ἐνδέον κεφαλαιωδῶς καὶ συνειλημμένως προστιθείς· ὡς δ' ἔνιοι, ἐνθύμημά ἐστι τοῦ προηγουμένου ἐπιχειρήματος συμπέρασμα, προσαγόμενον τῷ ζητήματι ἐν μιᾷ περιόδῳ· ὡς δὲ Ἀρποκρατίων, ἐνθύμημά ἐστι λόγος πρὸς ἀπόδειξιν λαμβανόμενος τῶν ὑποκειμένων· τινὲς δὲ οὕτως· ἐνθύμημά ἐστιν ὃ συγκατασκευάζει τὸ προκείμενον κεφάλαιον. Νεοκλῆς δὲ οὕτως ὁρίζεται· ἐνθύμημά ἐστι συνεστραμμένος λογισμὸς ἀτελὴς καθ' ἓν ἀξίωμα, οὐχ ἁπλοῦν ἢ ὅμοιον, οὐχ ἁπλῶς ἐκφερόμενον· τῶν δὲ ἐνθυμημάτων τὰ μέν ἐστιν ἁπλῶς ἐνθυμήματα, τὰ δὲ καὶ ἐπενθυμήματα, περὶ ὧν ἐν τῷ οἰκείῳ τόπῳ ἐροῦμεν. διαφέρει δὲ συλλογισμὸς διαλεκτικὸς καὶ τὸ ἐνθύμημα, ὡς Ἀλέξανδρός φησι, ταύτῃ, ὅτι ἐν μὲν τῷ διαλεκτικῷ συλλογισμῷ κ. τ. λ. Vol. V. p. 403. v. 16. — p. 404. v. 2. διαφέρει δὲ καὶ ἐπιχειρήματος τὸ ἐνθύμημα, τὸ μὲν γὰρ ἐπιχείρημα θέσις ἐστὶ νοήματος καὶ μερικὸν ζήτημα, πρὸς τὴν καθόλου καὶ γενικὴν ζήτησιν ἔχον τὴν ἀναφοράν, τὸ δὲ ἐνθύμημα τοῦ τεθέντος ἐπιχειρήματος συντακτικὴ μετὰ κατασκευῆς [6] ἐπάνοδος. Ἀλέξανδρος δέ φησιν, ὅτι τὸ ἐπιχείρημα τελεώτερον εἶναι δοκεῖ τοῦ ἐνθυμήματος, οὐ γὰρ μόνον, φησὶ, βούλεται τὰ τε λήμματα καὶ τὴν ἐπιφορὰν ἔχειν, ἀλλὰ καὶ τὴν πρότασιν, ἧς καὶ ἡ πίστις γίνεται, οἷον οὗτος κέκλοφε, φώρια γὰρ ἔχει, οὐκ ἂν γὰρ ἔχει τὰ φώρια μὴ κλέψας. ὥστε κέκλοφε· τῷ τοίνυν μεταχειρισμῷ ἀλλήλων διαφέρει· ἐὰν μὲν γὰρ μερίζῃς τὴν πίστιν εἴς τε πρότασιν καὶ λῆμμα καὶ συμπέρασμα, ἐπιχείρημα γέγονεν· ἐὰν δὲ τιθεὶς τὰ προηγούμενα μόρια συστρέψας [7] ἐπενέγκῃς τι, ἐνθυμηματικῶς ἐξοίσεις. Νεοκλῆς δὲ οὕτω φησί· τοῦ δὲ ἐνθυμήματος τὸ ἐπιχείρημα ταύτῃ διαφέρει, ἢ τὸ μὲν ἐπιχείρημα καὶ τὴν τῶν λημμάτων παραμυθίαν παρέχει· τὸ δὲ ἐνθύ-

6 Mon. συντακτικὴν μετασκευῆς. 7 Mon. οὐ στρέψας.

μημα ἐφ᾽ ὁμολογουμένοις τισὶν πρόεισιν. ὁ δὲ συλλογισμὸς, ὥς φησι Νεοκλῆς, δισσῶς ἐκφέρεται· ἢ γὰρ τὸ ζητούμενον τίθεται, ἔπειτα τὰ λήμματα καὶ τὸ ἐπισυνδέον [8] ἐπιφέρεται, οἷον ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον ἀθάνατον, ἢ πρὸ τοῦ ζητουμένου τῶν λημμάτων τιθεμένων· ἐπιφέρεται τότε τὸ ζητούμενον, οἷον ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον· τοῦτο δὲ ἀθάνατον ἡ ψυχὴ ἄρα ἀθάνατος· τὸ δὲ αὐτὸ, φησὶ, πρᾶγμα ὅταν μὲν προτιθῆται, καλεῖται πρότασις, ὅταν δὲ ἐπιφέρηται, ἐπιφορά· οὐδέποτε δὲ ἄνευ τῆς προτάσεως ἐπιφορὰ ἐπάγεται. Δημοσθένης μέντοι τοῦτο πεποίηκε, μὴ προθεὶς γὰρ πρότασιν, ὅτι καλλίων Καλλίας Θεμιστοκλέους, κοινὴν τοῖς λήμμασιν ἐπήγαγε τὴν ἐπιφοράν. τοῦτο δὲ ποιητέον, ὅταν τὴν ἐναντίαν γνώμην, οἷς ἂν μέλλῃς λέγειν, οἱ ἀκούοντες ἔχωσιν· συνέστηκε δὲ ὁ συλλογισμὸς, ὥς φησι Νεοκλῆς, ἐκ προτάσεως καὶ ἐκ [9] τοῦ καθηγουμένου τῆς προτάσεως. καὶ ἐκ τοῦ ἐπισυνδέοντος τὸ καθηγούμενον τῆς προτάσεως, οὐδενὶ τῶν λοιπῶν τῆς αὐτῆς οὔσης· τῷ γὰρ συλλογισμῷ τῷ νῦν χρώμεθα ἀντὶ τοῦ συνακτικοῦ λόγου, οὐχ ὡς οἱ Στωϊκοί, ἐπὶ τοῦ κατὰ δύναμιν τροπικοῦ προάγοντες· τῇ δὲ προτάσει, φασὶ, [10] πρόσκειται οὐδενὶ τῶν λοιπῶν τῆς αὐτῆς οὔσης. ἐπειδὴ ὁ ῥητορικὸς συλλογισμὸς οὐ συνάγει τι τῶν συλλαμβανομένων· πρότασιν μὲν γὰρ ἔχει, καθηγούμενον δὲ οὔ. ἀληθοῦς δὲ τῆς προτάσεως οὔσης, ἤτοι ὡς [11] ἐπὶ τὸ πλεῖστον ἀληθές ἐστι τὸ ζητούμενον, ἢ ἀεὶ, οἷον τὸ τὰ φώρια παρὰ τούτῳ εὑρῆσθαι· τοῦ μὲν ἐξ ἅπαντος, φησὶ, τεκμήριον λεγομένου, τοῦ δὲ ἐπὶ πλεῖστον εἰκὸς, ἐπειδὴ συνδέον ἐστὶ τὸ τὴν πρὸς ἄλλην

8 Mon. τὸ εἰ συνδέον. 9 καὶ ἐκ τοῦ καθηγουμένου — — ἐπισυνδέοντος τὸ καθ. τῆς προτ. Ven. om. 10 Ven. φημί. 11 ὡς et οἷον post ἀεὶ Ven. om. idem habet ut Mon. παρὰ τοῦτο εὑρῆσθαι.

σχέσιν τῆς προτάσεως καὶ τοῦ προκαθηγουμένου παριστῶν. οἷον· τὰ φώρια ἔχων κέκλοφας. περὶ μὲν οὖν συλλογισμῶν τοσαῦτα· τῶν δὲ ἐνθυμημάτων ὁπόσα μὲν κατὰ τῶν συνεχόντων [12] τὴν καθήγησιν μόνην πρόεισι καθολικῶς, ὥς φησι Νεοκλῆς, ἐξενεχθέντα γνῶμαι εὐθὺς γίνονται· ὁπόσα δὲ καὶ τὸ καθηγούμενον τοῦ ζητουμένου περιείληφε, πάντως περιέχει γνωμικᾶς ἐξηνέχθαι δυνάμενον· ἁπλῶς γὰρ, φησὶ, τὸ ἐπισυνδέον τὴν καθήγησιν ἐν συλλογισμῷ καθολικῶς ἐξενεχθὲν γνώμη γίνεται· καὶ ἀνάπαλιν δὲ ἀπὸ πάσης γνώμης ἐνθύμημα δύναται γενέσθαι, γνώμη δέ ἐστιν, ὥς φησιν Ἀλέξανδρος, καθολικὴ ἀπόφασις περὶ τῶν πραγμάτων οὕτως ἐχόντων, καὶ [13] οὕτως ἔχειν ὀφειλόντων. τῶν δὲ γνωμῶν ἔνιαι μὲν [14] χωρὶς ἀποδείξεως λέγονται, οἷον, εἷς οἰωνὸς ἄριστος· αἱ δὲ μετὰ ἀποδείξεως· τούτων δὲ αἱ μὲν λελῃθυῖαν ἔχουσι τὴν ἀπόδειξιν, αἱ δὲ φανεράν· λελῃθυῖαν μέν, ὡς αἱ τοιαῦται·

Ἔδει γὰρ ἡμᾶς σύλλογον [15] ποιουμένους
Τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά.
Τὸν δ' αὖ θανόντα καὶ πόνων λελασμένον [16]
Χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

τοῦ μὲν γὰρ τὸν φύντα θρηνεῖν ἀπόδειξις τὸ, εἰς ὅσ' ἔρχεται κακά· ὡσαύτως καὶ τοῦ ἐπὶ θανόντι χαίρειν τὸ πόνων λελασμένον· φανερὰν δὲ ἔχουσιν αἱ τοιαῦται τὴν ἀπόδειξιν, ἔστι μήτηρ πατρὸς φιλοτεκνοτέρα, ἡ μὲν γὰρ αὐτῆς οἶδεν ὄντα, ὁ δὲ οἴεται. Διαφέρει δὲ γνώμης ἐνθύμημα, ὡς Ἀλέξανδρός φησι· τῆς μὲν ἀναποδείκτου προδήλως διαφέρει, τῷ ἐκείνην μὲν ψιλὴν εἶναι ἀπόφασιν, τὸ δὲ ὥσπερ συλλογισμόν τινα, τῆς δὲ ἀποδεδειγμέ-

---

12 Ven. συσχόντων. sq. μόνην Mon. om. 13 Ven. ἤ. 14 ἔνιαι μὲν χωρὶς ἀποδ. — — τούτων δὲ Mon. et Par. om., recepi ex Ven. 15 Mon. συλλογισμούς. Ven. σύλλογον. Par. συλλόγους. — Eurip. Cresphont. Fr. I. 16 Ven. πεπαυμένον. infra idem λελασμένον.

νης,[17] ἢ τὰ μέρη τῶν ὅλων, ἐμπεριέχεται γὰρ τῇ γνώμῃ τὸ ἐνθύμημα,[18] μέρος δὲ ἐκεῖνο, καθὸ ἡ ἀπόφασις ἀποδέδεικται. ἔτι τῶν ἐνθυμημάτων τὰ μέν ἐστιν ἐλεγκτικὰ κ. τ. λ. Vol. V. p. 406. v. 18. — p. 410. v. 5. Σχήματα δὲ ἐνθυμημάτων τέσσαρα, ἀποδεικτικόν, ἐλεγκτικόν, συλλογιστικόν, μικτόν. ἀποδεικτικὸν μὲν οὖν ἐστι τὸ ἐξ ἀκολούθων κώλων τὴν ὑποταγὴν ἔχον, οἷον ἔχει,[19] ὅσῳ τοίνυν κρεῖττον δοκεῖν εὐήθη, ἢ πονηρὸν εἶναι, καὶ τὰ ἑξῆς· ἐλεγκτικὸν δὲ, τὸ ἐξ ἐναντίων κώλων συνιστάμενον, οἷον[19*] τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι καὶ ἑξῆς· συλλογιστικὸν δὲ τὸ ἄλλο ἐξ ἄλλων δεικνύμενον· οἷον ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην καὶ[20] ἑξῆς, μικτὸν δὲ ἤτοι ἐπιχειρηματικόν, ὃ μετὰ τὴν πρόθεσιν εὐθὺς ἅμα τῷ ἐπιχειρήματι ἐκφέρεται, οἷον τὸ τοιόνδε, ὥσπερ ἂν εἴτις ἐκείνων ἑάλω, σὺ τάδε οὐκ ἂν ἔγραψας,[21] καὶ ἑξῆς. ἀρεταὶ δὲ κ. τ. λ.[22] Vol. V. p. 410. v. 5—7.

---

17 In voce ἀποδεδειγμένης Mon. et Par. 2. paragraphum finiunt, et Schol. minus, pertinens ad verba: „σχῆμα μὲν ἔχοντα συγκριτικὸν" interjiciunt: Ὡς ἔχει αὐτὸ τὸ τοῦ τεχνικοῦ, καίτοι ἐκεῖνος μὲν διώρυσσεν ὄρος, ἡμεῖς δὲ γῆν, σχῆμα γὰρ συγκρίσεως τὸ ὄρος πρὸς γῆν. λήψῃ οὖν καὶ ἕτερα ἐνθυμήματα, εἰ βούλῃ, ἀπὸ τῶν περιστατικῶν, ἀφ' ὧν καὶ τὸ ἐπιχείρημα τυχὸν τὸ γῆν ὀρύξομαι· οἷον καίτοι ἐκεῖνος μὲν ἐν χειμῶνι, ἡμεῖς γὰρ ἐν θέρει· ὅπερ ἐστὶν ἀπὸ τοῦ χρόνου· καὶ Ξέρξης μέν, ἵνα προσθῇ τῇ ἀρχῇ, ἡμεῖς δὲ, ἵνα μὴ ἁλῶμεν. ἀπὸ αἰτίας δὲ τοῦτο· τὰ τοιαῦτα μὲν οὖν εἰσιν ἀπὸ τῶν περιστατικῶν μορίων ἐνθυμήματα, ἔχουσι δὲ σχῆμα συγκρίσεως, εἰσὶ δὲ ἐπενθυμήματα. Cum hoc scholio conjungunt: ἢ τὰ μέρη τῶν ὅλων sqq. Restitui ordinem ex Par. 1. 18 Mon. ἐπενθύμημα. 19 οἷον ἔχει Par. om. Mon. habet ἔχω. Ven. οἷον, ὅσῳ τοίνυν εὐήθη κρεῖττον δοκεῖν. 19* pro cor. pag. 267. 20 Phil. III. pag. 115. Ven. τὰ ἑξῆς. 21 Mon. οὐκ ἀνέγραψας, scripsi ἂν ἔγραψας. Ven. οὐκ ἔγραψας καὶ τὰ ἑξῆς. 22 Ven. pergit: προσθήσομεν δὲ καὶ ταύτας τῇ περὶ τοῦ ἐνθυμήματος διδασκαλίᾳ. tum transit ad ea quae in nostro

γ'. Ὥσπερ γὰρ τὸ ἐπιχείρημα κατασκευάζει ἡ ἐργασία, οὕτως καὶ τὸ ἐνθύμημα κατασκευάζει τὴν ἐργασίαν, φησίν. [23]

Cap. VIII.

Περὶ ἐπενθυμήματος.

ά. Ἰστέον ὅτι ἡ τοῦ λόγου μεταχείρισις τὸ εὑρεθὲν δεύτερον ἐνθύμημα δοκεῖν ποιεῖ καὶ [1] ἐπενθύμημα εἶναι. ἐπενθύμημα δέ ἐστιν ἐπὶ φθάνοντι ἐνθυμήματι, ἕτερον ἐπινοούμενον ἐνθύμημα· οἷον καὶ ὁ μὲν Περσῶν βασιλεὺς ἵνα πλεονεκτήσῃ, διώρυξεν, ἡμεῖς δὲ, ἵνα μὴ πλεονεκτώμεθα, ἐνθύμημα. εἶτα ἐπὶ τούτῳ καὶ ὁ μὲν ἐπειγόντων τῶν μειζόνων αὐτὸν ὅμως τοῦ πλεονεκτεῖν ἕνεκα ἐποίει τὰ χαλεπώτερα, ἡμεῖς δὲ οὐδενὸς ἄλλου καλοῦντος ἡμᾶς, ἵνα μὴ ζημιώμεθα, [2] τὸ πρᾶγμα οὐχ ὑποστησόμεθα, ἐπενθύμημα. πολλάκις δὲ ἡ φύσις τῶν πραγμάτων καὶ

---

commentario in fronte capitis sunt: ἐνθύμημά ἐστι τὸ ἐν τῷ διανοήματι ἔχον. 23 Par. 1. addit: καὶ εἰ λύσις μὲν εὐπορήσειεν· προσεπακουστέον τὸ μάλιστα, ἵνα μὴ δοκῇ ἐλλιπῶς ἔχειν τὸ χωρίον, καὶ στικτέον ἀπὸ τοῦ· καὶ ἡ λύσις, μέσας, ἄχρι τῆς εὑρούσης πάλιν, ἐκεῖσε δὲ στικτέον τελείαν. Εὑρούσης πάλιν· ἰστέον, ὅτι τινὲς κακῶς ἀναγινώσκοντες οὐκ ἐπιβάλλουσι [Par. 1. ἐκβάλ.] τῷ νοήματι καὶ φάσκουσιν, ἐλλιπῶς ἔχειν τὸ χωρίον, λείποντος τοῦ πλείων ἡ δριμύτης γίνεται· οὐχ οὕτω δὲ ἔχει, ἀλλὰ μόνον προσυπακούειν δεῖ τῷ· καὶ εἰ ἡ λύσις, τὸ μάλιστα, ἵνα νοῆται ἀπὸ κοινοῦ τὸ εἰς ἄπειρον προχωρεῖν δύνασθαι τὴν δριμύτητα. Σχῆμα συγκριτικόν· συγκριτικῶς λέγει ἐκφέρεσθαι τὰ ἐνθυμήματα τὴν ἐκ παραβολῆς ἤ τινα ἄλλην τῆς ἐργασίας μεταχείρισιν.

1 καὶ Par. om. v. 7. Mon. ἑκάτερον, scr. ἕτερον. Sch. min. Ὅρος ἐπενθυμήματος· ἐπὶ προειρημένῳ προλαβόντι· τὸ γὰρ, καίτοι ἐκεῖνος μὲν διώρυσσεν ὄρος, ἡμεῖς δὲ γῆν, ἐνθύμημα ὂν πρὸς τὴν ἐργασίαν ὁρᾷ, τὴν καὶ γὰρ βασιλεὺς διώρυξε τὸν Ἄθω. 2 Par. ζημιωθῶμεν.

τοῦ ἐπενθυμήματος ἰδίαν εὕρεσιν κατασκευάζει. καὶ ἔστιν [3] οὐ διὰ το δευτέρως ταγῆναι καλεῖσθαι ἐπενθύμημα, ἀλλὰ διὰ τὴν φύσιν τοῦ πράγματος, οἷον [4] δεινὸν τὸ ἁμαρτάνειν πιστὸν ὄντα, εἶτα ἐκ τοῦ ἐναντίου, ὅτι καὶ ὁ ἄπιστος ὀφείλει φεύγειν τὴν ἁμαρτίαν, ἐκ φύσεως τὸ καλὸν ἐπιστάμενος, τὸν δὲ πιστὸν οὐ μόνον τὰς ἁμαρτίας ἐκκλίνειν χρεὼν, ἀλλὰ καὶ διὰ τὴν ἐκ πίστεως αὐτοῦ προσγενομένην γνῶσιν πᾶσαν μετιέναι ἀρετήν. Τοῦτό ἐστιν ἀληθινὸν ἐπενθύμημα, ὥς φησιν ὁ τεχνικὸς, οἷον δεινὸν τὸ ἀδικεῖν τὴν πατρίδα· εἶτα ἐργάσαιτο, φησὶν, ἐκ τοῦ ἐναντίου· χρὴ γὰρ ἀδικεῖν πολεμίους, εἶτα τὸ ἐνθύμημα, ὅτι χαλεπώτερόν ἐστιν ὁ πολίτης ἀδικῶν τοῦ πολεμίου. ὅτι ὁ μὲν διὰ τὸ γένος συγγνώμην ἔχει· ὁ δὲ ἐπιτείνει διὰ τὸ πολίτης εἶναι τὸ μῖσος· [5] τούτῳ τῷ ἐνθυμήματι εἰ προσγένοιτο τὸ, καὶ μάλιστ' ἂν ὁ πολίτης ἀριστεὺς ᾖ ὁ ἀδικῶν, οὓς δοκεῖ πρότερον εὖ πεποιηκέναι, καὶ λοιπὸν τοῦτό ἐστι τὸ ἐκ τῆς φύσεως τοῦ αὐτοῦ πράγματος ἀληθινὸν ἐπενθύμημα μετὰ προσθήκης τινὸς δριμύτητα χαριζόμενον αὐτῷ τῷ ἐνθυμήματι, καὶ λοιπὸν

---

3 Mon. ἔστιν οὐσία οὐ διὰ etc. Sch. min. πάλιν συνάψειε· τοῦτο ἐνθύμημα ἐξ αἰτίας· τοῦτο ἐπενθύμημα ἐξ αἰτίας. τὸ δεύτερον· τὴν διάνοιαν δηλονότι. 4 Ven. qui omissa litt. ά. et β'. solam litteram γ'. continet ad calcem hujus sectionem hanc subjecit ita: Εἶτα ἐπενθύμημα θείης, χαλεπώτερός ἐστιν ὁ πολίτης ἀδικῶν τοῦ πολεμίου· ὅμοιον τοῦτο ἐνθύμημα ἐπενθυμήματι τούτῳ, δεινὸν τὸ ἁμαρτεῖν πιστὸν ὄντα· εἶτα ἐκ τοῦ ἐναντίου, ἐπεὶ καὶ ὁ ἄπταιστος ὀφείλει φείδεσθαι τῆς ἁμαρτίας, ὡς ἐκ φύσεως τὸ καλὸν ἐπιστάμενος. τὸν γὰρ πιστὸν οὐ μόνον τῆς ἁμαρτίας ἐκκλίνειν χρεὼν, ἀλλὰ καὶ διὰ τὴν ἐκ τῆς πίστεως αὐτοῖς προσγινομένην γνῶσιν πᾶσαν μετιέναι ἀρετήν, καὶ τοῦτο γὰρ ἀληθινόν ἐστιν ἐπενθύμημα. 5 Mon. τὸ μισεῖσθαι. Sch. min. Λοιπὸν τοῦτο τὸ ἐκ τῆς φύσεως τοῦ αὐτοῦ πράγματος. Σημείωσαι, ὅτι διπλῆ συγκριτικὴ ἐπίστασίς ἐστιν ἐπενθύμημα καὶ οὐδὲν ἄλλο.

οὕτω γίνεται, καὶ καλεῖται ἐν ἑνὶ καὶ τῷ αὐτῷ προβλήματι, διπλῆ συγκριτικὴ ἐπίτασις περιττοτέραν δριμύτητα χαριζομένη αὐτῷ τῷ ἐνθυμήματι.

β'. Ἰστέον δὲ, ὅτι τεθὲν κεφάλαιον πρῶτον λύεται ἀπὸ τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως. β'. εἶτα προσλαμβάνονται ἐπιχείρημα εἰς κατασκευὴν ἀπὸ τῆς περιστάσεως. γ'. εἶτα ἐργάζεται ἀπὸ τῶν ἓξ τῶν δοκούντων εἶναι ἐπιχειρημάτων, μὴ ὄντων δὲ ἐπιχειρημάτων, οἷον παραβολῆς, παραδείγματος, μικροτέρου, μείζονος, ἴσου, ἐναντίου. δ. εἶτα ἕκαστον τούτων ἐπιφέρεται ἐπενθύμημα. ε. τὰ δὲ ἐνθυμήματα εὑρίσκονται, σχῆμα μὲν ἔχοντα συγκριτικὸν, εὕρεσιν δὲ ἐν τῇ συγκρίσει ἀπὸ τῶν περιστάσεων, τόπου, χρόνου, τρόπου, προσώπου, αἰτίας, πράγματος.[6]

Cap. IX.

Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους.

ά. Σημείωσαι,[1] ὅτι οὐ τὴν αὐτὴν ἔχει κατασκευὴν τῶν ἐπιχειρημάτων τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οἵαν καὶ τὰ λοιπά. ἀλλ' ἴδιον τόπον ἐπέχει τῶν ἐπιχειρημάτων τὴν ὑποδιαίρεσιν καλουμένην, ὑποδιαίρεσις δέ ἐστιν ἡ τοῦ ἀθρόου πράγματος εἰς λεπτὸν τομή. αὕτη δὲ γίνεται ἢ κατὰ ποσότητα ἢ ποιότητα, ὅταν τὰ πολλὰ ὀλίγα ποιῶμεν, ἢ τὰ μεγάλα τῶν ἐγκλημάτων εὐτελέστερα, οἷον πατήρ τις ἀπέκτεινε τρεῖς υἱούς. ὑποδιαιροῦμεν τὸ ἀποκτεῖναι, καὶ τὸ ἰδίους υἱοὺς, καὶ τὸ τρεῖς.

β'. Οὐ[2] μάχεται τὰ νῦν τοῖς ἐν τῇ διαιρέσει τῶν

---

6 Litt. γ'. vide Vol. V. p. 410. v. 11. — p. 411. v. 13.

1 Sch. min. ἔνθεν γὰρ καὶ τὰ ἄλλα· μὴ γὰρ ὄντων τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους οὐδὲ ζήτημά ἐστιν, οὐδὲ κεφάλαιον, ἀλλὰ μόνον προγύμνασμα. 2 Mon. ὅτι οὐ. Ven. litt. ά. omissa: Οὐ

στάσεων εἰρημένοις, εἴγε μὲν γίνεσθαί φησι καὶ αὔξεσθαι τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀφ᾽ ὧνπερ καὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, ταῦτα δέ ἐστι τὰ περιστατικά· ἐνταῦθα δέ φησιν, ὡς ἑτέρως ταῦτα κατασκευάζεσθαι οὐκ ἀπὸ τῶν περιστατικῶν, ἀλλὰ κακεῖ καλῶς τὴν γένεσιν ἡμῖν τούτων ὑπέφηνε· κἀνταῦθα τὴν ἰσχὺν αὐτῶν καὶ ὅπως γενόμενα δεῖ κρατύνειν αὐτὰ ἀκριβῶς ὑπέδειξε· πολὺ δὲ τὸ διάφορον ἔχει γένεσις πράγματος.

Ἡ καὶ πρὸς [3] τὸ ἔπειτα τούτου συντήρησις καὶ πρὸς τὸν οἰκεῖον σκοπὸν ἄφιξις· τὸ μὲν γὰρ ἁπλῶς, τὸ δὲ πρός τι· καὶ τὸ μὲν σχεδὸν παντός, τὸ δὲ οὐ παντός· αὔξεται μὲν οὖν ταῦτα τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἀπὸ [4] τῶν περιστατικῶν. ἰσχύει δὲ τῇ ὑποδιαιρέσει, οἷον ἐπὶ τοῦ ὑποδείγματος, ἐπὶ τοῦ τοὺς τρεῖς υἱοὺς ἀποκτείναντος κατὰ τὸν τῶν ἀκρίτων νόμον, καὶ ἀξιοῦντος δημοσίᾳ τρέφεσθαι· ὁ γὰρ [5] τρεῖς υἱοὺς ἀποκτείνας μηδεμίαν λαβὼν τούτων φειδὼ πρόδηλος μισότεκνος καὶ φονεύς, καὶ κατὰ τοῦτο ἀνάξιος δημοσίας σιτήσεως· εἶτα τὸ τρίτον ὑποδιαιρήσεις κατ᾽ αὐτὴν τοῦ τεχνικοῦ τὴν εἰσήγησιν· εἶτα τὸ υἱεῖς καὶ ἔτι τὸ ἀπέκτεινας· καὶ οὕτως τὸ ἰσχυρὸν αὐτοῖς περιποιήσῃ.

γ΄. Ἔστι [6] δὲ ὑποδιαίρεσις ἡ τοῦ ἀθρόου πράγματος εἰς λεπτὰ τομή, οἷον τρεῖς τις ἀπέκτεινεν υἱεῖς κατὰ τὸν

γὰρ ἡ περίστασις κατασκευάζει τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. οὐ μάχεται τὰ νῦν τοῖς ἐντὸς διαιρέτων στάσεων, εἴγε ἐκεῖ μὲν γίνεσθαι καὶ αὔξεσθαι. (Mon. ἄρξασθαι. Par. αὔξεσθαι.) 3 ἡ καὶ πρὸς τὸ ἔπειτα sqq. usque ad litt. γ΄. Par. om. 4 Ven. παρά. 5 Mon. ὅπου γὰρ τρεῖς υἱοὺς μὴ μύαν λαβὼ τούτων φειδών. Ven. ὅπου γὰρ τρεῖς υἱοὺς ἀπέκτεινας, μηδ. τούτων λαβὼν φειδὼ πρόδηλος εἶ μισ. κ. φ. καὶ διὰ τοῦτο ἀνάξιος εἶ δημ. 6 Ven. in brevius contraxit litteram γ΄. Εἰ γὰρ μηδὲν προσήκοντας ἀπέκτεινε καὶ τὰ ἑξῆς, κατὰ τὸ τοῦ ἀντιθέτου σχῆμα τοῦτο προάγεται· ἄλλος μὲν ἂν τὰς δικαίας ἂν ὑπόσχοι τιμωρίας· τοῦτο δὲ περιοδικῶς συνάγεται.

τῶν [7] ἀκρίτων νόμον, ὑποδιαιρεῖται δὲ [8] ἕκαστον αὐτῶν, ἤτοι τὸ τρεῖς, καὶ τὸ υἱεῖς, καὶ τὸ ἀπέκτεινεν· ὅτι δύνανται ληφθῆναι ταῦτα καὶ ἀποταθῆναι, ὡς πνεῦμα κατὰ τοῦ ἀντιθέτου σχῆμα· ἀντίθετον δὲ σχῆμά ἐστιν, ὅταν ἀντικείμενα ᾖ ἀλλήλοις τὰ νοήματα, οἷον εἰ γὰρ μὴ προσήκοντας, τὸ ὂν ὡς μὴ ὄν, εἰ γὰρ ἀλλοτρίους, τὸ μὴ ὂν ὡς ὄν, εἰ γὰρ οἰκείους, εἰ γὰρ ξένους, οὐκ ἂν ἠγανάκτησα, καὶ τότε οὐκ ἂν ἐδυσχέρανα, οὐκ ἂν ἀπήτησα τιμωρίαν, νῦν δὲ φιλτάτους, οὓς ἐγέννησας, οὓς ἔθρεψας, ὑπὲρ ὧν ἔδει μάχεσθαι, ὑπὲρ ὧν ἔδει δεδιέναι, μήτις αὐτοὺς ἄλλος ἀποκτείνῃ, φθάσας τοῦτο ἐποίησας, ἆρα τὸ τοιοῦτον ἄγος καταδεξαίμην, οὐκ ἔστιν εἰπεῖν.

δ. Πῶς [9] ὁρισθεῖσα οἷον καὶ ὁ ἕνα ἀποκτείνας φονεύς ἐστιν. προάγει δὲ αὐτὸ τῷ κατ' ἐρώτησιν σχήματι, ὡς ἐλεγκτικῷ ὄντι καὶ χρησίμῳ τῷ καιρῷ.

ε. Ἡ ὑποδιαίρεσις αὕτη τριχῶς ἢ ἀπὸ τοῦ πράγματος· οἷον εἰ γὰρ ἑτέρου τινὸς ἦρα, καὶ οὕτως ἐπὶ σὲ ἂν ἦγον τὴν αἰτίαν· ἢ ἀπὸ τῶν ὁμοίων· εἰ [10] γὰρ μὴ ἦρα,

---

7 τῶν Mon. om. 8 δὲ Mon, om, Sch. min. Εὑρισκομένη πολλή· γινομένη τῇ διαιρέσει πολλή. Ὁρίσας ἑαυτῷ· ἀντὶ τοῦ ἑαυτοῦ μόνου ποιήσας· γίνεται γάρ ποτε καὶ τοῦ φεύγοντος. Ὁλοσχερῶς· παχυμερῶς καὶ τελείως. ἀντὶ τοῦ πάντα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἑαυτοῦ παῖδα· ἐκληρονόμει γὰρ αὐτοῦ τελευτῶντος ὁ δημόσιος. Νοεῖται μὲν οὕτως· οὕτως εἴπομεν, ὅσον εἰς διδασκαλίας ὑφήγησιν βέλτιον οὕτω νοεῖται κατὰ κῶλον τιθέμενα. Ἀπὸ τοῦ λόγου· τοῦ πλατῦναι αὐτά. Πνεῦμά ἐστιν ἡ ἐπιμονὴ τῆς διανοίας. περὶ πνεύματος ζήτει τὸ τέταρτον κεφάλαιον τοῦ τετάρτου τόμου τούτου τοῦ βιβλίου. Περὶ ἀντιθέτου ζήτει τὸ τέταρτον κεφάλαιον τοῦ τετάρτου τόμου τούτου τοῦ βιβλίου. Περὶ περιόδου ζήτει τὸ τρίτον κεφάλαιον τούτου τοῦ βιβλίου, ἐν ᾧ καὶ περὶ κώλων καὶ σχοινοτενῶν καὶ κομμάτων διαλέγεται. Μηδὲν προσήκοντας· κατὰ τοῦ ἀντιθέτου σχῆμα τοῦτο προάγεται, ὥς φησιν ὁ τεχνικός. Φθάσας· προειληφὼς ἄλλους εἰς τὸν φόνον. 9 Ven. praemittit: Ἑκάστη ὑποδιαίρεσις ὁρισθεῖσα. 10 Mon. ἢ, scr. εἰ,

ἀλλ' ἐνόσει νόσον ἄλλην τοῦ σώματος, [10] οὐκ ἂν καὶ τότε σε ἔκρινα· ἢ ἀπὸ τοῦ μείζονος· εἰ δὲ καὶ ἐμάνη, ἆρα οὐκ ἐπὶ σὲ ἤρχετο ἡ αἰτία· τοῦτο δὲ τὸ παράδειγμα οὐκ ἔστι πάνυ ἁρμόδιον, ἀλλὰ ἐκείνῳ συμβαίνει ὃ ἀξιούμεθα παρέχειν ἐπὶ μισθῷ, ἢ τοῦτο· εἰ γὰρ ἐτεθνήκει, οὐκ ἂν ἐπὶ σὲ ἦγαγον τὴν αἰτίαν, παράδειγμα δὲ τὸ ἐπιδεχόμενον τὴν ἐξ ὑποδιαιρέσεως εἰς λεπτὸν τομὴν τοῦ ἀθρόου, τοὺς τρεῖς τόπους, ἀπό τε τοῦ αὐτοῦ πράγματος καὶ ὁμοίου καὶ τοῦ μείζονος, οἷον Φίλιππος πέπομφεν ἑκατὸν τάλαντα βουλόμενος πρίασθαι τὸν Δημοσθένην· ἀπὸ τοῦ πράγματος, οὐδὲ πρὸς τὸ πολιτεύεσθαι σὺν τῷ Φιλίππῳ δέδωκα [11] ἂν ἑκατὸν ταλάντοις τὸν Δημοσθένην· ἐκ τῶν μικροτέρων ὑποδιαίρεσις, μήτι γε πεπραγμένον, ἐκ τοῦ μικροτέρου, ἐκ τοῦ ὁμοίου· ἀλλ' ἄλλον τινὰ τῶν Ἀθηναίων καὶ τὸν τυχόντα δέδωκα ἄν, μήτι γε τὸν Δημοσθένην· ἐκ τοῦ μείζονος, οὐδ' εἰ μυρία τάλαντα διδοίη, οὐδ' ἂν πόλεις, οὐδ' ἂν ἔθνη, ἀντὶ Δημοσθένους λήψομαι.

ς'. Ὑπομερισμὸς [13] καὶ ὑποδιαίρεσις ταὐτόν ἐστιν, ὡς δῆλον ἀφ' ὧν ἐν τῷ περὶ διασκευῆς λόγῳ φησὶν, ὅτι καὶ πᾶς ὑπομερισμὸς τὰ αὐτὰ λέγει τῇ διασκευῇ καὶ ἐπάγει· δεῖ γὰρ ἐκ τῆς ὑποδιαιρέσεως εἰς τὸ πρᾶγμα αὐτὸ ἐπανελθεῖν, τουτέστι τὴν διατύπωσιν, ἤτοι τὸ διατυπούμενον· γίνεται δὲ ἡ ὑποδιαίρεσις, ἤτοι ὁ ὑπομερισμὸς ἢ ἀπὸ τοῦ μικροτέρου, ἢ ἀπὸ τοῦ ὁμοίου, ἢ ἀπὸ τοῦ μείζονος.

10* Par. 1. τῷ σώματι. Sch. m. εἰς ἄλλους· ἔρωτας δηλονότι. 11 Mon. δέδοικα. 12 Mon. πεπραγμένον. Sch. min. ποικιλλε δὲ τοῖς σχήμασι· τοῦτο περιοδικῶς συνάγεται. Οὐκ ἂν εἶπον· προσωποποιΐα ἐστὶ τὸ εἰσάγειν τὸ ἑαυτοῦ πρόσωπον· οἷον εἶπον ἄν. Διδάσκει τὸν ἀκροατὴν, τίνος χάριν ὑπαλλάττει τὰ σχήματα, οἷον διὰ τὸ ποικίλλειν. 13 Ven. Γίνεται δὲ ὑποδιαίρεσις· πᾶς ὑπομερ. Litt. é non est in cod.

ζ. Ἰστέον, ὅτι τῶν ὁμοίων καὶ τῶν ἰδίων αἱ λεπταὶ ὑποδιαιρέσεις δύνανται ἀναδέξασθαι τὰς προσωποποιΐας ἀναγκαίας οὔσας, καὶ εἰ θέλεις καὶ περιόδους, καὶ παντὶ τρόπῳ δύνασαι μηκύνειν· ἄλλασσε οὖν τὰ σχήματα, ἵνα μὴ προσκορὲς ᾖ τὸ ἐξ ὑποδιαιρέσεως, οἷον εἰ γὰρ οὐχ υἱὸν ἀπέκτεινας, ἀλλά τινα τῶν μὴ προσηκόντων, οὐκ ἔδει σε δοῦναι τιμωρίαν, ποτὲ δὲ οὕτως· ἄλλος μὲν ἂν καὶ ἐπ' ἐκείνῳ τιμωρίαν ἀπῄτησε, καίτοι μικρότερον ἦν τὸ ξένον, ἢ ἴδιον υἱὸν ἀποκτεῖναι, καλλίων δὲ μεταχείρισις αὕτη· ἄλλος μὲν ἂν καὶ διὰ τοῦτο ἐμίσησεν, εἰ καὶ τούτου μετριώτερον ἐποίησας, ἵνα ποτὲ μὲν ἀπὸ τοῦ πράγματος ἀρχόμενοι εἰς τὴν ἀξίωσιν ἐρχώμεθα, ποτὲ δὲ ἀπὸ τῆς ἀξιώσεως ἀρχόμενοι εἰς τὸ πρᾶγμα ἐρχώμεθα. οἷον ἀπὸ τοῦ πράγματος ἐπὶ τὴν ἀξίωσιν· λαβὼν ἑκατὸν τάλαντα πρᾶσόν μοι τὸν Δημοσθένην, ἀπὸ τοῦ μικροτέρου ὑποδιαίρεσις. πάλιν ἀπὸ τοῦ πράγματος ἐπὶ τὴν ἀξίωσιν· οὐδ' ἄλλον τινὰ τῶν τυχόντων ἔδωκα ἄν, μήτι γε Δημοσθένην· τὸ δ' ἄλλον τινὰ τῶν τυχόντων ἐστὶ τὸ πρᾶγμα· οὐδὲ μυρία τάλαντα ἢ πόλεις λήψομαι ἀντὶ Δημοσθένους· ἀνέστρεψε γὰρ τὸ διδοίη εἰς τὸ λήψομαι, καὶ τὸ Δημοσθένους ὑπὲρ[14] Δημοσθένους· καὶ γὰρ τὸ λήψομαι καὶ τὸ ὑπὲρ Δημοσθένους ἀξίωσίς ἐστι καὶ τοῦτο· Φιλίππου λέγοντος δίδωμι, ἀναστρέφων λέγει οὐ λήψομαι, καὶ γίνεται οὕτως ἐναλλαγὴ τοῦ σχήματος, καὶ πρὸς τὸ λήψομαι καὶ τὰ λοιπὰ ἀκολουθοῦσι παραλλασσόμενα.

ἡ. Ἐπειδήπερ προσκορῆ τὸν λόγον γίνεσθαι ὁ τεχνικὸς ἐπίσταται διὰ τὸ ἀπαράλλακτον τοῦ σχήματος, τῆς παραλλαγῆς λόγον ποιούμενός φησιν· ἐπειδὴ τῇ προσωποποιΐᾳ χρώμενος μακρὸν ἀποτενεῖς[15] λόγον, ἄλλαξον τὸ σχῆμα· τοῦτο δὲ ποιήσεις ἀφαιρῶν τὸ γνώρισμα τῆς προσωποποιΐας, καὶ χρώμενος τῇ προσωποποιΐᾳ, ὡς ἂν

14 Mon. ὑπό. 15 Par. ἀποτελεῖς.

δοκῆς κεχρῆσθαι αὐτῇ· ὅτι δι' αὐτῆς ἐκφέρεις τὸν λόγον καὶ πάλιν δόξῃς μὴ χρῆσθαι αὐτῇ διὰ τὸ ἀναιρεῖν τὸ χαρακτηρίζον αὐτήν· τοῦτο δέ ἐστι, φησὶν, ἐὰν μὴ λέγῃς· εἶπον ἄν· καὶ ἐδεινοποίησε μὲν [16] ὁ ῥήτωρ ἐνταῦθα τὸν λόγον, ὥσπερ τι αἴνιγμα λέγων οὐκ αὐτὸ ἡμῖν τὸ πρᾶγμα ὑποφαίνων διὰ τὸ φάναι· εἰ γὰρ μὴ λέγοις, εἶπον ἄν, ὅτι ἐν τοῖς πρὸ τούτου ἔφη οὕτως· δύναται δὲ καὶ ἑκάστη ὑποδιαίρεσις ὁρισθεῖσα καὶ χώραν προσωποποιΐας ἀναδέξασθαι· ποίκιλλε δὲ τοῖς σχήμασιν, οἷον εἰ γὰρ ἕνα ἀπέκτεινας, οὐκ ἂν εἶπον καὶ τότε, ὅτι φόνος ἀσεβής [17] σοι τετόλμηται· εἰ τοίνυν μηκύνεις τὸν λόγον, μηκέτι τὸ εἶπον ἂν χρῶ· καὶ τότε ἄλλο τι πρότερον φανεῖται ὁ λόγος καὶ οὐχὶ προσωποποιΐα· οἷον οὕτως· εἰ γὰρ ἕνα υἱὸν ἀπέκτεινας, οὐκ ἂν εἶπον καὶ τότε, ὅτι φόνος ἀσεβὴς σοι τετόλμηται, ἀλλὰ καὶ εἰ ἀπεκήρυξας, οὐκ ἂν ἐφάνης πατὴρ μισότεκνος, ἵνα μὴ δευτερωθῇ τὸ εἶπον, καὶ τῇ ταυτότητι τῆς προφορᾶς προσκορὴς ὁ λόγος γένηται, καὶ ἀλλοιοῦται τῆς προσωποποιΐας νενοθευμένης τὸ τοῦ λόγου σχηματιζομένου· οὕτως ἡμῖν τοῦτο τὸ χωρίον ἔγνωσται· εἰ δέ τι κρεῖσσον ὑφ' ἑτέρου νοηθείη, μεταμαθεῖν ἀπευχόμεθα.

Ἄλλως· [18] ἄλλος μὲν οὖν ἐμίσησεν ἂν καὶ διὰ τόδε· ἡ ἀντιστροφή· καὶ διὰ τόδε ἂν ἐμίσησέ τις ἄλλος· καὶ πάλιν, οὐδὲ ἄλλον τινὰ τῶν τυχόντων [19] ἔδωκα ἂν, μήτιγε Δημοσθένη· ἡ ἀντιστροφὴ, καὶ Δημοσθένην ἔδωκα ἄν, οὐδὲ [20] τῶν τυχόντων τινὰ ἄλλον, καὶ πάλιν οὐδ' εἰ μυρία τάλαντα οὐδὲ πόλεις οὐδ' ἂν ἔθνη ἀντὶ Δημοσθένους λήψομαι· ἡ ἀντιστροφὴ, οὐ λήψομαι ἀντὶ Δη-

16 Mon. δὲ μέν. 17 Mon. ἀσεβήσσετε. 18 Ven. habet haec post litt. ιά. 19 Ven. ἐπιτυχόντων. 20 οὐδὲ τῶν τυχόντων τινὰ ἄλλον, καὶ πάλιν οὐδ' εἰ μ. τάλαντα Mon. om. Ven. ἡ ἀντιστροφή· Δημοσθένην ἔδωκα ἄν. [ἄν Par. 1. om.] emendavi ex Parr.

μοσθένους ἔθνη καὶ πόλεις, οὐδὲ μυρία τάλαντα. Ἰστέον δὲ, ὅτι ἀπὸ τοῦ πράγματος ἀρχόμενοι εἰς τὴν ἀξίωσιν καταβαίνομεν οὕτως· εἰ γὰρ τόδε ἐποίησας, οὐκ ἔδει σε δοῦναι τιμωρίαν· ἀπὸ τῆς ἀξιώσεως εἰς τὸ πρᾶγμα οὕτως· ἄλλος μὲν οὖν ἐμίσησεν ἄν σε [21] διὰ τόδε ἢ εἰ καί τι τούτου μετριώτερον ἐποίησας.

ι. Καλλίονα μεταχείρισιν λέγει ὁ τεχνικὸς τὴν ἀναστροφὴν τὴν ἀνάλογον [22] τῇ παρὰ τοῖς φιλοσόφοις ἀντιστροφῇ· ὥσπερ γὰρ ἀντιστροφὴν ἐκεῖνοι λέγουσι τὸ ποιεῖν τὸ ὑποκείμενον κατηγορούμενον καὶ τὸ κατηγορούμενον ὑποκείμενον, οἷον ὁ ἄνθρωπος ζῶον, καὶ ζῶον ὁ ἄνθρωπος· εὐχερέστερον δὲ τὸ ἐπὶ τῶν ἰδίων διὰ τὸ ἀντιστρέφειν, οἷον τὸ γελαστικὸν ἄνθρωπός ἐστι καὶ ἄνθρωπος γελαστικὸν, τὸν αὐτὸν τρόπον καὶ ὁ Ἑρμογένης ἀναστροφὴν λέγει, ὅταν ἀπὸ τοῦ πράγματος ἀρξάμενοι καὶ εἰς τὴν ἀξίωσιν ἐλθόντες, ἀπὸ τῆς ἀξιώσεως ἀρξάμενοι εἰς τὸ πρᾶγμα καταβῶμεν· οἷον εἰ γὰρ τόδε ἐποίησας, οὐ δεῖ σε δοῦναι τιμωρίαν, ἀντίστρεψον· τιμωρίαν γὰρ δοῦναι σε οὐκ ἔδει, εἰ ἐποίησας τόδε, ἄλλο ἐπιχείρησον· ἐγὼ μὲν γὰρ καὶ ἐπ' ἐκείνῳ σε τιμωρίαν ἀπήτησα ἄν, καίτοι μικρότερον ἦν καὶ μετριώτερον ἦν, ἀναστροφή· εἰ γὰρ καὶ μετριώτερον ἦν καὶ μικρότερον ἦν, ἀπήτησα ἄν τιμωρίαν καὶ ἐπ' ἐκείνῳ· ἄλλο ἐπιχείρημα· ἄλλος μὲν οὖν ἐμίσησε καὶ διὰ τόδε· ἀναστροφὴ, καὶ διὰ τόδε ἐμίσησέ τις ἄλλος· ἄλλο [23] ἐπιχείρημα, οὐδὲ ἄλλον τινὰ τῶν ἐπιτυχόντων ἔδωκα ἄν, μήτι γε Δημοσθένην· [24]

---

21 Mon. καὶ διά. Ven. καὶ om. 22 τὴν ἀνάλογον — ἀντιστροφὴν Mon. om. Sch. min. προσκορές· κόρου αἴτιον. Τόδε ἐποίησας· κατὰ ἐπαπόρησιν. Δοῦναι τιμωρίαν· τοῦτό ἐστι τὸ λεῖπον τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἄλλος μὲν οὖν τις· ἄλλο σχῆμα ἢ πρόσωπον. Σημείωσαι, πότε ἀπὸ τοῦ πράγματος ἀρξόμεθα, καὶ πότε ἀπὸ τῆς ἀξιώσεως. Ἐλλιπῶς τὸ ἔδει σε δοῦναι δίκην, ὃ δεῖ προτετάχθαι ἐπὶ τοῦδε. 23 ἄλλο Mon. om. 24

ἀναστροφὴ, Δημοσθένην ἔδωκα ἄν, οὐδὲ τῶν ἐπιτυχόντων τινὰ ἄλλον· ἄλλο ἐπιλέγει, οὐδ' εἰ μυρία τάλαντα, οὐδ' ἂν πόλεις οὐδ' ἂν ἔθνη ἀντὶ Δημοσθένους λήψομαι· ἀνάπαλιν, οὐ λήψομαι ἀντὶ Δημοσθένους ἔθνη καὶ πόλεις, οὐδὲ μυρία τάλαντα· τὴν πολλὴν [25] ἀκρίβειαν ἐν τῇ ἀναστροφῇ φυλάξαντες οὐκ ἐφροντίσαμεν τοῦ κάλλους τοῦ λόγου, ἀλλὰ τοῦτο μόνον δεῖξαι τί ἐστιν ἀληθινωτάτη ἀναστροφή· ὁ γὰρ τοῦτο εἰδὼς περὶ τὸ κάλλος τοῦ λόγου κύριος ἔσται ποικίλλων ὡς ἂν ἐθέλοι· οὐδὲ γὰρ χρεωστεῖ πάσας ἐναντίας θεῖναι τὰς λέξεις, ἀλλά τινας διὰ τὸ παραλλάσσον τὸν λόγον καὶ τῷ ποικίλῳ [26] ἐκφεύγειν τὸ προσκορές· ἐπεὶ τυχὸν ἔχοντος τοῦ κώλου ἢ τῆς περιόδου ἢ τοῦ πνεύματος λέξεις δέκα, εἰ καὶ ὀλίγα εἴπωμεν, οὐκ ἀνάγκη αὐτὸν θεῖναι τὴν δεκάτην καὶ τὴν ἐνάτην δευτέραν, καὶ τὴν ὀγδόην τρίτην, καὶ τὴν ἑβδόμην τετάρτην, καὶ τὴν ἕκτην πέμπτην [27] καὶ τὰ ἑξῆς ὁμοίως· ἀλλ' ὡς ἂν συντελῇ καὶ ὁ λόγος καλλωπίζεται ἐκφεύγων τὴν ὁμοιότητα, γένοιτο ἡ ἀναστροφὴ, καὶ γὰρ οὐδ' αὐτὸς ὁ Ἑρμογένης ταύτην ἐφύλαξε τὴν ἀκρίβειαν ἐν τῷ παραδείγματι· ὅθεν καὶ μόλις τις συνήσοι, τίνα λέγει ἀναστροφήν· εἰ γὰρ ἐφύλαξε τὴν ἀκρίβειαν, εὐχερὲς ἦν τὸ παρ' αὐτοῦ λεγόμενον, ἀλλὰ τὸ μὲν ἀνέστρεψε, τὸ δὲ μετήλλαξεν, οἷον ἐγὼ μὲν γὰρ καὶ ἐπ' ἐκείνῳ σε τιμωρίαν ἀπήτησα ἄν, καίτοι μικρὸν [28] ἦν καὶ μετριώτερον,

---

Mon. ἔδωκα ἄν Δημοσθένης. ἀνάστασις. 25 Par. τὴν ἀκρίβειαν τὴν πολλήν. 26 Par. et Mon. ποικίλλῳ. 27 καὶ τὴν ἕκτην πέμπτην Mon. om. 28 καίτοι μικρὸν ἦν — — — — ἀπήτησα ἄν Mon. om. Ven. omissis litt. ζ. — i. ita: Ἀλλ' ἀναστρέφων τὴν μωρίαν, οἷον εἰ δέ τι τούτων μετριώτερον ἐποίησας, οἷον ἵν' οὕτως ἀναστρέφηται. Sch. min. Εἰ γὰρ τόδε ἐποίησας· κατὰ ἐπαπόρησιν. Ἔκρινόν σε· παρήσεις τὴν σε ἀντωνυμίαν. Ὁ συνθάψας· ἕνεκα τῶν δύο κρίνει αὐτὸν τοῦ τε συνθάψαι τῷ τιθνεῶτι τὴν ἑαυτοῦ χλαμύδα, καὶ τοῦ μὴ ἀνακομίσαι τὸ σῶμα ἐκεί-

ρον, εἰ καί τι τούτου μετριώτερον ἐποίησας, καὶ ἐπ' ἐκείνῳ σε τιμωρίαν ἀπήτησα ἄν.

ιά. Οἷον ἵν' οὕτως ἀναστρέφηται, ὡς ἐπὶ τῶν διαλεκτικῶν ὁ ὑποκείμενος γίνεται κ. τ. λ. T.V. p. 412. v. 9—15.

ιβ. Ἤγουν τὸ [29] εἰ παρεκαθέζου· τὸ δὲ ἔδωκας ἀντὶ τοῦ συνεχώρησας· ἐὰν γὰρ συγχωρήσας ἀνέλῃς, ὃ ἔδωκας, οἷον τὴν ὑποδιαίρεσιν καὶ πάλιν ἀνελὼν ἐπιφέρῃς, πολυπλασιάζεις τοῦ λόγου τὴν δριμύτητα· οἷον εἰ μὴ ἀπέκτεινας τὸν υἱὸν ἀλλὰ ἀπεκήρυξας, συμπαθείας ἐκρίθης ἄξιος· ἐπεὶ δὲ ἀπέκτεινας οὐ συγχωρηθήσῃ· καίτοι οὐδὲ τὸ ἀποκηρῦξαι συγκεχώρηται· ὅπερ γὰρ ἀνείλομεν, πάλιν ἐπηνέγκαμεν· καὶ γέγονεν ὁ λόγος δριμύτερος. [30]

ιγ'. Ἴσθι [31] ὅτι ἐὰν συγχωρήσας ἀνέλῃς ὑποδιαίρεσιν, καὶ πάλιν ἀνελὼν ἐπιφέρῃς, πολυπλασιάζεις τοῦ λόγου τὴν δριμύτητα· οἷον εἰ μὴ ἀπέκτεινας τὸν υἱὸν ἀλλ' ἀπεκήρυξας, συμπαθείας ἂν ἐκρίθης ἄξιος· ἐπεὶ δὲ ἀπέκτεινας, οὐ συγχωρηθήσῃ, καί τοι οὐδὲ ἀποκηρῦξαι συγκεχώρηται. ὅπερ γὰρ ἀνείλομεν, πάλιν ἐπηνέγκαμεν, καὶ γέγονεν ὁ λόγος δριμύτερος, ἵνα δὲ μὴ προσκορὴς εἶναι δοκῇς διὰ τῆς προσωποποιΐας πληρῶν λόγους, θαυμαστὸς

νου ἐντειλαμένου. Καίτοι οὐδὲ τότε· οἷον· εἰ καὶ τῷ τάφῳ παρεκαθέζου, τί πρὸς ἐμέ· οὐ γὰρ προσήκων αἰτοῦ ἐτύγχανες, ἐγὼ ὤφειλον παρακαθέζεσθαι. Κάτω ζήτει τὸ περὶ ἀναστροφῆς ἀκριβῶς μετὰ τὴν διαίρεσιν κείμενον. ib. τὸ γὰρ ἐπὶ μικροῖς κρίνειν τινὰ, ἃ πάσης εἰσὶ συγγνώμης ἄξια, μωρὸν, ὅ ἐστιν ἀνόητον. 29 Praecedit in Par. Εἰ δύνασαι, φησὶ, μὴ στῇς εἰς τὸ ἐφρόντισα μόνον, καὶ παρήσεις τὸ ἔκρινόν σε, ἀλλὰ βιαστικώτερον καὶ ἐνστατικώτερον ἀγώνισαι, ὅτι εἰ καὶ μὴ ταῦτα ἐποίησας, ἀλλ' ἐκεῖνα, ἔδωκας ἂν τιμωρίαν. 30 Quae sequuntur in Par. vide Vol. V. p. 412. v. 16 — 21. 31 Ven. litt. ιβ'. omissa. Βίασαι ἀναιρεῖν ὃ ἔδωκας, ἀντὶ τοῦ συνεχώρησας· εἰ γὰρ συγχωρήσας ἀνέλῃς ὃ ἔδωκας, οἷον τὴν ὑποδιαίρεσιν, καὶ πάλιν. Idem post verba: ὁ λόγος δριμύτερος transit ad litt. ιδ'. Εἰ μὲν τόδε ἐποίησας, συγγνώμης ἄξιος· ἀποτεινομένου γάρ.

φανήσῃ ῥήτωρ, τὸ γνώρισμα αὐτῆς ἀφαιρῶν [32] καὶ χρώμενος αὐτῇ· εἰ γὰρ μὴ λέγοις, εἶπον ἄν, ἄλλο τι φαίνεται πρότερον.

ιδ'. Ἀποτεινομένου γὰρ [33] τοῦ λόγου οὐ δεῖ καθ' ἕκαστον τιθέναι τὸ εἶπον ἄν· ὥσπερ ἐπὶ τούτου· εἰ γὰρ ἕνα υἱὸν ἀπέκτεινεν, οὐκ εἶπον ἂν καὶ τότε, ὅτι φόνος ἀσεβής σοι τετόλμηται· ἀλλ' εἰ καὶ ἀπεκήρυξας, οὐκ ἂν ἐφάνης πατὴρ μισότεκνος· ἀφείλου γὰρ τὸ γνώρισμα τῆς προσωποποιΐας μὴ δευτερώσας αὐτό· οἷον τόδε, εἶπον ἄν.

ιέ. Ἡ προσωποποιΐα [34] ταύτῃ διαφέρει τοῦ πλαστοῦ, καθὸ ἡ μὲν προσωποποιΐα διὰ τῆς ὑποδιαιρέσεως πρόεισι καὶ τοῦ ἀντιθετικοῦ καλουμένου σχήματος, τὸ δὲ πλα-

---

32 Sch. min. οἷον ἵνα μὴ τὴν προσωποποιΐαν ἐπισημήνῃ, σὺ ὡς ποιεῖς προσωποποιΐαν. Εἶπον ἄν· τὸ εἶπον ἂν ἔφη διὰ τὸ παράδειγμα τοῦ ἀποκτείναντος τοὺς τρεῖς υἱούς, ὅπερ φθάσας ἐξέθετο· ἐκεῖσε γὰρ οὕτως ἔφη, εἰ γὰρ ἕνα ἀπέκτεινας, οὐκ ἂν εἶπον καὶ τότε, ὅτι φόνος ἀσεβής σοι τετόλμηται· ἐπεὶ οὖν ὁ τοιοῦτος λόγος δηλωτικός ἐστι τῆς προσωποποιΐας, ἀπαγορεύει τὸ κεχρῆσθαι αὐτῷ. Πλαστὸν ἐπιχείρημά ἐστι τὸ μὴ γεγονὸς ὡς γεγονός. Λήπουθεν εὑρέσεως· δηλονότι τοῦ πλαστοῦ. Πᾶσι τοῖς ἀπ' ἀρχῆς· οὐ γὰρ ὑποδιαιρεῖται, ἀλλ' ἀθρόον ὅλον πλάττεται, ὡς ἔχει καὶ τὰ ἐπαγόμενα παραδείγματα. 33 γὰρ Mon. om. Ven. ad finem huius litterae addit: Τὸ γνώρισμα αὐτῆς ἀφαιρῶν, οἷον τὴν προσωποποιΐαν· ἐπισημαίνῃ σὺ, ὡς ποιεῖς προσωποποιΐαν. 34 Par. addit: Φανερὰν ὁ τεχνικὸς τὴν διαφορὰν τοῦ πλαστοῦ ἐποιήσατο πρὸς τὰς ἐξ ὑποδιαιρέσεως ἐργασίας τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ γὰρ κἀκεῖνα πλάττονται, καὶ κατὰ τοῦτο πλαστά εἰσι τῷ φάναι, ἐπιφερόμενον πᾶσι τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· ἂν μὲν γὰρ διέλῃς αὐτὰ, καὶ πλάσῃ καὶ ἐρεῖς· εἰ δὲ ἕνα ἀπέκτεινας, εἰ δὲ μὴ υἱὸν, πλάττεις μέν, οὐ μὲν πλαστὸν ποιεῖς, ἀλλ' ἐργασίαν κατὰ διαίρεσιν, εἰ δὲ ἀδιαιρέτως, ἀθρόα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀπολαβὼν πλάσῃ, πλαστὸν ποιεῖς, οἷον εἰ δὲ πρὶν ἢ ποιῆσαι τὸ ἀγαθὸν ᾔτουν δωρεὰν, οὐκ ἄν ἔδοτε· τοῦτο γὰρ ἀθρόα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οὐ μέρος αὐτῶν. Ἐφιλοτιμησάμεθα· ἀντὶ

στὸν ἀπὸ τοῦ ἐναντίου ἢ τοῦ γεγονότος· ὅθεν [35] καὶ πλάττεσθαι μὲν λέγεται ἡ προσωποποιΐα ἤτοι πλαττόμενον, πλαστὸν δὲ τὸ ἀπὸ τοῦ ἐναντίου ἢ τοῦ γεγονότος λαμβανόμενον, ὃ καὶ κυρίως πλαστόν· πλαστὸν δέ ἐστι τὸ μὴ γεγονὸς ὡς γεγονός.

ις'. Ἀθρόαν εἰσβολὴν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους κατὰ τὸν οἰκεῖον εὑρήσομεν τοῦ κεφαλαίου τόπον, τότε γὰρ καὶ τὴν αὔξησιν αὐτῶν ἔδει [36] ποιῆσαι, ἀφ' ὧν ἐμάθομεν τόπων, ἤτοι τῶν περιστατικῶν· γίνεται δὲ μετὰ ταῦτα τὰ πλαστὰ διχῶς, ἢ γὰρ ὡς οὐ γενόμενον τὸ γεγονὸς ἀθρόως πλάσεται, ἢ ἐκ τοῦ ἐναντίου· ἀπὸ μὲν τοῦ γενομένου ὡς μὴ γενομένου οὕτως· εἰ γάρ τις τῶν εὐνοϊκῶς πρὸς ἡμᾶς διακειμένων ἀπάτῃ χρῆσθαι πρὸς ἡμᾶς Φίλιππον τοῖς τοιούτοις αὐτοῦ κατεμήνυε λόγοις, ἆρα ἂν προσείχετε [37] τὸ λοιπὸν Φιλίππῳ τὸν νοῦν οὕτως περιφανῶς ἐληλεγμένῳ· ἀπὸ [38] τοῦ ἐναντίου οὕτως· εἰ δὲ ἀναντιῤῥήτως ἡμῖν τὸ συμφέρον προὔτεινε Φίλιππος, πόσης ἂν αὐτὸν σπουδῆς ἠξιώσατε καὶ μεθ' ὅσης ἂν αὐτοῦ περιχαρείας τὸν λόγον ἐδέχεσθε· δεινὸν δὲ καὶ παντελοῦς εὐηθείας, τοῖς μὲν ἥδουσιν ἐπιτέρπεσθαι, τῶν δὲ ἀνιασόντων μηδένα λόγον πρὸς ἀποτροπὴν φαίνεσθαι

τοῦ ὑπερμέτρως καὶ ἐπιμελῶς. Σημείωσαι, πότε ἔχει χώραν τὰ πλαστά· ὅτι μετὰ τὴν ὅλην αὐτῶν διήγησιν. 35 ὅθεν καὶ πλάττεσθαι μὲν —— ἢ τοῦ γεγονότος Ven. om. πλαστὸν δέ ἐστι τὸ μὴ γεγ. ὡς γεγονὸς id. om., tum pergit: Εὑρήσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους καταστῆσαι. Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους οὕτως· ἀπάτῃ μετέρχεται ἡμᾶς Φίλιππος ταῦτα προτείνων, ἃ μεγάλην ποιήσῃ [sic] τὴν βλάβην πραχθέντα· μετὰ τὴν ἀθρόαν εἰσβ. —— εὑρήσομεν κατὰ τὸν οἰκεῖον τοῦ κεφ. τόπον. 36 Ven. ἔξεστι. 37 Mon. προσέχετε τ. λ. Φιλ. τὸ νῦν. Par. Φιλίππῳ τὸ λοιπὸν τὸν νοῦν. Ven. περιφανῶς τὸν νοῦν οὕτως. Sch. min. τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους οὕτως· ἀπάτῃ μετέρχεται ἡμᾶς Φίλιππος, ταῦτα προτείνων, ἃ μεγάλην ποιήσει τὴν βλάβην πραχθέντα. 38 Ven. ἀπὸ δὲ τοῦ,

ποιουμένους· καὶ πάλιν, εἰ δὲ καὶ ἡμᾶς ἔγνω Φίλιππος, ἀπάτῃ μετερχομένους αὐτὸν, ἆρα ἂν ἠνέσχετο πεισθῆναι; [39] οὐκ ἔχετε εἰπεῖν· οὐ μόνον δὲ ἐνταῦθα οὕτως διχῶς γίνεται τὰ πλαστὰ, ἀλλὰ καὶ πανταχοῦ τοῦτο φύσις τοῦ πλαστοῦ ἀπὸ τοῦ γεγονότος ὡς μὴ γεγονότος [40] φημὶ καὶ ἀπὸ τοῦ ἐναντίου γίνεσθαι, καὶ σκόπει καὶ τοῦ παρόντος τεχνικοῦ τὰ ὑποδείγματα.

ιζ'. Τοῦτο [41] τοῦ ἀθρόου καλεῖται· οὐδὲ γὰρ κ.τ.λ.

Vol. V. p. 413. v. 13 — 19.

Cap. X.

Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς πραγματικῆς. [1]

Τὸ πολυσχιδὲς καὶ ποικίλον τῶν τῆς πραγματικῆς κεφαλαίων τὸν τεχνικὸν εἰπεῖν κατηνάγκασε, δυσχερῆ λύ-

---

39 Par. ποιῆσαι. ad marg. γρ. πεισθῆναι. Sch. min. γῆν αἰτοῦντι· θάλασσαν γὰρ ἤτει καὶ ξηράν. Συνήνεγκεν· ἐλυσιτέλησεν. Εἶτα πλαστόν· τοῦτο ἀπὸ τοῦ γεγονότος ἐπ' ἀγαθῷ. Εἰ δὲ τότε· τοῦτο ἀπὸ τοῦ γεγονότος ἐπὶ κακῷ. Παραπειρᾶσθαι· βιάζεσθαι ἀπόπειραν ποιεῖσθαι. Σημείωσαι, πῶς καὶ ἀπὸ τοῦ ἐναντίου ἐστὶ καὶ τῷ μικροτέρῳ συμπλέκεται. Ἀλλὰ ἐλήφθην· δηλονότι ὑπὸ τοῦ τυράννου. Συνεχώρησεν ὑμῖν· ὁ Φίλιππος δηλονότι. Εὐτελέστερον· εὐληπτότερον, εὐδιαγνωστότερον. Οὐκ ἂν ὤκνησα πρὸς τὴν ὠφέλειαν τῶν νέων. Εὖγε, ὦ Ἑρμόγενες, ὡς ἄριστα διαλέγῃ τοῖς οὐ ῥᾳθύμοις. Τὰς θεωρίας· τὰς ἐννοίας. Καθηγεμόνι· τῷ Δημοσθένει. 40 ὡς μὴ γεγονότος ex Ven. recepi. Mon. om. 41 Ven. praemittit: εἰ δὲ τότε συνεβούλευσε δοῦναι γῆν καὶ ὕδωρ, τοῦτο παρὰ τοῦ γεγονότος ἐπ' ἀγαθῷ· εἶτα τὸ πλαστὸν φέρε· εἰ δὲ τότε, ὅτε Ποτίδαιαν· τοῦτο παρὰ τοῦ γεγονότος ἐπὶ κακῷ· τοῦτο τοῦ ἀθρόου πλάσμα.

1 Totum hoc caput Mon. omittit usque ad litt. ιή. Sch.

σιν ἔχειν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· μόνη γὰρ τῶν στάσεων ἁπασῶν ἡ πραγματικὴ τὸν μέλλοντα χρόνον κληρωσαμένη, καὶ τοῖς τελικοῖς κεφαλαίοις διαιρουμένη, καὶ πολλαῖς ταῖς στάσεσι κοινωνοῦσα καὶ κατ' ἐκείνας διαιρουμένη, οὐκ εὐχερῆ καὶ ῥᾳδίαν τὴν λύσιν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους προβάλλεται, ἀλλὰ νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ καὶ τῷ ἐκβησομένῳ διαιρουμένη. Τὸ τοίνυν νόμιμον, ὥς φησιν ὁ τεχνικὸς, ἐν μὲν τῇ ἐγγράφῳ κατὰ μίαν τῶν νομικῶν ὑποπίπτει στάσεων, καὶ κατ' ἐκείνην διαιρεθήσεται, τὸ δὲ δίκαιον κατὰ μίαν τῶν δικαιολογικῶν, ἀντιληψίν φημι, ἢ καὶ τὴν τῶν ἀντιθετικῶν ἀντίστασιν, ἣ καὶ διαιρουμένη πολλὴν τοῖς μελετῶσι ποιεῖται δυσχέρειαν, ἥνπερ ὁ τεχνικὸς ἀκριβῶς ἐπιστάμενος δυσχερῆ μὲν λύσιν, ἔφη, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχει τῆς πραγματικῆς· ἤδη δὲ ταύτην τεχνολογησάμενος καὶ πρὸς εἰδότας τοὺς λόγους ποιούμενος ἔφη, καὶ τοῦτο τὸ μάθημα σαφέστατον ἐκθήσομαι· ἄνευ δὲ παραδείγματος θεὶς ἀσάφειαν τῷ λόγῳ πεποίηκεν· τὰ δὲ παραδείγματα σαφεστέραν ποιεῖ τὴν τέχνην. Ἔστω οὖν παράδειγμα τοῦ προκειμένου προβλήματος τόδε· πολλῶν πολεμίων τῇ τῶν Ἀθηναίων πόλει ἐπισκηψάντων καὶ συμφορῶν προκειμένων οὐ μικρῶν, ἔγραφεν Ὑπερίδης, τοὺς ἀτίμους ἐπιτίμους [2] εἶναι, καὶ γράφεται τοῦτον παρανομίας Ἀριστογείτων. ἐνταῦθα ἡ μὲν ζήτησίς ἐστι

---

min. καὶ ὑπὸ τῶν ἐχθρῶν· οἷόν ἐστι τὸ τοῦ στρατηγοῦ τοῦ διακόψαντος μέρος τοῦ τείχους καὶ ἐξελθόντος καὶ νικήσαντος· ποιεῖ γὰρ ἐκεῖνο ἀντίστασιν. Τῶν ἀντιθετικῶν· τῶν τεττάρων λέγει, τυχὸν ὅτι ὠφέλησα, ὅπερ ἐστὶν ἀντίστασις, ἢ ἐκ τῶν ἑτέρων τριῶν, μεταστάσεως, ἀντεγκλήματος, συγγνώμης. Ἐν τῇ ἀντιλήψει· καὶ ἐν τῇ ἀντιλήψει γὰρ οὕτως ποιοῦμεν, λέγοντες ὅτι ἐξῆν μοι φονεῦσαι τὸν τρισαριστέα, χρώμεθα καὶ ἀντιθετικῷ, ἤγουν ἀντεγκληματικῷ, ὅτι ἄξιος ἦν τοῦ ἀνῃρῆσθαι, τί γὰρ ἐμοίχευεν. 2 Par. ὑποτίμους, scripsi ἐπιτέμους. cfr. T. IV. p. 707.

πραγματική, περὶ γὰρ τοῦ μέλλοντος ἔχει τὴν ἀμφισβήτησιν, εἰ χρὴ δίκαιον τὸ παρὰ τοῦ Ὑπερίδου δέξασθαι ψήφισμα· ἀλλ' ἴδωμεν καὶ τὸν τοῦ τεχνικοῦ, εἰ οὕτως ἔχει, σκοπόν· φησὶ γὰρ, ἐὰν μὲν τὸ πρᾶγμα παρ' ἡμῖν εἴη γεγονὸς, καὶ ὑπὸ τῶν ἐχθρῶν εἰς τὴν ἡμετέραν βλάβην εἰσαγόμενον, οὕτως αὐτὸ λύσομεν, ζητοῦντες τῶν ἀντιθετικῶν στάσεων τὰ λυσιτελοῦντα ἡμῖν θήσομεν, ὥσπερ ποιοῦμεν ἐν τῇ ἀντιλήψει· παρὰ μὲν γὰρ τοῦ Ὑπερίδου τὸ ψήφισμα γεγονὸς, ὑπὸ δὲ τοῦ Ἀριστογείτονος κατηγορούμενον ὡς παράνομον, δίκαιον Ὑπερίδης τὸ ψήφισμα δεῖξαι πειρώμενος ζητήσει τῶν ἀντιστατικῶν στάσεων τὰ λυσιτελοῦντα, ἤγουν τὴν ἀντίστασιν, καὶ κατ' ἐκείνην μελετήσει λέγων, ὡς ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος τοῦτο πεποίηκα, ἵνα εἰδότες οἱ ἄτιμοι ἐντίμους αὐτοὺς γεγονότας κατατολμήσωσι προκινδυνεῦσαι τῆς πόλεως· τὸ δὲ ὥσπερ ἐν ἀντιλήψει πεποιήκαμεν· ὁ ζωγράφος ὁ τὰ ναυάγια γράψας ἐρεῖ, ὡς ὑπὲρ τῶν πλεόντων τοῦτο πεποίηκα· τότε δὲ πολλάκις καὶ τῶν ἄλλων στάσεων τὰ λυσιτελοῦντα θήσομεν· ἐνδέχεται γὰρ καὶ στοχαστικὸν μελετῆσαι, καὶ μάλιστα τὸ τῆς πραγματικῆς συμφέρον· τὸ γὰρ τί ποιοῦσιν ἡμῖν τόδε τι γενήσεται, καὶ τί μὴ ποιοῦσι, καὶ τὸ χρήσιμον προσλαβεῖν Ὄλυνθον, μᾶλλον δὲ ἀναγκαῖον, ἵνα μὴ μέγας ὁ Φίλιππος ἑλὼν ἐκείνους γίνηται καθ' ἡμῶν ἐκ τοῦ εἰκότος στοχαστικοῦ πλατύνεται· εἰκὸς γὰρ τὸν Φίλιππον ἑλόντα ἐκείνους γενέσθαι καὶ καθ' ἡμῶν, βούλησις γὰρ Φιλίππῳ μὴ ἠρεμεῖν, εἰ δὲ προσλήψεται καὶ δυνάμεως, παντὶ εἰκὸς ἐκβῆναι τὰ κατὰ νοῦν· ἰδοὺ γὰρ ἐνταῦθα μετὰ βουλήσεως καὶ δυνάμεως, ἅπερ ἐστὶ κεφάλαια στοχασμοῦ, τὸ τῆς πραγματικῆς συμφέρον ἐπλατύναμεν· ποτὲ δὲ καὶ μεταληπτικὰ ἐὰν ἔχῃ, τὸ κεφάλαιον τοῦ πλασσομένου θήσομεν, ὡς ἐπὶ ἄλλου τινὸς παραδείγματος, ὁ γὰρ περὶ τοῦ μετοικῆσαι βουλευόμενος καὶ τὸ

συμφέρον μελετῶν, μεταληπτικῶς ἐρεῖ κατὰ ἔνστασιν, ὡς οὐ δι' ἡμᾶς ῥεῖ τὸ πῦρ, ἀλλὰ διὰ τὴν αὐτοῦ φύσιν.

Ἐν μὲν γὰρ τῷ στοχασμῷ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τὰ σημεῖά εἰσι τὰ φανερά, οἷον τὸ παρίστασο, ἐν δὲ ταῖς ἄλλαις στάσεσιν αὐτὰ κρινόμενα καὶ ζητούμενά εἰσι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, εἴτε ἱεροσυλία, εἴτε φόνος, εἴτε αἴτησις δωρεᾶς, εἴτε τι τοιοῦτον, ὡς ἐν μὲν τοῖς προλαβοῦσι τὰ δικανικὰ ἔδειξεν ἀπ' ἀρχῆς ἔχρι τέλους, ὅτι λύονται ἢ δι' ἀντιλήψεως, ἢ δι' ἀντιθέσεως, ἤ τινος τῶν τοιούτων κεφαλαίων, ἐνταῦθα δὲ διὰ πραγματικῆς.

Cap. XI.

Περὶ τάξεως ἐπιχειρημάτων.[1]

Ἀποδεικτικὸν ἀντὶ τοῦ δικανικοῦ, πολιτικῆς δὲ ἀντὶ τοῦ ἐναγωνίου, οἷον τὰ συμβουλευτικὰ καὶ δικανικά, πανηγυρικὰ δὲ ὅσα λαμπρότητα[2] ἐπάγεται· τίνα δὲ ταῦ-

---

1 Ven. caput hoc sine proprio titulo capiti περὶ ἐργασίας ἐπιχειρημάτων subiungit, incipit: εἰ γὰρ τύχοι τὰ μὲν αὐτῶν ἀποδεικτικὰ πολιτικῆς ἑρμηνείας δεόμενα, τὰ δὲ πανηγυρικά· πολιτικῆς ἀντὶ τοῦ ἐναγωνίου. 2 Mon. ὅσον λαμπρότατον. Ven. ὅσα λαμπρότατα. Sch. min. Ἀποδεικτικὰ τὰ στασιαζόμενα, τὰ ἀγωνιστικά, πανηγυρικὰ τὰ φαιδρὰ καὶ ὁμολογούμενα καὶ αὐξητικά. Ἀποδεικτικὰ λέγονται διὰ τοιαύτην αἰτίαν· οἷον πρῶτον ἐθέλω ἀποδεῖξαι τυχὸν τὸν φόνον ἢ τὴν κλοπήν, ὅτι γέγονεν· εἶτα μετὰ τὴν ἀπόδειξιν θέλω αὐξῆσαι τὰ γεγονότα ἐγκλήματα. Πολιτικῆς ἑρμηνείας· ἐναγωνίου φράσεως. Τὰ πανηγυρικά· τὰ λαμπρότητα ἔχοντα ἀπὸ τῆς ποιότητος. Λόξαν ἀκμῆς· ὑπόνοιαν ἰσχύος, δυνάμεως. Αὕτη μὲν ἰδέα· οὐ τὸ ἓν εἶδος, δηλονότι τῶν ἐπιχειρημάτων· ἰδέαν εἶπε διὰ τὸ εἰπεῖν ἄνω φράσιν· θεωρία δέ ἐστι τῆς τάξεως μία.

τα, τὸ περὶ ἰδεῶν βιβλίον διδάξει· ἀποδεικτικώτατα δὲ κ. τ. λ. T. V. p. 414. v. 16. — p. 415. v. 16. Πολιτικὰ [3] τὰ ἐναγώνια καὶ συμβουλευτικὰ [4] καὶ δικανικὰ καλεῖ· ἃ εἰσι τὰ ἀπὸ τῆς αἰτίας καὶ τοῦ ἐναντίου λαμβανόμενα τῶν ἐργασιῶν· ἐπιχειρήματα γὰρ τὰς ἐργασίας φησὶ, τὰ δὲ ἀπὸ παραδειγμάτων καὶ τροπῶν καὶ τῶν λοιπῶν περιστατικῶν καὶ ἐργασιῶν λαμβανόμενα πανηγυρικά ἐστι, τουτέστι λαμπρά· τὰ μὲν γὰρ ἀπὸ τοῦ προσώπου ἐκ τῶν ἐγκωμιαστικῶν λαμβάνονται, τὰ δὲ ἀπὸ τῶν πραγμάτων, ἐκ τῆς ὁμοιότητος αὐτῶν, τουτέστι τῶν παραδειγμάτων, ἃ καὶ τὴν ἀκμὴν ποιοῦσιν, ἥτις ἐστὶ πανηγυρικοῦ· οὐ μὴν ἀλλὰ καὶ τὰ ἀπὸ καιροῦ καὶ τόπου τὴν ὕλην ἀπὸ τῶν ἐγκωμιαστικῶν ἔχουσι, δυναμένων ἡμᾶς καὶ ψέγειν καὶ ἐπαινεῖν· πολλάκις δὲ καὶ πανηγυρικοῦ ὄντος ἐπιχειρήματος τοῖς κατὰ συστροφὴν σχήμασι μεταχειριζόμεθα αὐτὸ ἀποδεικτικῶς· οἷον ὡς ἐν τῷ στηλιτευτικῷ, [5] ὁ γὰρ τοῖς δήμοις τὸ ἀπηνέστερον παρεικὼς ἀνοήτοις καὶ ἀσυλλόγοις ἀνθρώποις, εἶτα ἑαυτῷ τὸ φιλανθρωπότερον πρόδηλός ἐστιν ὡς φανερὸν κινῶν διωγμόν· [6] ἐνταῦθα γὰρ ἀπὸ προσώπου ὂν καὶ τοῦ ἐγκωμιαστικοῦ τὸ ἐπιχείρημα εἰς ἀποδεικτικὸν μετέβη διὰ τοῦ κατὰ συστροφὴν σχήματος. [7]

γ. Προκλητικώτερόν [8] φησι τὸ προκαλούμενον τὸ

---

3 Haec usque ad litt. β'. Ven. om. 4 Par. καὶ δικανικὰ καὶ συμβ. 5 Mon. στηλευτικῷ, ὡς γάρ. 6 Mon. ὡς φανερῶν διωγμῶν. 7 Sequitur in Par. ἐπιχειρήματα μὲν εἶπε τὰς ὑποθέσεις καὶ τὰ προβλήματα, ἀποδεικτικὰ δὲ τὰ δικανικά. In Ven. litterae β'. praemittitur: Ἄλλως τε καὶ ἡδίων τοῖς ἀκούουσιν· οἱ γὰρ παρὰ στενότητος. κ. τ. λ. Vol. V. p. 415. v. 17 — 20. 8 Ven. Καὶ οἷα τὸ προκλητικώτερον τοῦ ἑξῆς κεφαλαίου τελευταῖον τίθενται, οἷον ὡς ἐπὶ ὑποδείγματος. Praecedit in Par.: Τὸ προκαλούμενον μετ' αὐτὸ κεφάλαιον καὶ ἔχον συγγένειαν πρὸς αὐτό· ὡς ἐπὶ τοῦ κρινομένου τυραννίδος Περικλέους ἡ δύναμις προκαλεῖται τὴν

ἑξῆς κεφάλαιον, οἷον ὡς ἐπὶ ὑποδείγματος ἡ βούλησις καὶ ἡ δύναμις κεφάλαιόν ἐστι στοχαστικόν· δεῖ οὖν τὸν [9] τὴν βούλησιν ἀναιροῦντα τηρήσαντα [10] τὰ ἐπιχειρήματα, ὅσα χορηγεῖ ἡ ὑπόθεσις τοῦ κεφαλαίου, τὸ τὴν δύναμιν προκαλούμενον ἐπιχείρημα τελευταῖον θεῖναι· [11] ἔστω δὲ ἐπὶ Περικλέους τὸ λεχθὲν γυμναζόμενον· προκειμένου γὰρ ἀναιρεῖν, ὡς οὐ προδότου γνώμη ὕπεστι [12] Περικλεῖ, τὰ μὲν ἄλλα τῶν ἐπιχειρημάτων οἷον τὰ τοῦ πράγματος καὶ τὰ τοῦ τρόπου, καὶ εἴ τι ἄλλο ἡ ὑπόθεσις δίδωσι, προταγήσεται, ὡς οὐκ ἐγερτικὰ [13] τῆς δυνάμεως· τὰ μέντοι τοῦ προσώπου τηρηθήσεται τελευταῖα, ὡς τῆς δυνάμεως ὄντα προκλητικά· οἷον οὐκ εἰκὸς θελῆσαι προδοῦναι Περικλέα, αἰσχρὸν γὰρ πρᾶγμα προδοσία, τοῦτο ἀπὸ τοῦ πράγματος· πῶς δὲ καὶ δράσεις τοῦτο πανταχόθεν ἀπόρου τούτου καθισταμένου, τοῦτο ἀπὸ τοῦ τρόπου, εἶτα ἀπὸ τοῦ χρόνου, τότε γὰρ, ὅτε πανταχόθεν ἡ πόλις ἐφρουρεῖτο καὶ μηδενὶ συνεχωρεῖτο [14] τὸ ἐξιέναι [15] ἢ παραβάλλειν, καὶ τελευταῖον καὶ τὰ τοῦ προσώπου· ὅτι καὶ Περικλεῖ δύσκολον, ᾧ τῇ ὑπονοίᾳ ταύτῃ ἐν προσποιήσει [16] τιμῆς ἀεὶ δορυφόροι περίεισιν, ὡς μηδὲν αὐ-

---

βούλησιν· οἷον οὐκ ἂν ἠδυνάμην στρατιώταις δορυφορούμενος ἐπιθέσθαι τῇ τυραννίδι, οὐ γὰρ τῶν τυχόντων εἰμὶ στρατηγῶν, ὡς ἂν διαληφθῶ ὥστε τρόπον τινὰ φυλαττόμενος, οὐκ ἂν ἠβουλόμην τάδε ποιῆσαι. 9 τὸν Par. om. 10 Mon. τηρήσεται. 11 Mon. εἶναι. 12 Mon. γνώμην ὑπέστη Περικαλεῖ, paullo ante id. Παρακλέους. 13 Mon. εὐεργητικά. Ven. ἐγερτικά. 14 Mon. συνεχώρει. 15 τὸ ἐξιέναι Par. om. 16 Mon. πρὸς ποιήσει τινός. Ven. δορυφ. πάρεισιν. Sch. min. Ἐν ταῖς ὑποφοραῖς· ταῖς ὑπὸ τῶν ἐχθρῶν προτάσεσι ταῖς ἀντιθετικαῖς. Ὑποφορὰς λέγει τὰς ὑφέσεις τοῦ λόγου καὶ ὑπτιότητας ἐν τῷ λήγειν· κυρίως δὲ ὑποφορὰν τὴν τῶν αὐλῶν τοῦ ὀργάνου κατάπαυσιν λέγουσι· τοῦτο οὖν ἐνταῦθα ἡ ὑποφορά, οὐχ ὁ παρ' ἡμῶν ἀντιθετικῶς εἰσαγόμενος τοῦ ἐχθροῦ λόγος· τινὲς δὲ ὑποφορὰς τὰς ὑπαλλαγὰς τῶν ἐπιχειρημάτων καὶ ἐργασιῶν καλῶς ἐνόησαν. Κεφαλαίου προσδο-

τὸν λαθεῖν δύνασθαι τῶν πραττομένων· καὶ διὰ ταῦτα οὖν οὐδὲ δυνηθῆναι εἰκὸς προδοῦναι αὐτόν· σκόπει σύν, ὅτι οὐ μόνον ἐπὶ τῶν κεφαλαίων, ἀλλὰ καὶ ἐπ᾽ αὐτῶν τῶν ἐπιχειρημάτων τὰ τῆς δυνάμεως ἀποτρεπτικὰ, καὶ ὅσα τῷ προσώπῳ τὸ ἀδύνατον περιποιεῖται τοῦ πράγματος, πρὸ τῆς ἀπὸ τοῦ προσώπου τέτακται ἐπιχειρήσεως, καὶ μετ᾽ ἐκεῖνα εὐθὺς τὸ ἀπὸ τοῦ προσώπου, ὃ ἐξ ἀνάγκης τὸ τῆς δυνάμεως κεφάλαιον ἐξανίστησιν.

Cap. XII.

Περὶ ὅρου.

ά. Σημείωσαι ὅτι ὁ τὸν ὅρον μελετῶν καὶ [1] ὁ τὸν ἀνθορισμὸν ἀντιτιθεὶς τούτῳ τὰ πρὸ τοῦ πράγματος εἰωθότα συμβαίνειν λέγουσιν· ὁ μὲν ἐκ τῶν παρειμένων, ὁ δὲ ἐκ [2] τῶν πεπραγμένων· ὡσαύτως καὶ ὁ τὸν συλλογισμὸν καὶ ὁ τὴν λύσιν τοῦ συλλογισμοῦ μελετῶν ἐκ τῶν ἐπισυμβαινόντων τῷ πράγματι λέγουσιν, ὁ μὲν ἐκ τῶν παρειμένων, [3] ὁ δὲ ἐκ τῶν πεπραγμένων, ὡς μόνῃ τῇ διαστάσει τοῦ χρόνου διαφέρειν τοῦ μὴ διαμαρτεῖν τὰς δριμύτητας. [4]

κίαν· προσεπακουστέον τὸ τελευταῖα τίθεται. 1 καὶ Mon. om. Ven. ὁ om. 2 Mon. ἐκ om. 3 Ven. ὁ μὲν ἐκ τῶν πεπραγμ. ὁ δὲ ἐκ τῶν παρειμ. ὡς μόνῃ τῇ διαστάσει. (Mon. ἰδίᾳ στάσει.) 4 Sequitur in Par. Σημειωτέον, ὡς ὁ τεχνικὸς, οὐκ οὔσης διαφορᾶς ὅρου καὶ ἀνθορισμοῦ, ἐπεὶ καὶ ὁ ὅρος ὅρος ἐστὶ τοῦ φεύγοντος, καὶ ὁ ἀνθορισμὸς ὅρος τοῦ διώκοντος, καὶ διὰ τὸ μὴ εἰδέναι τούτων διαφορὰν ἔφη, ὅτι ὁ τὸν ὅρον ἔχων ἔχει καὶ τὸν συλλογισμόν· ἐπείτοιγε ἀναμφηρίστως ὁ τὸν ὅρον ἔχων τὸν συλλογισμὸν οὐκ ἔχει, ἀλλὰ τὴν αὐτοῦ λύσιν, τὸν δὲ συλλογισμὸν ἔχει ὁ τὸν ἀνθορισμὸν μὴ ἔχων· ἐρεῖ γὰρ ὁ μὲν διώκων ἀνθοριζόμενος καὶ συλλογιζόμενος,

β'. Τὸ ἑξῆς οὕτως· τέχνη παρ' ἡμῖν εἵρηται θαυμασία πρὸς τὸ μήτε συγκεχύσθαι τὸν λόγον, μήτε ἄπορον εἶναι, ἀλλ' εὐκρινῆ, οἷον ἐπὶ τῶν ἐπιχειρημάτων πεποιήκαμεν, διαιτήσοντες ἐκ πόσων λαμβάνεται τὸ ἐπιχείρημα καὶ ἀπὸ τίνων· ὡς οὖν ἐπ' ἐκείνου, οὕτως καὶ ἐπὶ τούτων ἔστιν ἰδεῖν διηρημένης τῆς διανοίας σαφηνισθέντα, ὡς εἰ καὶ ἀπὸ τῶν αὐτῶν λαμβάνεται ὁ ὅρος[5] καὶ ὁ ἀνθορισμὸς, καὶ ὁ συλλογισμὸς καὶ αἱ λύσεις τοῦ συλλογισμοῦ, ἀλλ' οὖν τῷ χρόνῳ τὸ διάφορον αὐτῶν φαίνεται. τὰ γὰρ τοῦ ἀνθορισμοῦ[6] πεπραγμένα ἀπὸ τῶν πρὸ τοῦ πράγματος λαμβάνεται, τὰ δὲ τοῦ συλλογισμοῦ ἀπὸ[7] τῶν μετὰ τὸ πρᾶγμα. ὡσαύτως καὶ ὁ ὅρος καὶ ἡ τοῦ συλλογισμοῦ λύσις. εἰ γὰρ καὶ ἀπὸ τῶν παρειμένων ἄμφω, ἀλλ' οὖν οὐχὶ καὶ ἀπὸ τοῦ αὐτοῦ χρόνου, ἀλλὰ τὸ μὲν ἀφ' οὗ καὶ ὁ ἀνθορισμὸς, ἡ λύσις δὲ, ἀφ' οὗ χρόνου καὶ ὁ συλλογισμός. Σημειωτέον δὲ κἀκεῖνο, ὅτι τετραχῶς τὸ πρόβλημα τοῦ συλλογισμοῦ, ὁρικὸν, γενικὸν, εἰδικὸν, καὶ κατὰ συμβεβηκός·[8] ὁρικὸν, οὐκ εἰμὶ ἱερόσυλος, κλέπτης δέ. ἢ κατὰ ἀνθορισμὸν, καὶ γὰρ καὶ αὐτός ὅρος ἐστὶ τοῦ διώκοντος, ὡς ἐκεῖνος τοῦ φεύγοντος. ἱερόσυλος εἶ, οὐ κλέπτης· γενικὸν, ὡς ὁ συλλογισμὸς, συνάγει γὰρ ἄμφω. καὶ τοῦτο κἀκεῖνο ἱεροσυλία, καὶ οὐδὲν διαφέρει· εἰδικὸν, ἡ λύσις τοῦ συλλογισμοῦ, ἕτερον τοῦ-

---

ὑφειλου εἴτε οὖν ἱερὰ, εἴτε ἰδιωτικὰ, ταυτόν ἐστι, καὶ ἱερόσυλος εἶ· ὁ δὲ φεύγων ὁριζόμενος καὶ λύων, οὐχ ἱερῶν ἡψάμην, ἰδιωτικὰ ὑφειλόμην· ἕτερον τοῦτο καὶ ἕτερον ἐκεῖνο, κλέπτης ἄρα εἰμί. Litterae β'. praemittit Ven. Τέχνη δὲ θαυμασία παρ' ἡμῖν εὕρηται. 5 Ven. λαμβάνεται ὅρος (etiam Mon. articulum h. l. om.) καὶ συλλογισμὸς καὶ ἀνθορισμὸς καὶ λύσις. 6 Ven. ὅρου. ex eodem recepi πρὸ ante τοῦ πράγματος, quod Mon. om. 7 Ven. παρα, idem. ὡσαύτως καὶ ὁ ἀνθορισμός. 8 Ven. addit: ὥστε τῇ μὲν δυνάμει αὐτὰ εἶναι κἀκεῖνα οἷα τὰ ἔνθεν. Sqq. usque ad litteram γ'. om. ubi pergit: Ὅρος καὶ συλλογ. καὶ ἀνθορ. καὶ ἡ.

τρο καὶ ἕτερον ἐκεῖνο· τίς γὰρ κοινωνία τῷ [9] ἰδιωτικὰ χρήματα ὑφελέσθαι πρὸς τὸ κλέψαι τὰ ἱερά; κοινὸν δὲ ἀμφοῖν, τῷ τε συλλογισμῷ καὶ τῇ λύσει τούτου τὸ ἐπισυμβεβηκὸς τῷ πράγματι· ὥσπερ γὰρ περὶ τὸ πρᾶγμα ὁ ὅρος καὶ ὁ ἀνθορισμὸς μάχονται, οὕτως περὶ τὸ ἐπισυμβαῖνον τῷ πράγματι ὁ συλλογισμὸς καὶ ἡ τούτου λύσις, καὶ ταῦτα διὰ παραδείγματος πεποίηκεν ὁ τεχνικός.

Ὁ ὅρος γίνεται [10] ἐκ τῶν παρειμένων, οἷον ἔδει σε ποιῆσαι τὸ, οὐκ ἐποίησας· ὁ ἀνθορισμὸς ἐκ τῶν πεπραγμένων, ὅτι ἔδει με ποιῆσαι τὸ, ἐποίησα· ὁ ὅρος τοῦ φεύγοντός ἐστιν, ὁ δὲ ἀνθορισμὸς τοῦ διώκοντος.

Λειῖλε τὴν διάνοιαν αὐτῶν, ὅτι ὁ μὲν ὅρος κ. τ. λ. Vol. V. p. 416, v. 5—13. τὴν διαφορὰν οὖν ταύτην καὶ κοινωνίαν εἶπεν ὁ Ἑρμογένης διαίρεσιν τῆς κοινωνίας καὶ τῆς διανοίας, αἰτίαν οὖσαν τοῦ μὴ πεφύρθαι τὸν λόγον μηδὲ ἄπορον εἶναι.

Ὅτι μὲν ἀναμφηρίστως ὁ μὲν ἀνθορισμὸς καὶ ὁ συλλογισμός εἰσι τοῦ διώκοντος, ὁ δὲ ὅρος καὶ ἡ λύσις τοῦ συλλογισμοῦ τοῦ φεύγοντος, ἅπασι δῆλον· ἐπὶ δὲ τοῦ παρόντος ὑποδείγματος, [11] ὅπερ ὁ τεχνικὸς δέδωκεν, ὁ μὲν συλλογισμὸς καὶ ὁ ἀνθορισμὸς ἐπὶ τὸν ταῖς ἀληθείαις φεύγοντα μετέπεσον· ὁ δὲ ὅρος καὶ ἡ λύσις τοῦ συλλογισμοῦ ἐπὶ τὸν ὀφείλοντα διώκειν· καὶ γέγονε τὸ ἀνάπαλιν ἐπὶ τοῦ παραδείγματος δι' αἰτίαν τοιαύτην· ἐπὶ γὰρ τῶν παραδόξων λεγομένων στοχασμῶν, οἵ εἰσιν οἱ κατ' αἴτησιν δωρεᾶς, ἀεὶ ἡ τάξις ἀντιστρέφεται, ὁ γὰρ αἰτῶν τὴν δωρεὰν φιλόσοφος ἐπὶ τῷ πεῖσαι τὸν τύραννον, καταθέσθαι τὴν τυραννίδα, καὶ ὁ ἀνηρηκὼς τύραννον ἐν τῷ μαίνεσθαι, καὶ τοῦτο αὐτὸ αἰτῶν, τὸ

9 Mon. τά. 10 ὁ ὅρος γίνεται sqq. usque ad litt. γ'. Mon. om. 11 Sch. min. οὐ τοῦτό ἐστι τυραννοκτονία· τὸ οὐ τοῦτο ὅρος· τὸ τοῦτο ἀνθορισμός. Λείπει, ἔδει εἰδέναι· δηλονότι τὸ βουλεύσασθαι μετὰ εὐταξίας ἀνελθεῖν.

τὴν τυραννοκτόνον λαβεῖν δωρεὰν ὀφείλοντες ἐν τάξει φευγόντων εἶναι, τόπον κατηγόρων ἐπέχουσι, καὶ τὰ τῶν κατηγορούντων ἁρπάζουσι κεφάλαια, παραχωροῦντες τοῖς, πρὸς οὓς ἡ αἴτησις τῶν φευγόντων, οἵπερ ὤφελον ἔχειν τὰ τῶν κατηγορούντων· διὰ τὸ ἐναλλὰξ οὖν χρῆσθαι τοῖς κεφαλαίοις ἑκατέροις, καὶ τοὺς αἰτοῦντας καὶ τοὺς αἰτουμένους, παράδοξοι οἱ στοχασμοὶ λέγονται· ἐπεὶ ὅτι ἄνευ τούτων ἐν τοῖς λοιποῖς ἅπασιν ὁ μὲν ἀνθορισμὸς καὶ ὁ συλλογισμὸς τοῦ διώκοντός εἰσιν ἀεί, ὁ δὲ ὅρος καὶ ἡ τοῦ συλλογισμοῦ λύσις τοῦ φεύγοντος ὡμολόγηται· ἐπὶ μέντοι τῶν κατὰ ἀμφισβήτησιν δωρεᾶς, τυχὸν τῶν δύο ἰατρῶν, ἢ τοῦ καταδραμόντος ἀπὸ τῆς ἀκροπόλεως τοῦ τυράννου, καὶ τοῦ ὑπαντήσαντός καὶ ἀνελόντος οὐχ ἡ αὐτή ἐστι διαίρεσις τῶν κεφαλαίων. ἀλλὰ διπλῆ ἀντεξέτασις, ἑκατέρου διὰ τῶν τεττάρων τούτων κεφαλαίων τὰ μὲν ἑαυτῷ πεπραγμένα συνιστῶντος, τὰ δὲ τοῦ ἀντιδίκου ἀνατρέποντος.

γ'. Ὁ ὅρος καὶ ὁ συλλογισμὸς καὶ ὁ ἀνθορισμὸς καὶ ἡ τοῦ συλλογισμοῦ λύσις τέσσαρα ταῦτα δύο συζυγίας ποιοῦσι [12] τῷ δοκεῖν κατὰ τῶν ἀντικειμένων ἀλλήλοις ἀντεφαρμόζοντα· καὶ γὰρ ἡ πρώτη ἀπὸ τῶν πεπραγμένων καὶ παρειμένων τὸ ἐσχυρὸν ἑαυτῇ περιποιεῖται· καὶ ἡ δευτέρα δὲ [13] ὁμοίως ἀπὸ τῶν αὐτῶν κρατύνεσθαι βούλεται, ἐπειδὴ δὲ ταῦτα τῇ τῆς ἐννοίας δυνάμει τὰ αὐτὰ ὄντα ἄγνοιαν ἡμῖν ἐμποιεῖ, ἐκ ποίων μὲν πεπραγμένων, τίνων δὲ παρειμένων [14] ἐργάζεται, ἔστ' ἂν ἡ τοῦ χρόνου ταῦτα διασαφήσῃ διάστασις· τὰ μὲν ἀπὸ τοῦ πρὸ τοῦ [15] πράγματος εἰποῦσα λαμβάνεσθαι, τὰ δὲ

12 ποιοῦσι Mon. om. Ven. τὸ δοκοῦν. Sch. min. τὴν λύσιν τοῦ συλλογισμοῦ· ὁ φεύγων ἔχει, ὡς ἐπὶ τοῦ ἱεροσύλου. Ἄνω κεφάλαια λέγει τὸν ὅρον καὶ τὸν ἀνθορισμὸν, κάτω τὸν συλλογισμὸν καὶ τὴν λύσιν αὐτοῦ. 13 Mon. καί. Ven. δέ. 14 Ven. ταύτην ἐργάζ. 15 πρὸ τοῦ Mon. om. recepi ex Ven.

ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα· διάστασις γὰρ χρόνου λέγει τὰ πρὸ τοῦ πράγματος καὶ τὰ μετὰ τὸ πρᾶγμα. καὶ τῇ παρ' ἑαυτῆς εὐκρινείᾳ [16] τὸ ἐν αὐτοῖς συγκεχυμένον τε καὶ πεφυρμένον διακαθαίρουσα καὶ τὸ οἰκεῖον ἑκάστῳ τούτῳ προσνέμουσα· εἰκότως μόνην ταύτην ὁ τεχνικὸς φησι τοῦτο παρασχεῖν· [17] λέγω δὲ τὸ μὴ διαμαρτεῖν τὰς δριμύτητας ἤγουν τὰς ἀπὸ τῆς τοῦ χρόνου διαστάσεως εὐκαίρως [18] καὶ καταλλήλως ἑκατέρᾳ ἀντιθέσει παρευρεθείσας [19] ἀντιλογίας· ταῦτα γὰρ δριμύτητα ἐνταῦθα καλεῖ· δριμύτητας δὲ ταύτας ἐκάλεσεν, ἐπεί τοι δοκοῦσι κ. τ. λ. Vol. V. p. 416. v. 18—23. τοιαύτη δὲ καὶ ἡ τῆς δριμύτητος ἰδέα, διὰ τῶν ἀφελῶν δρακόντων καὶ κοινοτέρων ἀνύουσα τὸ ἑαυτῆς. ἢ δριμύτητας ταύτας [20] καλεῖ διὰ τὸ δραστήριον καὶ ἐργαστικὸν [21] τοῦ προκειμένου· τοιοῦτον γὰρ πᾶν τὸ δριμύσσον. [22]

---

16 Mon. ἐκκρίνει. 17 Ven. πάσχειν. 18 εὐκαίρως Mon. om. 19 Mon. παρερευθείσας. Sqq. ταῦτα γὰρ δριμύτητα ἐνταῦθα καλεῖ Ven. om. 20 Mon. δριμύτητος ταύτης omisso καλεῖ. 21 Ven. ἐξεργαστικόν. 22 Sequitur in Par. Τῇ δυνάμει, φησὶ, τὰ αὐτά ἐστι τά τε πρῶτα δύο κεφάλαια, ὁ ὅρος καὶ ὁ ἀνθορισμὸς, καὶ τὰ ἔσχατα ταῦτα, ὁ συλλογισμὸς καὶ ἡ λύσις αὐτοῦ· ὁ μὲν ὁρίζεται, ὅτι τόδε ἐστὶν, ὁ δὲ, ὅτι τόδε· καὶ ὁ μὲν, ὅτι ταὐτὸν τοῦτο ἐκείνῳ· ὁ δὲ ὅτι οὐ ταὐτόν· τῇ δὲ διαστάσει μόνον τῶν χρόνων διαφέρουσιν, ὅτι ὁ μὲν ὅρος καὶ ὁ ἀνθορισμὸς περὶ τῶν πρὸ τοῦ πράγματος καὶ αὐτὸ τὸ πρᾶγμα ἀμφισβητοῦσιν, ὁ δὲ συλλογισμὸς καὶ ἡ λύσις αὐτοῦ περὶ τῶν μετὰ τὸ πρᾶγμα ἐπισυμβεβηκότων· ἐπενοήσατο δὲ τὴν διαφορὰν ταύτην ὁ Ἑρμογένης, ὡς αὐτός φησι, διὰ δύο ταύτας αἰτίας, ἵνα τε δριμύτητας αἱ ἐργασίαι ἔχωσι διὰ τῶν χρόνων καὶ τῆς ὑπαλλαγῆς, καὶ ἵνα σαφῆ καὶ εὐδιάκριτα τὰ κεφάλαια ᾖ, καὶ μὴ πλανώμενοι αὐτοῖς περιπίπτωμεν, διὰ τὸ τὰς αὐτὰς δυνάμεις ἔχειν ἑκάτερα. Μόνῃ τῇ διαστάσει τοῦ χρόνου διαφέρουσι, χρόνος δὲ λέγει τὰ παρειμένα καὶ τὰ πε-

Cap. XIII.

Περὶ διασκευῆς.

Ἡ διασκευὴ οὐκ ἔστι διήγησις, ἀλλὰ τῶν ἐν τῇ διηγήσει ψιλῶς εἰρημένων σεσωματοποιημένη [1] φράσις ἁρμόττουσα καὶ ἐπιλόγοις·[2] οἷον. Ἀΰ ἔρυσαν κ. τ. λ. Vol. V. p. 417. v. 9—12. καὶ τοῦ θεολόγου, ὁμοίως περιστάντες γὰρ ἡμᾶς ὁ τῶν ἑταίρων καὶ ἡλίκων χορὸς, ἔστι δὲ ὧν καὶ διδασκάλων οὐ μεθήσειν ἔφασκον. διαφέρει δὲ ἡ ἠθοποιΐα διατυπώσεως τῷ τὴν μὲν ἠθοποιΐαν περιστατικὰ ἔχειν, οἷς καὶ διαπλατύνεται, τὴν δὲ διατύπωσιν τῷ τρόπῳ μόνῳ πλατύνεσθαι, ὡς τὰ ἀνωτέρω ῥηθέντα παραδείγματα.

δ'. Τῷ [3] ἐνδιασκεύῳ, ὡς ἐφ' οὗ μέλλομεν ὑποδείγματος παραθέσθαι· τὸν τρόπον γὰρ πλατύνοντες ὅπως

πραγμένα, ἐξ οὗτινος χρόνου συμβαίνει ἰσχυρὰν εἶναι τὴν ἐργασίαν τῶν κεφαλαίων.'

1 Mon. σωματοποιημένη. Sch. min. Ἐν ποιητικῇ· ὡς παρ' Ὁμήρῳ· ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον μεγάλ. ἴαχεν [Il. α. 481.] καὶ τὰ ἑξῆς. 2 Ven. addit: ὥσπερ ἐν ποιητικῇ, ὡς παρ' Ὁμήρῳ· ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον μεγάλ' ἴαχε καὶ τὰ ἑξῆς. Οὐ μέντοι γε οὔτε αἰτίαις οὔτε λογισμοῖς τοσοῦτον· ἄγαν ἀκριβῶς προσέθηκε τὸ τοσοῦτον· εὐθεῖα γὰρ ἡ διατύπωσις κ. τ. λ. — Litt. β'. et γ'. vide Vol. V. p. 417. v. 12—19. Sch. min. Διασκευάζοντος· τοῦ ῥήτορος δηλονότι. Οὔτε αἰτίαις· ἡ αἰτία γὰρ καὶ οἱ λογισμοὶ κατασκευῆς ἴδια, ὥς φησιν ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους. Διασκευάζονται· ἀντὶ τοῦ ἔμψυχα γίνονται, καὶ πλατύνονται. Εἰκὸς ἦν τελεῖσθαι· εἰ γὰρ παρὰ τὸ εἰκὸς λεχθείη τι, τῷ κακοζήλῳ ὑπάγεται, ὥς φησι μετ' ὀλίγα αὐτὸς οὗτος· περὶ δὲ κακοζήλου ζήτει τὸ δωδέκατον κεφάλαιον τοῦ τετάρτου τόμου τούτου τοῦ βιβλίου. Τολμᾷν· τί ἐστι τὸ τολμᾷν εἴρηται διαφόρως. Ἐκ τοῦ εἰκότος· ἐκ τῶν παραδειγμάτων. Ἡ διατύπωσις· ἡ ἔκφρασις. 3 Ven. Τῷ τρόπῳ πάντως πλατύνεται, ὡς ἐφ' οὗ μέλλομεν ὑπόδειγμα γενέσθαι. τὸν τρόπον γάρ.

ἤγετο τὴν ἐπὶ θάνατον ὑπὸ τοῦ τυράννου ἐκδοθεὶς, εὐθὺς καὶ τὰς προσωποποιΐας ἐπάγομεν, γυναικῶν, φίλων καὶ τῶν ὁμοίων. [4]

ε. Ὡς ἐπὶ τούτου· τύραννον προτραπείς τις ὑπὸ τῶν πολιτῶν προσκυνῆσαι, εἶτα ἀπαγορεύσας πρὸς τοῦτο, ἐκδίδοται πρὸς τοῦ τυράννου ἄγεσθαι τὴν ἐπὶ θάνατον· ἐνταῦθα κἂν μή τι τοιοῦτον ἐπράχθη, ὅμως ἔξεστί σοι διατυποῦν οὕτως, ὅτι περιστάντες αὐτὸν, γυνὴ, τέκνα καὶ τὸ λοιπὸν γένος, ἅμα φίλοις θερμότερόν τε τοῦτον ἠσπάζοντο, καὶ πολλοῖς τοῖς δάκρυσι πλύνοντες, τοιούτοις αὐτοῦ λόγοις τὸ ἀπηνὲς καὶ σκληρὸν καταμαλάττειν ἐπεχείρουν ἦθος, γυνὴ μὲν ἐντεῦθεν βοῶσα, ἄνερ, μνήσθητι γυναικός τε καὶ παίδων καὶ τῶν ἐπὶ τούτοις χαρίτων, καὶ μὴ ὡς ἐχθροὺς ἡμᾶς ἀμυνόμενος τὸν ἀνέλπιστον ὑποστροφῆς χωρισμόν σου προξενήσῃς ἡμῖν, πολλὰς μὲν γὰρ ἀποδημίας ἐστείλω καὶ μακροτέρας ἔστ' ὅτε τῆς προθεσμίας. ἀλλ' ὅμως κἂν ὀψὲ, ἦκες γοῦν, καὶ τῆς χαριεστάτης σου θέας ἡμᾶς ἔπλησας· νῦν δὲ καὶ τὴν ἀποδημίαν ὁρῶμεν ὡς χαλεπήν· δήμιον γὰρ καὶ ξίφος ὄχημα κέκτηται. καὶ τὸ πάλιν νοστῆσαί σε, ἀπροσδόκητον ὄν. ἐμοὶ μὲν γὰρ τα τῆς χηρείας, τοῖς δὲ τέκνοις ἡμῶν τὰ τῆς ὀρφανίας ἐπαπειλεῖ δυσχερῆ. ἐπικάμφθητι ἡμῖν καὶ κάμψον γόνυ τῷ διὰ τοῦτό σε τοῦ ζῆν ἀπελαύνοντι· μάλαξον τὸ σκληρὸν ἦθος ὑπείκων τῷ βουλήματι τοῦ κελεύοντος. καὶ συμμαλάξας πᾶν τὸ προσδοκώμενον τῷ ἡμετέρῳ χωρισμῷ ἀπηνές. καὶ γυνὴ μὲν οὕτως· ἑτέρωθι δὲ φίλοι, ὡς ἀφιλέταιρος οὗτος καὶ πρὶν μὲν, νῦν δὲ μάλιστα, καὶ μικρὸν ἢ οὐδὲν [5] φροντίζων συγγενῶν καὶ τῆς ἄλ-

---

4 Ven. ἐπάγομεν συγγενῶν καὶ φίλων καὶ τῶν ἰδίων. Καὶ οἷα εἰκὸς ἦν ἐφ' ἑκάστῳ τῶν πραττομένων καὶ λεχθῆναι δυναμένων ἐξ αἰτίας τῶν ἐμφαινομένων προσώπων ἐν τῇ διατυπώσει. ὡς ἐπὶ τούτου.

5 ἢ οὐδὲν Ven. om.

ἄλλης φρατρίας· τί γὰρ μέγα ἢ χαλεπὸν προσταττόμενος προτιμότερον ἄγει[6] τοῦ ζῆν τὸν θάνατον; οὐχὶ καὶ παῖς ὢν πολλάκις ὤκλασεν ἐπὶ γόνυ, οὐχὶ καὶ ἄκων πταίσας τὸν πόδα ὠλίσθησε πρηνὴς ἐπὶ γῆς;[7] τούτων τι καὶ τὸ παρὸν λογισάσθω, ἐξ οὗ τυράννου μὲν τῶν δι' ἐπιθυμίας πλησθήσεται φιλοτιμία· ἡμῖν δὲ περιέσται[8] ὁ φίλτατός τε καὶ θυμηρέστατος. ἀνάβλεψον ἄνθρωπε πρὸς τὸν οὐρανὸν, καὶ ἴδε τὰ κάλλη τούτου· καὶ τὸν ἐν αὐτῷ λαμπτῆρα, ἀμηχάνῳ τινὶ ὡραιότητος λάμψει τὴν οἰκουμένην πυρσεύοντα. μὴ καταλίπῃς τὸ γλυκὺ αὐτοῦ φῶς, οὗ τοῖς λαβοῦσιν αἴσθησιν οὐκ ἀνάλγητος πάντως ἡ στέρησις· πρόσχες τῇ γῇ, οἵοις καὶ ὅσοις παντοδαποῖς κομᾷ καὶ αὕτη καλοῖς καὶ τὴν ἀθάνατον δοκῶ μοι φύσιν ἱκανῶς ἐπάγεσθαι, μήτιγε δὴ ἄνθρωπον, ᾧ διαιτα πρὸς τοῦ κρείττονος τὸ θαυμαστὸν ἀφώρισται τοῦτο χωρίον. δεινὸν τοῖς παρὰ θεοῦ δεδομένοις μὴ χάριν ἔχοντα ἥδεσθαι, ἀλλ' ἐν ἐχθροῦ μοίρᾳ τὴν δωρεὰν ἀποτίθεσθαι, ἀλλ' οὐδεμία σοι τούτων φροντὶς· εἰ μὲν[9] βελτιόνων ἐλπίδι, οὐδεὶς ἂν μέμψαιτο· εἰ δ' οὐδενὸς ἕνεκεν, μανία τὸ πρᾶγμα καὶ παροινία οὐδ' ἥν τινα ἀπολιποῦσα ὑπερβολήν· ἀλλὰ γενοῦ τοῦ καθήκοντος· πολλάκις συμβούλους ἡμᾶς παρέλαβες, καί σε τοῖς προσήκουσι παρεστήσαμεν· τούτων τι καὶ τὰ παρόντα λελογισμένος τοῖς πρὸς τὸ ἄμεινον παρακαλοῦσι πάρασχε τὴν ῥοπὴν, πείρᾳ προειληφὼς, ὡς τὸ συμφέρον σοι ἀεὶ προμηθούμεθα· καὶ οὕτως μὲν ἐπὶ τῶν τοιούτων καὶ τῶν ὁμοίων, δίδωσι γὰρ ταῦτα καὶ χορηγεῖ ἡ ὑπόθεσις· ἐπεὶ καὶ τύραννος τυχὸν, ἂν ἐβούλετο, ἀνήσει τὴν τιμωρίαν, ἐὰν δὲ φόνου τυχὸν[10] ἤ τινος τῶν τοιούτων ὑπέχων τὴν δίκην ἐπὶ τῷ κολασθῆ-

6 Mon. ἄγειν τῷ ζῆν θάνατον. Ven. προτιώτερον ἔχεις. idem: ὤκλασας, ὠλίσθησας. 7 Mon. γῆν. 8 Mon. Ven. et Par. παρέσται. 9 Mon. ἐμοί. — tum Mon. μανίας τὸ πρ. κ. παροινίας. 10 Mon. h. l. et v. 27. τυχών. omisso praec. δέ.

ναι ἐκδίδοται, οὐκ ἔχει [11] ταῦτα χώραν πραχθῆναι, ἂν οὐδὲν ποιούντων ἢ λεγόντων [12] τῆς τιμωρίας ἐξελέσθαι δύναται.

ς'. Οἷον [13] ἡ ἔκφρασις· τὸ παρὸν δὲ τοῦτο παράγγελμα οὐ περὶ τῶν ἐναγωνίων ἐστὶ διηγημάτων, ἀλλὰ περὶ τῶν ἁπλῶς, ἱστορικῶν φημι καὶ πανηγυρικῶν· ἀντιδιαστέλλομεν γὰρ τὸ ἱστορικὸν τοῦ πανηγυρικοῦ, Ἀριστοτέλει ἐξακολουθοῦντες, τέταρτον τοῦτο εἶδος ἐπεισάγοντι ῥητορικῆς· τὰ δὲ ἐφεξῆς εἰρημένα Ἑρμογένει περὶ τῶν ἐναγωνίων προϊόντες σὺν θεῷ ἐπιδείξομεν, ἱστέον μέντοι, ὡς ἐκφράζοντές τινα μάλιστα τόδε [14] διατυπώσομεν διὰ τὸ ἐνάργειαν τηνικαῦτα ποιεῖν βούλεσθαι.

ζ'. Εἰ γὰρ κατὰ τοὺς τρεῖς χρόνους τῇ διατυπώσει χρῷο, προσκορὴς ἔσῃ, καὶ ψυχρολογίᾳ ἁλώσῃ· τὰ παρελθόντα δὲ μόνα διατυποῦν κελευόμεθα, [15] ἐπεί τοι δεόμεθα τὰ μηκέτι ὄντα ὥσπερ εἰς μέσον θεῖναι, καὶ οἱονεὶ ὑπ' ὄψιν ἀγαγεῖν τῇ διασκευῇ, [16] ὡσαύτως δὲ καὶ τὰ μέλλοντα ἔσεσθαι [17] ἔξεστι διατυποῦν, ὡς ἂν τὰν μήπω ὄντων ὡς ἤδη παρόντων αἴσθησιν λάβωμεν, τὰ γὰρ παρόντα [18] ὡς ἐνεστῶτα καὶ δῆλα τοῖς πᾶσιν ὄντα γι-

---

11 Mon. ἔχει om. 12 Mon. τοιούτων ἢ λεγομένων. 13 Ven. γίνεται δὲ ἡ διατύπωσις τοῦ πράγματος· τὸ παρὸν τοῦτο παράγ. 14 Ven. τότε. Post ποιεῖν βούλεσθαι addit idem: ἢ ἀπὸ τῶν παρόντων, ὡς ἔχουσιν αἱ τῶν καιρῶν ἐκφράσεις. Ἔξεστι τὸν παρελθόντα ἀπολαβόντα ἔν τισι διηγήμασιν ἐνδιασκεύως ἀποπληρῶσαι τὸ ἄνω μέρος. 15 Mon. κεφαλαιούμεθα. 16 Ven. addit: τὰ γὰρ παρόντα γινώσκεται· contra paullo post τὰ γὰρ παρόντα — — γινώσκεται om. 17 ἔσεσθαι Par. om. 18 Sch. min. ὡς ἔχουσιν αἱ τῶν καιρῶν ἐκφράσεις. Ταῦτα διατυπούντων· καὶ γὰρ ἡμεῖς καὶ ταῦτα διατυποῦμεν τῷ λόγῳ, οὐχὶ αὐτὰ διατυποῦσι τὰ πράγματα. Τὸ ἄνω μέρος· τὸν παρεληλυθότα λέγει. Τοῖς αὐτοῖς τῆς διασκευῆς μέρεσιν ἢ ῥήμασιν. Μελλόντων διατύπωσιν· νόησον ἀκριβῶς, ὅτι τοῦτο λέγει, ἵνα ὅτι καὶ ὁ μέλλων καὶ ὁ παρῳχηκὼς, ἢ καὶ ὁ ἐνεστὼς ἐπιδέχονται διασκευὴν,

νώσκεται, ταῦτα δὲ τὰ κατὰ τοὺς τρεῖς φησι χρόνους διηγήματα ὡς ἐπίπαν ὑπὸ μόνην τῶν ἐναγωνίων ἐμπίπτει τὴν πραγματικήν· ἐπὶ γὰρ τοῦ δικανικοῦ σπανίως ἐστὶν εὑρεῖν τοῦτο· ἅπασαι γὰρ αἱ τοῦ δικανικοῦ διηγήσεις τοῦ παρεληλυθότος εἰσίν· οὐδεὶς γὰρ τῶν ἄρτι πραττομένων καὶ μήπω πέρας εἰληφότων ὑπέχει εὐθύνας· μόνη οὖν τοὺς τρεῖς χρόνους ἔχει πραγματικὴ, διὰ μὲν τὰ ἐνεστῶτα ἔσθ' ὅτε δοκιμάζουσα καὶ τῶν μελλόντων κατευστοχεῖν, περὶ ὧν καὶ πρόκειται ταύτῃ διαλαβεῖν, ἀνατρεχούσῃ δὲ καὶ ἐπὶ τὰ πρώην, εἴπερ εὑρίσκοιτο τὸ προτεθὲν αὐτῇ διαπεράνασθαι καὶ ἐκ τούτων, πᾶν γὰρ τὸ ἐπίσκεψιν προτεινόμενον ἢ κακὸν ἢ σύμφερον καὶ τὰ ἑξῆς κατὰ τοὺς τρεῖς, εἰ ἐγχωρεῖ, δοκιμάζεται χρόνους, κατὰ τὸν παρεληλυθότα, ὅπως πρὶν ἢ γένηται τὸ παρὸν εἶχε τὰ πράγματα, ὅπως τε νῦν ἔχει, τοῦτο δὲ οὐ δεῖται διδασκαλίας ποικίλης, αἴσθησιν τοῦ παρεῖναι παρέχον, καὶ ὅπως ἕξει μετὰ τοῦτο, καὶ τὸ ἐκβησόμενον τοῖς τελικοῖς συγκαταριθμεῖται. Ὑπόδειγμα δὲ τῶν λεγομένων τοῦτο, ῥεῖ ἐπὶ τὴν Κατάνην ἀπὸ [19] τῆς Αἴτνης τὸ πῦρ· καὶ συμβουλεύει τις μετοικεῖν· ἐνταῦθα γὰρ διατυπώσει ὁ

ἀποκληρῶμεν ταύτην τῷ παρῳχηκότι ἐν τῇ διηγήσει· τὸν δὲ ἐνεστῶτα καὶ τὸν μέλλοντα ἐῶμεν, καὶ μὴ ἐνοχλῶμεν, καὶ ἐν ἐκείνῳ διὰ τῆς διασκευῆς, εἰ μὴ ἀνάγκη τις ἐπείγοι. Ταῖς αἰτίαις· τετεχνολόγηκε περὶ τούτων ἐν τῇ διηγήσει, οὗ φησι· πλατύνεται ἡ διήγησις τρισὶ καὶ τέτρασι κώλοις καὶ τοῖς πεπραγμένοις καὶ τοῖς παραλειφθεῖσι καὶ ταῖς αἰτίαις αὐτῶν, καὶ τοῖς λογισμοῖς, ὡς ἔχει τὸ παράδειγμα τοῦ στρατηγοῦ τοῦ μὴ ἀνοίξαντος τὰς πύλας. Παντάπασιν ἦ ἄπορον· ἐν τῷ κατὰ Κόνωνος αἰτίας τό· ἐξήλθομεν εἰς Πάνακτον [p. 1257. Cod. Ναύπακτον.] Ταῖς ὑποδιαιρέσεσιν· τί διαφέρει τὸ πλαστὸν τῶν ἐξ ὑποδιαιρέσεως, ἐτεχνολόγησεν Ἑρμογένης ἐν τῷ περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. ἐσαφηνίσαμεν δὲ καὶ ἡμεῖς τοῦτο ἐκεῖσε κατὰ δύναμιν. Φυλάξομεν· ἤτοι ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἢ ἐν τοῖς ἐπιλόγοις. 19 Ven. ἐπί.

ῥήτωρ τὴν πρὸ τοῦ πυρὸς τῆς ῥύσεως [20] ἀδεᾶ καὶ πεποιθότως τῶν πολιτῶν [21] κατοικίαν φάσκων, ὅπως ἔχοι αὐτοῖς τὸ πρᾶγμα [22] καθ' ἡδονήν, σπείρουσι μὲν τοὺς ἀγροὺς, φυτεύουσι δὲ τὴν γῆν ἀνυπόπτως τῆς νῦν περιστάσης [23] ἀνάγκης, ἐξάγουσι δὲ ποίμνια καὶ βουκόλια καὶ συνάγουσιν ἐπὶ νομάς τε καὶ ἀπὸ νομῶν σὺν ἀγαθῇ τῇ ἐλπίδι· καὶ οἷον ἔφριττε μὲν τὰ λήϊα γλαφυρὸν, ἠρέμα ζεφύρου ὑποκινοῦντος, ἔβρυε δὲ τὰ φυτὰ, καὶ λειμῶνες τῇ ποικιλίᾳ χρωννύμενοι τῶν ἀνθέων ἔαρος [24] ὥρᾳ εἱστίων τὰ αἰσθητήρια κάλλεσιν ἀμυθήτοις καὶ ταῖς εὐώδεσιν ἀποφοροῖς· ἄρνες δὲ καὶ μόσχοι καὶ ἔριφοι ἁπαλὸν σκιρτῶντες καὶ συνεχὲς ἡδὺ θέαμα τοῖς ὁρῶσιν καθίσταντο, [25] ἅπερ ἅπαντα ἐπέλιπεν νῦν τῇ δυσελπιστίᾳ, μήτε τῶν ὑπόντων εὐφραινόντων διὰ τὰ προσδοκώμενα χαλεπὰ, μήτε τῆς προτέρας ἐπιμελείας ἀξιούντων ἡμῶν τὰ πρὸ τοῦ περισπούδαστα· ἐννόει γάρ μοι τὰ μέλλοντα, ἐπεὶ γὰρ πυρὸς αὕτη φύσις τὰ ἐμπίπτοντα δαπανῶσαν [26] τὰ ὑπόλοιπα ἐπινέμεσθαι, τίνες ἐσόμεθα, ἐπειδὰν ἐπιλείποντες τοῦ ὑπεκκαύματος αὐτῇ τῇ πόλει τὸ πῦρ ἐπιστῇ βρέμον μὲν ἀπηχὲς, [27] μυκώμενον δὲ ἄγριον, πᾶν δὲ τὸ ἐμποδὼν ἀφανίζον· καὶ μέσους ἡμᾶς σωτηρίας ἀπολάβῃ ἀπόρους. [28] διὰ ταῦτα μὲν μεταναστεύειν χρεών. Διὰ τί μὲν οὖν τὰ ἐνεστῶτα οὐ διασκευάζεται, [29] εἴρηται, καὶ ὅτι ἐπὶ μόνης πραγματικῆς τὸ νῦν τοῦ τεχνικοῦ ἰσχύει παράγγελμα, τὸ γὰρ τῆς ἱστορίας οὐ τῶν ἐναγωνίων. [30]

---

20 Mon. ῥήσεως ἀ. κ. πεπεθότος. 21 Par. τῶν πολιτικῶν. 22 τὸ πρᾶγμα Par. om. 23 Mon. ἀνυπόπτως νῦν παρὰ πάσης ἀν. 24 ἔαρος ὥρᾳ Ven. om. 25 Mon. καθίστανται. Ven. καθίσταντο. 26 Mon. παρῶντος δαπανῶντος. Ven. δαπανῶσαν. ἀπόρους.
27 Mon. ἀποχές. 28 Ven. ἐρήμους. 29 Ven. κατασκευάζεται. 30 Sequitur in Par. Οἱ μὲν τὴν ἀρχὴν τοῦ λόγου εἶπον, οἱ δὲ τὸν παρελθυθότα, ἡμεῖς δέ φαμεν ἄνω μέρος τὸ τέλος τῶν

ή. Σημειωτέον,[31] ὅτι ἐνταῦθα οὐδαμοῦ χρόνου διαφορᾶς μνημονεύει· λέγει γὰρ περὶ τοῦ δικανικοῦ, ὅπερ ἀεὶ περὶ τὸν παρῳχημένον[32] ὁρᾶται χρόνον, ἐπειδὴ ἐνταῦθά ἐστι τοῖς προγενεστέροις τῶν περὶ οὗ ἡ κρίσις ἀποχρήσασθαι πρὸς αὔξησιν τούτων, καὶ διασκευάσαι ὁμοίως καὶ ταῦτα, ὥσπερ ἐν τῷ τῆς παραπρεσβείας τὸ κατὰ Φωκέας πάθος, διὰ τοῦτό φησιν, ὅτι ἐν ταῖς διηγήσεσιν αὐτοῦ μνήμην[33] ποιησόμεθα, τουτέστι τοῦ διασκευασθῆναι ὀφείλοντος, ὡς τοῦ πράγματος αὐτοῦ, τοῦ περὶ οὗ ἡ κρίσις, οὐ διασκευαζομένου μόνον, καὶ τοῦτο ὅτε δεήσειεν κατὰ τον τῆς διηγήσεως τόπον, ἀλλὰ κα-

---

ἀγώνων, καὶ τὸν μέλλοντα χρόνον· καὶ πόθεν τοῦτό φαμεν; ἐξ αὐτοῦ τοῦ τεχνικοῦ. φησὶ γὰρ, ἔξεστι τὸν παρελήλυθότα χρόνον ἀπολαβόντας τουτέστι χωρίσαντας καὶ διηγηματικῶς εἰπεῖν, δηλονότι ἐν τῇ ἀρχῇ τοῦ λόγου, ὅπου καὶ διήγησις, εἶτα τί ἐνδιασκεύως φησὶν ἀποπληρῶσαι τὸ ἄνω μέρος, τουτέστι τὸ ἀγωνιστικώτερον μέρος τοῦ λόγου, καὶ τοῦ μέλλοντος χρόνου, καὶ τὸ παράδειγμα θρανότερον ἐν τῷ ἐγκωμίῳ τῶν ἄνω μερῶν. Διηγησάμενος γὰρ τὸν διωγμὸν μέχρι τῶν ἀγώνων αὐτῶν διατυποῖ μετὰ τοὺς λόγους τοῦ τυράννου, καὶ τῶν μαρτύρων· ἄτοπον, τοὺς ἐν τοῖς πολέμοις ἀνδραγαθήσαντας τὸν τῶν κακούργων ὑποστῆναι θάνατον. Τὸ τοῦ παρελθόντος φησὶν, ὡς ἔχει τὸ τοῦ Δημοσθένους· [de fals. leg. p. 361.] θέαμα δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐλεεινόν· ὅτε γὰρ ἐπορευόμεθα εἰς Δελφοὺς, ἐξ ἀνάγκης ἦν ὁρᾶν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια καὶ παιδάρια ὀλίγα καὶ πρεσβύτας οἰκτρούς. Αὕτη διήγησις τοῦ παρελθόντος ἐνδιάσκευος, χρὴ οὖν, φησὶν, ὅτε ἐξ ἀνάγκης καὶ κατὰ τοὺς τρεῖς χρόνους ἐμπέσοι τοιαύτη διήγησις, τὸν μὲν παρελήλυθότα διασκευάζειν ἢ ὡς οὐ μέλλοντας ἐνοχλήσειν, καὶ τοῖς κάτω μέρεσιν, εἴτουν τῷ ἐνεστῶτι· ἐπὶ τούτου γὰρ οὐκ ἀναγκαία ἡ διασκευὴ πάνυ. Καταλιπόντας οὖν ἐπ' αὐτοῦ τὸ διασκευάσαι διὰ τὸ προσκορὲς δεῖ διασκευάζειν τὸν μέλλοντα· τοῦτο δὲ καὶ οἰκονομίαν εἶπε. 31 Ven. praemittit: εἰ δὲ εἴη τὸ πρᾶγμα ὄφειλον διεσκευάσθαι καὶ ἄνω καὶ κάτω. 32 ὁρᾶται χρόνον Mon. om. Ven. ἐπειδὴ δέ. 33 Mon. μνήμη. Ven. μνήμην. Par. μνείαν.

τασκευαζομένου μόνον, καὶ τοῦτο ὅτε δεήσειεν, εἴπομεν δὲ τοῦτο, ἐπειδὴ καὶ αὐτὸς οὕτως ἐδίδαξεν· εἰσὶ καὶ ἁπλαῖ διηγήσεις· οὐ διασκευάζεσθαι δὲ ἔφαμεν κατὰ τὸν οἰκεῖον τόπον τῆς διηγήσεως τὸ περὶ οὗ ἡ κρίσις, ἐπειδὴ ἐν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὅπου καὶ ἡ τελεία αὔξησις οὐδὲν κωλύει, καὶ ἐπὶ τῶν ἐπιλόγων. τὸ δὲ περὶ οὗ ἡ κρίσις προσεθήκαμεν, ἐπεὶ τὸ πρὸς τὴν κρίσιν συμβαλλόμενον καὶ βοηθοῦν [34] διήγημα διασκευασθήσεται πάντως· χρὴ μέντοι εἰδέναι, ὡς τότε ἄπορον εἰς διατύπωσιν τὸ πρᾶγμα, ὅταν ἀφ᾽ ἑαυτοῦ ἰσχύῃ ἐν τῇ διηγήσει, ὡς αὐτὸς οὗτος ἐδίδαξεν ὁ τεχνικὸς, διὸ καὶ κατασκευάζεσθαι μόνον διδάσκει ἡμᾶς διὰ [35] τούτων τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· οὐ τῷ ὑπομερισμῷ, ὥσπερ εἴωθεν ταῦτα, καθὼς καὶ αὐτὸς διδάξει προϊών· ἀλλὰ κατασκευάζεσθαι λέγει ταῦτα, ὅτε διατυπώσεως ἀπορεῖ τὰ πράγματα τῷ πλαστῷ· ὃ μετὰ τὸ ἐπιχείρημα καὶ τὴν ἐργασίαν τίθεται· καὶ τούτου ὑπόδειγμα παραθήσομεν μετ᾽ ὀλίγον.

Τὸ [36] ἀθρόον οὕτως, ἀλλ᾽ οὐρῶν σὺν ἡμῖν καὶ τὰ οὐροδόχα συντρίβων ἀγγεῖα, πῶς οὐ ταῖς ἐσχάταις περιέβαλες ἡμᾶς ἀτιμίαις; εἶτα τὸ πλαστὸν μετὰ τὸ ἐπιχείρημα καὶ τὴν ἐκ παραβολῆς ἐργασίαν οὕτως· τὸ γὰρ εὑρεῖν καὶ ἀλλοεθνέσι χείριστον, μήτι γε δὴ πολίταις τε καὶ συστρατιώταις· τοῦτο τὸ ἐπιχείρημα ἀπὸ προσώπου καὶ πράγματος, εἶτα ἡ ἐργασία ἀπὸ μικροτέρου· οὐδὲ γὰρ ὁ ἐμπτύσας τινὰ ἐγκλήματος ἀπολύεται, ἀλλ᾽ ὑπέχει καὶ μικροτέρας ὕβρεως δίκην· εἶτα τὸ πλαστὸν οὕτως· εἰ δὲ τότε, ὅτε ἀσελγαίνειν αὐτοῖς ταῦτα ἐπεχειρεῖτο, παρῆν τις σωφρονῶν τῶν δυναστείας περιβεβλημένων, ἆρα ἂν

---

34 Ven. προσβοηθοῦν. 35 διὰ Mon. et Ven. om., mox Ven. προϊὼν διδάξει. 36 Ven. praemittit: ἐὰν δὲ παντάπασιν ᾖ ἄπορον εἰς διατύπωσιν τὸ πρᾶγμα, ὡς ἐν τῷ κατὰ Κύνωνος αἰκίας τὸ ἐξήλθομεν εἰς Πάνακτον, ἀλλ᾽ ἀθρόως εἰπόντες ἐκεῖ τὸ πέρας.

ἠνέσχετο τούτων, οὐκ ἂν ἔγωγε φήσω· ἰστέον δὲ, ὡς τοιαύτη κατασκευὴ λέγεται [37] ἐπὶ τούτων, καθὰ ἐνταῦθα ὑπεδειγματίσαμεν.

ι. Πλάσαντες, ὅταν μετὰ προσωποποιΐας προάγωμεν, πλαστὰ δὲ ἐπιφέροντες, ὅταν ἄνευ προσωποποιΐας· τί δὲ τὸ λεγόμενον, ἔγνωμεν ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους.

ιά. Καλῶς τοῦτο ἐπεσημήνατο, ἐπεὶ δύναται ὁ ὑπομερισμὸς καὶ ὡς πνεῦμα ἀποτάττεσθαι καὶ ὡς περίοδος συστραφῆναι· ὡς πνεῦμα μὲν οὕτως· ἐπὶ γὰρ τοῦ τοὺς υἱοὺς ἀποκτείναντος ἀκρίτως γενόμενος ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ὑπομερίσας κατὰ πνεῦμα ἐρεῖς, [38] εἰ γὰρ εἰς μηδὲν ἀγχιστεύοντας τὴν μιαιφονίαν εἰργάσατο, εἰ γὰρ εἰς ξένους ἢ εἰς ὀθνείους, οὐκ ἂν ἀπήτησα δίκας αὐτὸν, οὐκ ἂν προὐκαλούμην, οὐκ ἂν ὑπέβαλον τιμωρίᾳ, νυνὶ δὲ φιλτάτους, γνησίους, οὓς ἐγέννησεν, οὓς ἔθρεψεν· ὡς δὲ περίοδος οὕτως· ἄλλος μὲν οὖν [39] τις ἐνδίκως ἂν δοίη τιμωρίαν, καὶ εἰς μηδένας τῶν προσηκόντων τὸ τοῦ φόνου δεδροκὼς μῦσος· οὗτος δὲ τρεῖς ἀποκτείνας υἱοὺς ἀθῳ-

37 Mon. λέγει. Par. λέγεται. Ven. τοιαύτῃ κατασκευῇ λέγει χρῆσθαι ἐπὶ τούτων, καθὼς ἐ. ὑπ. Καὶ τοὺς ὑπομερισμοὺς, οὓς ἐμέλλομεν ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τὰ ἑξῆς. Καλῶς τοῦτο ἐπεσ. Litteram ι. habet post litt. ιά. Τοῖς ἐπιοῦσι φυλάξομεν τῇ διασκευῇ, ἥτις ἦν ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἢ ἐν τοῖς ἐπιλόγοις καὶ πλάσαντές τινα· πλάσαντες ὅταν — — — — ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους γνωσόμεθα. (Tenendum cap. περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους in cod. post cap. περὶ διασκευῆς proferri.) Cod. addit: Ὡς κατασκευάζοντες· ὡς εἴωθε ταύτην κατασκευάζεσθαι τῇ ὑποδιαφόρει· λέγει δὲ περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ὡς ἀπαρατηρήτως ἔχω. Τούτους φυλάξομεν τῇ διασκευῇ, ὡς διατυποῦντες, μόνῃ τῇ τῶν κώλων ἁρμονίᾳ χρώμενοι. Διαφέρει τῶν ἄλλων ἀναιρεθέντων τῆς δασκευῆς τόπων· πρόδηλον ὅτι αὐτὸς νῦν περὶ τῆς ἐν ἐπιλόγοις διασκευῆς ἤτοι διατυπώσεως λέγει. 38 Ven. οὕτως ἐρεῖς. 39 οὖν τις Ven. om.

ωθήσεται· οὕτως μὲν οὖν δυναμένου τοῦ ὑπομερισμοῦ ἀποταθῆναι καὶ συστραφῆναι, φησὶν ἐνταῦθα ὁ τεχνικὸς, ὡς ἡνίκα διαποροίη διασκευῆς ἡ διήγησις, τοὺς ὀφειλομένους ὑπομερισμοὺς τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐν τῇ διασκευῇ τηρήσεις, οὐχ ἵνα χρήσῃ οὕτως, ἀλλ᾽ ἵνα τῇ μὲν ἐννοίᾳ ὑπομερίσῃς, τῇ λέξει δὲ διατυπώσῃς βραχέσι τοῖς κώλοις χρώμενος· δύο δὲ λοιπὸν ὄντων τῶν [40] τῆς διασκευῆς τρόπων, ἑνὸς μὲν ἐν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἑτέρου δὲ ἐν τοῖς ἐπιλόγοις, ἐν οἷς τὸν ἔλεον ἐκβάλλομεν, παρ᾽ ὅσον ἐπὶ τῶν τοιούτων ἐκβάλλεται ἡ διασκευὴ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους εὔδηλον, ὡς κατὰ τοὺς ἐπιλόγους τὰ νῦν ἰσχύει παραγγέλματα.

ιβ΄. Τῶν ἄλλων ἀναιρεθέντων τῆς διασκευῆς τόπων, πρόδηλον, ὡς ταῦτα νῦν περὶ τῆς ἐν ἐπιλόγοις διασκευῆς [41] ἤτοι διατυπώσεως λέγει· πῶς δὲ διάφορα ἔσται τὰ τῆς φράσεως μόνον; ἵνα μὴ λέγωμεν ὡς πνεῦμα ἀποτείνοντες, ἢ στρογγύλως κατὰ περιόδους ἐκφέροντες, ὡς φθάνομεν τὸ παράδειγμα θέντες, ἀλλ᾽ οὕτως νῦν τοῦτον ὁρᾶτε τὸν ἀπὸ τῆς ἀκριβείας τοῦ νόμου λαβόντα συναίσθησιν τοῦ εἰργασμένου αὐτῷ κακοῦ, ἀλλ᾽ ἐκεῖνον τὸν ὠμὸν, τὸν ἀπάνθρωπον, τὸν ἀγνοήσαντα τὴν φύαν, τὸν μὴ ἑνὸς ἀρκεσθέντα τῷ μιάσματι, τὸν ἐχθροῖ χεῖρον περὶ [42] τὰ φίλτατα διατεθέντα, τὸν μηδὲ τὴν τοῖς ξένοις ὀφειλομένην αἰδῶ τοῖς γένεσι διασώσαντα, ταῦτα γὰρ οὐδὲν ἕτερον κατὰ τὴν ἔννοιαν, ἢ ὁ ὑπομεριμὸς, διαφέρει δὲ τῷ ἀσυνδέτῳ καὶ τῇ βραχύτητι τῶν κώλων· ὡς διατυποῦντες δὲ εἴρηται τῷ τεχνικῷ ἀντὶ τοῦ παθητικῶς ἐξαγγέλλοντες· ἡ γάρ τοι διατύπωσις παθεῖνειν εἴωθεν

---

40 τῶν Ven. om., idem habet διασκ. τόπων. 41 διασκευῆς Mon. om., idem habet: διατυπώσας. Sch min. ὡς κατασκευάζοντες ὡς εἴωθε ταῦτα κατασκευάζεσθαι τῇ ὑποδιαιρέσει, λέγεται δὲ περὶ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἅτε ἀπαραιτήτως ἔχει. 42 περὶ Mon. om.

τὸν ἀκροατήν· γίνεται δὲ τούτῳ τῷ ἀσυνδέτῳ σχήματι καλουμένῳ, διὸ καὶ ὡς ἐπίπαν τοῦτο τὸ σχῆμα τῷ παθητικῷ τόπῳ τηρεῖται, ὅς ἐστιν οἱ ἐπίλογοι, ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν καὶ παθῶν περιέχοντες.

ιγ'. Κατασκευαστικὰ μὲν γὰρ κῶλα τὰ μακρὰ[43] καὶ σχοινοτενῆ, ὡς τό· ἀλλ' ὁ τὴν Εὔβοιαν σφετεριζόμενος· διασκευαστικὰ δὲ τὰ βραχέα καὶ πάθη κινοῦντα, ὡς τό· ἦν ὁρᾷν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, καὶ ὥσπερ ἃ μετ' ὀλίγον αὐτὸς ἐρεῖ οὕτως ὁ τεχνικὸς, τὸ τριακοσίους ἐθύσατε καὶ τὰ ἑξῆς, ἃ σχεδὸν τῇ βραχύτητι κόμματα ἂν εἴη.

ιδ'. Τοῦτο λέγει φυλάττεσθαι ἐν τῇ διασκευῇ τοῦ μὴ κατασκευαστικῶς ἐπιχειρῆσαι.

ιέ. Ἀπὸ τῆς διασκευῆς δηλονότι, ὡς ἀνωτέρω παρεθέμεθα, τὸ δὲ, εἰ γὰρ καὶ διαποροίη τὸ πρᾶγμα διασκευῆς ἀθρόως, ὁ ὑπομερισμὸς προσωποποιΐας οὐκ ἀπορεῖ, ἀντιπίπτοντος πόρου ἐστὶ λύσις, ὥς τινος γὰρ ἠπορημένου ἄρα ἐνδέχεται, ὥσπερ τὸ πρᾶγμα ἀπορεῖ πολλάκις διατυπώσεως· οὕτως καὶ ὁ ὑπομερισμὸς προσωποποιΐας λύει τὸ ἀντιπίπτον, ὡς οὐκ ἀπορεῖ· εἰ γὰρ σχεδὸν ταὐτόν ἐστι πᾶς ὑπομερισμὸς ἤτοι ὑποδιαίρεσις προσωποποιΐα, ὡς προϊὼν διδάξει, πῶς ἄρα προσωποποιΐας ἀπορήσει; δεῖ γὰρ[44] τὸ ἀθρόως προσυπακούεσθαι τὸ διασκευῆς ἀθρόως ἐπιφερόμενον, δεῖγμα γὰρ τοῦτο καὶ πα-

---

43 Τὰ μακρὰ Mon. om. Sch. min. κατασκευαζόντων σχοινοτενῆ, διασκευαζόντων κομματικά. Περὶ περιόδου, καὶ ὅτι ἐκ τῶν ὑποδιαιρέσεων αἱ προσωποποιΐαι τίκτονται, ἐτεχνολόγησεν Ἑρμογένης ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· περὶ δὲ περιόδου ζήτει καὶ τοῦ τετάρτου τόμου τούτου τοῦ βιβλίου τὸ τέταρτον κεφάλαιον. 44 Mon. δέ. Schol. min. τοῦτο ποιεῖν· ἀνατρέχειν ὁμοίως εἰς τὸ πρᾶγμα. Ταυτολογεῖ· ταὐτὰ λέγει· ὅτι φάσκει καὶ δύναται ἥ τε διασκευὴ καὶ ἡ τῶν χωρίων ἀγωγή. Τί ἐστι χωρίον· τὰ ἐξ ὁμοίων ἱστοριῶν εἰς ἀνατροπὴν ἢ ἔλεγχον τῶν νῦν διασκευαζομένων ληφθέντα, ἃ καὶ πρὸς πλέον πάθος οἶδε κινεῖν τὸν ἀκροατήν.

ραστατικὸν τοῦ, πάντως ὅτι διασκευῆς ἄπορον τὸ πρᾶγμα τότε ἀθρόως ἐπιφέρεται.

Δεῖ προσυπακούειν τὸ ἐπιφερόμενον, ἵνα ᾖ νοούμενον οὕτως, εἰ γὰρ καὶ ἀθρόως ἐπιφερόμενον τὸ πρᾶγμα διασκευῆς ἀπορεῖ, ἀλλ᾽ οὐχὶ καὶ ὁ ὑπομερισμὸς προσωποποιΐας.

ιζ. Ὡς γὰρ ἀπὸ τῆς διασκευῆς δυνατὸν ἀναδραμεῖν ἐπὶ τὸ πρᾶγμα ἀνεμποδίστως, οὕτως καὶ ἀπὸ τοῦ ὑπομερισμοῦ παράδειγμα, πῶς ἀπὸ τῆς διασκευῆς ἐπὶ τὸ πρᾶγμά ἐστιν ἐπανελθεῖν τὸ προκείμενον τοῦ τεχνικοῦ· μετὰ γὰρ τὸ εἰπεῖν ἐνδιασκεύως, τριακοσίους ἐθύσατε, [45] ὡς ἱερεῖα, ὡς σφάγια ὠμῶς καὶ ἀνηλεῶς, καὶ διατυπῶσαι οὕτως λέγοντας, οἷα ἐποίουν περιπτυσσόμενοι [46] ἀλλήλους, ἐπανατρέχεις εἰ βούλει πάλιν ἐπὶ τὸ πρᾶγμα ἀνεμποδίστως λέγων, τούτους ἐθύσατε, διεφθείρατε τὸν ἀριθμὸν ὑμῶν [47] τὸν ἐπαινούμενον. ἀπὸ δὲ τοῦ ὑπομερισμοῦ οὕτως· οἷον ὡς ἐπὶ τοῦ μάγου τοῦ αἰτήσαντός τινος θυγατέρα καὶ μὴ τυχόντος, εἶτα πεποιηκότος αὐτὴν [48] εἰδώλου ἐρᾶν· ἐνταῦθα γὰρ μετὰ τὸ ὑποδιελεῖν τὸν τοῦ εἰδώλου ἔρωτα καὶ εἰπεῖν οὕτως· εἰ γὰρ ἀνδρὸς ἦρα, εἰ γὰρ σοῦ αὐτοῦ ἦρα, οὐκ ἂν ἐπὶ σὲ ἦγον τὴν αἰτίαν, εὐθὺς ἀνατρέχει ἐπὶ τὸ πρᾶγμα, λέγων οὕτως, νῦν δὲ εἰδώλου ἐρᾷς, πῶς οὐκ ἐπί σε ἀνοίσομεν τὴν αἰτίαν· ὡσαύτως δὲ τετήρηται καὶ ἐπὶ τῶν λεγομένων χωρίων [49] γινόμενον· διό φησι καὶ ὁ τεχνικός· „ταυτολογεῖ δὲ διασκευῇ καὶ ἡ τῶν καλουμένων χωρίων ἀγωγή·“ ἀντὶ γὰρ τοῦ ὅμοιον πάσχει εἶπε τὸ ταυτολογεῖ, καὶ τοῦτο ἀπὸ τοῦ παραδείγματος δῆλον ἀπὸ τοῦ τεχνικοῦ, χωρία δὲ λέγεται τὰ ἐξ ὁμοίων ἱστοριῶν εἰς ἀνατροπὴν ἢ ἔλεγχον τῶν νῦν διασκευαζομένων λαμβανόμενα, ἃ καὶ πρὸς πλέον πάθος οἶδε κινεῖν τὸν ἀκροατήν. [50]

---

45 ἐθύσατε Mon. om. 46 Mon. περιπτόσσοντες. 47 ὑμῶν Mon. om. 48 Mon. αὐτοῦ. scr. αὐτήν. 49 χωρίων Mon. om. 50 Sequitur in Par.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.

Cap. I.

Περὶ λόγου σχημάτων.

ά. Διδάξας ἡμᾶς ὁ τεχνικὸς ἐν τῷ τρίτῳ τόμῳ περὶ προκατασκευῆς καὶ βιαίου, εἶτα περὶ κεφαλαίων εἰσαγωγῆς καὶ ἐπιχειρημάτων, ἐνστάσεώς τε καὶ ἀντιπαραστάσεως, ἐργασίας τε ἐπιχειρημάτων καὶ ἐνθυμήματος, περί τε τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τάξεως ἐπιχειρημάτων ἀμφί τε ὅρου [1] καὶ διασκευῆς, νῦν ἐκτίθεται διδασκαλίαν καλλίστην περὶ τῶν τοῦ λόγου σχημάτων, καί φησιν· ὅσα μὲν τῶν ἐπιχειρημάτων ἢ τῶν ἐργασιῶν πολιτικά ἐστι τῷ νῷ καὶ ἀποδεικτικά, ταῦτα προσήκει στρογγύλως ἐκφέρεσθαι, καὶ κατὰ ἀντίθετον καὶ περιόδους, ὅσα δὲ πανηγυρικὰ τῷ νῷ ἢ παραδειγματικὰ ἢ ἐκ παραβολῆς λαμβανόμενα, ταῦτα δεῖ πνευματικῶς ἐκφέροντας καὶ ἀκμαίως ἐκφέρειν, καὶ οὕτως μὲν διαιρῶν τὰ ἐπιχειρήματα εἰς δύο, καὶ τὰς ἐργασίας εἴς τε πολιτικὰ καὶ πανηγυρικά, τὸ μὲν σχῆμα τῶν πολιτικῶν φησι δεῖν εἶναι στρογγύλον καὶ κατὰ τὰ ἀντίθετα καὶ περιόδους, τὸ δὲ σχῆμα τῶν πανηγυρικῶν κατὰ πνεῦμα καὶ ἀκμὴν ἐκφέρεσθαι· καὶ ἐπειδὴ οὔπω ἦν μνημονεύσας τῶν τοιούτων σχημάτων, πρῶτον μὲν διδάσκει ὑποκατιὼν ἐν τῷ δευτέρῳ κεφαλαίῳ περὶ ἀν-

---

Ὅρα, πῶς ἀπὸ τοῦ χωρίου ἐπάνεισιν εἰς τὸ πρᾶγμα αὐτό· ἀντὶ γὰρ τοῦ εἰπεῖν, ὅτι ἀπέθανον ὑμῶν καὶ ἐν Θυραίᾳ τριακόσιοι, ἀλλὰ νόμῳ πολέμου, ὅπερ ἐστὶ τὸ χωρίον, ἐπανῆκεν εἰς αὐτὸ τὸ πραχθέν· ὑμεῖς δὲ τριακοσίους ἐσφάξατε· καλῶς οὖν προειληφὼς εἶπεν, ὅτι καὶ οἱ ὑπομερισμοὶ τὰ αὐτὰ λέγουσι τῇ διασκευῇ ἀνεμποδίστως· ἐπανέρχεται γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα, οἷον, εἰ δὲ ἕνα ἀπέκτεινας. νῦν δὲ τρεῖς ἀπέκτεινας, ταῦτα δὲ διασαφεῖ καὶ ἐν τῷ κατωτέρῳ χωρίῳ. 1 ὅρου Mon. om., posui ex conj.

τιθέτου, ἐν δὲ τῷ τρίτῳ περὶ περιόδου, εἶτα περὶ τοῦ σχήματος τῶν πανηγυρικῶν ἐπιχειρημάτων, δηλαδὴ περὶ πνεύματος καὶ ἀκμῆς καὶ οὕτως ἄριστα κατὰ τάξιν τὴν παρέπουσαν [1*] καὶ ἐκθέμενος καὶ σαφηνίσας ἓν ἐπιλήψιμον ἐποίησε περὶ τοῦ στρογγύλου σχήματος μὴ διαλαβών· εἰπὼν γάρ, ὅτι τὰ πολιτικὰ ἐκφέρεσθαι δεῖ πάντα ἐνθυμήματα στρογγύλως κατὰ τὴν σύγκρισιν, οὕτως γὰρ δριμύτητος πλείονος δόξαν ἀποφέρονται, [2] ἢ εἴ τις αὐτὰ ἁπλώσοι τῷ λόγῳ, ἢ πλανωμένῳ παραδείγματι ἐχρήσατο, οὐχ ὁποίῳ δεῖ κεχρῆσθαι ἐν τοῖς πολιτικοῖς, οἷον στρογγύλῳ, αἰτίαν μόνον προβαλλόμενος τὴν τοῦ Δημοσθένους χρῆσιν ὡς αὐτοῦ ἐν τῷ πολιτικῷ ἐπιχειρήματι ἡπλωμένῳ σχήματι χρησαμένου καὶ οὐ στρογγύλῳ· ἔδει οὖν αὐτὸν εἰπεῖν πρῶτον τί ἐστι στρογγύλον· εἶθ' οὕτω φάναι ὡς εἰ καὶ εἴπομεν ἐν τοῖς πολιτικοῖς ἐπιχειρήμασι σχήματι δέον κεχρῆσθαι στρογγύλῳ, ὅμως εὑρίσκεται πολλάκις ἀντὶ στρογγύλου ἡπλωμένον, ὡς παρὰ Δημοσθένει, ὡς ἂν ἀμφότερά τις μεμαθήκοι διαφορὰν τοῦ στρογγύλου καὶ ἡπλωμένου, ἀλλ' ἴσως ὡς φιλοσύντομος τὸ ἡπλωμένον διδάξας τὸ ἐναντίον αὐτοῦ ὑπονοεῖν ἡμᾶς εἴασεν, ὅπερ οὐκ ἔστι σαφοῦς διδασκαλίας· ἔστι τοίνυν στρογγύλου λόγος σύντομος ἐξ ἀντιθέσεως ἢ συγκρίσεως συμπλεκόμενος, μετὰ δριμύτητος ἐλέγχων τὸν ἐναντίον, ὡς τό· ὥσπερ γὰρ εἴ τις ἐκείνων ἑάλω, σὺ τάδε οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῷς ἄλλος οὐ γράψει.

β. Τέσσαρσι τόμοις στοιχειώσας ὁ τεχνικὸς τὸ περὶ εὑρέσεως τῷ μὲν πρώτῳ τόμῳ διεξῆλθεν περὶ προοιμίων, ἐν δὲ τῷ δευτέρῳ περὶ προκαταστάσεως, ἤτοι διηγήσεως, εἶτα πλάτους διηγήσεως καὶ μήκους, ἐν δὲ τῷ τρίτῳ πρῶτον περὶ κατασκευῆς καὶ λύσεων, εἶτα περὶ κεφαλαίων, ἐπιχειρημάτων τε καὶ εἰδῶν τῶν τῆς μεταλήψεως, ἐργασίας τε ἐπιχειρημάτων καὶ ἐνθυμήματος, ἀλλὰ μὴν

1* τὴν παρέπουσαν Mon. om. 2 Mon. ὑποφέροντας.

καὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τάξεως ἐπιχειρημάτων, ὅρου τε καὶ διασκευῆς· ἥκει δὲ νῦν καὶ ἐπὶ τὰ τοῦ λόγου σχήματα, ἕκαστον τῶν προεκτεθέντων ποίῳ σχήματι ἐκφέρεσθαι δεῖ [3] διδάσκων.

γ'. Πολιτικὰ ἀντὶ τοῦ δεινότητος φροντίζοντα καὶ τὸ πιθανὸν καὶ ἀναντίῤῥητον τῷ λέγοντι περιποιοῦντα.

δ'. Σχῆμα [4] στρογγύλον ἐστὶ λόγος σύντομος ἐξ ἀντιθέσεως ἢ συγκρίσεως συμπλεκόμενος [5] μετὰ δριμύτη-

---

3 δεῖ Mon. om. Ven. littera ά. et β'. omissa incipit ita: Ὅσα μὲν γὰρ τῶν ἐπιχειρημάτων ἢ τῶν ἐργασιῶν πολιτικά εἰσι τῷ νῷ· πολιτικὰ κ. τ. λ. 4 Ven. praemittit: προσήκει ταῦτα στρογγύλως. Post litt. β'. sequitur in Par. τί ἐστιν ἐπιχείρημα, καὶ τί ἐργασία, καὶ τί ἐνθύμημα, εἴρηκεν ἐν τῷ τρίτῳ τόμῳ ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ καὶ ὀγδόῳ κεφαλαίῳ, καὶ ὅπως γίνονται, καὶ πόθεν λαμβάνονται καὶ τὰ παραδείγματα αὐτῶν, καὶ ἔτι ἐν τῷ περὶ τάξεως ἐπιχειρημάτων σαφέστερον περὶ αὐτῶν εἶπεν, ὅ ἐστιν δέκατον κεφάλαιον τοῦ αὐτοῦ τόμου. 5 Par. λαμβανόμενος. Sch. min. Σημείωσαι ὅτι τὰ παραδειγματικὰ καὶ ἐκ παραβολῆς λέγεται εἶναι παηγυρικὰ ταῖς ἐννοίαις. Τῷ νῷ· τοῖς νοήμασι, ταῖς ἐννοίαις. Πολιτικὰ λέγονται καὶ ἀποδεικτικὰ τὰ αὐτά, τὰ κατὰ συστροφὴν περαινόμενα καὶ διὰ βραχέων τὸν λόγον ἀποτελοῦντα. Παραδειγματικὰ καὶ ἐκ παραβολῆς λαμβανόμενα, ἃ φασι χρῆναι πνευματικῶς ἐκφέρεσθαι καὶ ἀκμαίως, εὑρήσεις ἐν τῷ περὶ πνεύματος ὅ ἐστι κεφάλαιον τέταρτον τούτου τοῦ τόμου, μετὰ τὴν περίοδον κείμενον, καὶ εἴσῃ, πῶς ἀποτείνεται καὶ μηκύνεται κατὰ πνεῦμα λόγος καὶ δόξαν ἀκμῆς δίδωσι τῷ ἀκροατῇ. Κατὰ ἀντίθετα· τί ἐστιν ἀντίθετον καὶ τί περίοδος, μετ' ὀλίγα διδάξει ὁ τεχνικός. Παηγυρικά· τὰ ἀπὸ προσώπων ἢ παραδειγμάτων λεγόμενα ἢ λαμπρὰ, οἷα τὰ ἐν τῇ ἰδέᾳ τῇ λαμπρότητι. Πνευματικῶς ἀποτ. τὰ διὰ μακροῦ ἐκφερόμενα. Τούτῳ τῷ σχήματι· τῷ ἁπλοῦντι κατὰ πνεῦμα τὸ ἐνθύμημα. Ἐν τοῖς βιβλίοις· τὰ τοιαῦτα πνεύματά ἐστι περιοδικόν. Ἅρμοσταὶ καὶ φρούραρχοι ἐλέγοντο παρὰ Λάκωσιν οἱ ἐπιμεληταὶ τῶν πόλεων· οἱ φρούραρχοι, ἢ οἱ θυρωροὶ οἱ ἁρμόττοντες τὰς πύλας, ἢ οἱ τὰς

τος, ἐλέγχων τὸν ἐναντίον ὡς ἔχει τόδε. ὥσπερ γὰρ εἴτις ἐκείνων ἑάλω σὺ τάδε οὐκ ἂν ἔγραψας. οὕτως ἂν σὺ ἁλῷς, ἄλλος οὐ γράψει. [6] — Ἐπίτασίς ἐστιν τὸ οὔτε· οὔτε ὑπὲρ εὐεργετῶν ἐποίουν· ἐνδέχεται μὲν γάρ τινα ὑπὲρ φίλου κινδυνεύειν, ὑπὲρ δὲ τοῦ μηδὲν ὠφεληκότος εἰ μὴ καὶ παροργίσαντος κινδυνεύειν, πολλῆς ὡς εἰκός ἐστι τῆς φιλανθρωπίας καὶ ἐπιεικείας δεῖγμα τοῦτο.

πόλεις πρὸς φιλίαν συναρμόζοντες. Λέγει, τίνα ἦσαν τὰ κύκλῳ· ἦτησαν Ἀθηναῖοι παρὰ Κορινθίων βοήθειαν καὶ Θηβαίων ἐν τῷ Δεκελεικῷ πολέμῳ, καὶ οὐκ ἔλαβον. Οὐκ ἐποίουν ταῦτα· οὔτε τὰ αὐτὰ, ὅ ἐστι τὸ μὴ βοηθῆσαι, ἀλλ' οὐδὲ τὰ ἐγγὺς τούτων, ὅ ἐστιν ὅμοια παραπλήσια. Αἰσχίνη· ἀποστροφή. Τῇ τάξει δὲ ἐνταῦθα· Τὸ σοφίζεσθαι τὰς τέχνας καὶ πλαγίζεσθαι τοὺς ἀκροατὰς ὁ ῥήτωρ ἄλλοτε μὲν ἑτέρῳ ἐποίει, νῦν δὲ τῇ ὑπαλλαγῇ τῆς τάξεως· δέον γὰρ θεῖναι τὸ ἐπιχείρημα· εἶτα τὴν ἐργασίαν, εἶτα τὸ ἐνθύμημα, προὔθηκε μὲν τὸ ἐνθύμημα, ἐπήγαγε δὲ τὸ ἐπιχείρημα καὶ τὴν ἐργασίαν αὐτοῦ, καὶ οὕτως ἥπλωσε τὸν λόγον, εἶτα συστρέψας συνήγαγεν αὐτὸν δι' ἑτέρου ἐνθυμήματος. Τολμήσας· τολμηρῶς ἐννοήσας. Γνῶθι ἐπιστήσας, ὅτι τὸ παράδειγμα οὐ μόνον τῶν ἡπλωμένων ἐστὶν, οἷς πολλάκις ἔφη καλλωπίζεσθαι τὸν Δημοσθένην ὁ τεχνικὸς, ἀλλὰ καὶ στρογγύλον. Ἥπλωται μὲν γὰρ τῷ ἐνθυμήματι, τῷ ἐπιχειρήματι, τῇ ἐργασίᾳ· συνέστραπται δὲ καὶ στρογγύλον ἐγένετο τῷ τελευταίῳ ἐνθυμήματι· τὸ δὲ στρογγύλον ὁ τεχνικὸς πρὸ ὀλίγων εἶπεν ἴδιον εἶναι τῶν πολιτικῶν ἐπιχειρημάτων· εἰπὼν οὖν περὶ τοῦ πῶς δεῖ ἀποτείνεσθαι ταῦτα, ὡς καὶ Δημοσθένης ἐποίησεν, εἶτα τὸ στρογγύλον διδάξας ἐχομένως λέγει τὰ ἀντίθετα καὶ τὰς περιόδους ἐν τῷ δευτέρῳ καὶ τρίτῳ κεφαλαίῳ, καὶ τηνικαῦτα ἅπτεται τῶν πανηγυρικῶν διδάσκων περὶ πνεύματος καὶ τῆς ἐκ τούτου ἀκμῆς. 6 Sequitur in Ven. Ὅσα δὲ πανηγυρικὰ τῷ νῷ, ἀντὶ τοῦ λαμπρά· τοιαύτας γὰρ τὰς τῆς λαμπρότητος ἐννοίας προϊόντες σὺν θεῷ ἐπιγνωσόμεθα. καὶ τοῦτο τὸ σχῆμα ὁ Δημοσθένης τῷ πνευματικῷ ἁπλοῦν τι τὸ ἐνθύμημα. (ita!) Κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς. Ἁρμοστὰς Λάκωνες ἑκάλουν τοὺς ἐκπεμπομέ-

Cap. II.

Περὶ ἀντιθέτου.

ά. Λύο τινῶν διδασκαλίαν ἡμῖν προθέμενος ὁ τεχνικὸς ἐν τῷ προοιμίῳ τοῦ τετάρτου τόμου, περί τε λόγου πολιτικοῦ καὶ πανηγυρικοῦ, ἔφη τὸν πολιτικὸν λόγον στρογγύλως καὶ κατὰ ἀντίθετα καὶ κατὰ περιόδους ἐνφέρεσθαι καὶ διὰ τοῦ ἐναντίου παραδείγματος τοῦ ἁπλωμένου διδάξας, τί ἐστι στρογγύλον σχῆμα, νῦν διδάσκει περὶ ἀντιθέτου· καὶ ὑποκατιὼν ἐν τῷ τρίτῳ κεφαλαίῳ ἀμφὶ τῆς περιόδου διδάσκει, καὶ ἐπειδὴ ἄνευ ὅρου ἄδηλόν ἐστιν ἕκαστον τῶν λεγομένων, ὁρίζεται καί φησιν, ἀντίθετόν ἐστι σχῆμα λόγου διπλασιάζον πάντα τὸν ὑποκείμενον νοῦν. σχῆμα μὲν λαβὼν τὸ γένος, καὶ ἐπειδήπερ ἐστὶ σχήματα καὶ σωμάτων, ἔφη λόγου, τῇ διαφορᾷ ταύτῃ ἀντιδιαστείλας αὐτὸ ἐκ τῶν σωμάτων, καὶ ἐπειδὴ τὸ τοῦ λόγου σχῆμα οὐκ ἔστιν ἓν, ἀλλὰ πολλὰ, ἔστι γὰρ καὶ σχῆμα περιόδου καὶ πνεύματος, ἔτι δὲ καὶ ἀκμῆς, ἀλλὰ καὶ παρηχήσεως καὶ ἑτέρων τινῶν, πρὸς ἀντιδιαστολὴν ἐκείνῳ ἐχρήσατο, τῷ διπλασιάζειν πάντα τὸν ὑποκείμενον νοῦν· πῶς δὲ διπλασιάζεται, ἐκ τοῦ παραδείγματος εἰσόμεθα· οἷον ἡμέρας οὔσης, φαίη τις, εἰ μὲν γὰρ μὴ ἦν ἡμέρα ἀλλὰ νὺξ, ἔδει ἡμᾶς μὴ πολεμεῖν, ἀλλὰ τὰ περὶ τοῦ πολέμου διαμεριμνᾷν. ἐπεὶ δὲ ἡμέρα ἐστὶ, κεχρῆσθαι δεῖ τοῖς ὅπλοις κατὰ τῶν πολεμίων· ἐδιπλασίασε τοίνυν, ὡς μὴ μόνον τὸ ὂν εἰπὼν ἀλλὰ καὶ τὸ μὴ ὂν ἀναπλάσας, καὶ ὂν μέν ἐστι τὸ ἐπειδὴ ἡμέρα ἐστὶ, μὴ ὂν, ὁ ἀναδιπλασιασμὸς, τὸ εἰ μὴ ἦν ἡμέρα· οὔσης γὰρ ἡμέρας καὶ πολέμου καθεστηκότος, εἴτις φαίη εἰ μὴ ἦν ἡμέρα, καὶ εἰ μὴ ἦν πόλεμος, ἢ λέγοι, εἰ ἦν νὺξ,

---

νους ὑπηκόῳ πόλει ἐπιμελητὰς ἤτοι φρουράρχους. Οὔτε ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτε ἀκίνδυνα ἑώρων· ἐπίτασίς ἐστι τὸ οὔτε ὑπὲρ εὖ.

καὶ οὐχ ἡμέρα, εἰ ἦν εἰρήνη καὶ οὐ πόλεμος, ἢ τὸ ὂν λέγει ὡς τὸ μὴ ὄν, ἢ τὸ μὴ ὂν ἀναπλάττει ὡς ὄν. εἶτα καταβαίνων ἐκ τοῦ ἀναπλασμοῦ εἰς τὴν ἀλήθειαν διπλασιάζει πάντα τὸν ὑποκείμενον νοῦν· ἡ ἀρετὴ τοίνυν τοῦ ἀντιθέτου τοῦτό ἐστιν, ὅτι καὶ ἁπλούμενον τῷ πλήθει τῶν κώλων πνεῦμα γίνεται. καὶ συστρεφόμενον τῇ ἑρμηνείᾳ, περιόδου τάξιν ὑπέχει, καὶ τοῦ μὲν πρώτου παράδειγμα πρῶτον κῶλον, εἰ μὲν γὰρ ἦν ἐν ἡσυχίᾳ τὰ καθεστηκότα· δεύτερον κῶλον, καὶ ἀπραγμοσύνη κατεῖχεν ἡμᾶς· τρίτον κῶλον, καὶ μήτε ἄτοπον μήτε φοβερὸν ἐφεστήκει παρὰ τῶν πολεμίων μηδέν· τέταρτον κῶλον, ἀδείας δὲ ἦμεν ἐπειλημμένοι καὶ ἐξουσίας τοῦ πράττειν ὅσα βουλομένοις ἡμῖν ἐτύγχανεν· πέμπτον κῶλον, ἔδει φυλάττειν τὰ καθεστηκότα· ἕκτον κῶλον, καὶ μὴ παρακινεῖν μηδὲ ἕν· ἕβδομον κῶλον, μηδὲ καινοτομεῖν· ὄγδοον κῶλον, ἀλλὰ τοῖς ἀρχαίοις ἐμμένειν ἔθεσί τε καὶ ψηφίσμασι καὶ νόμοις. εἶτα τὸ ζητούμενον αὐτὸ τὸ ὄν· πρῶτον κῶλον, ἐπεὶ δὲ πόλεμος κεκίνηται· δεύτερον κῶλον, καὶ πλησίον οἱ πολέμιοι· τρίτον κῶλον, καὶ ἐφέστηκε τὰ δεινά· τέταρτον κῶλον, καὶ ταραχὴ τοσαύτη τῶν πραγμάτων· πέμπτον κῶλον, τίνος ἕνεκεν οὐ καινοτομήσομεν· ἕκτον κῶλον, αὐτοῦ τοῦ πολέμου ταύτην ἔχοντος τὴν φύσιν· ἕβδομον κῶλον, ἀμῳ᾽ αὐτοῦ τεχνᾶσθαι τὰ πολλά· ὄγδοον κῶλον, καὶ τὸν τῶν ἀνθρώπων μεταποιεῖν ἐπὶ τὸ καινότερον βίον. τοῦ δὲ δευτέρου ἤτοι τῆς περιόδου παράδειγμα τόδε· πρῶτον κῶλον, ἃ γὰρ ἐφυλαξάμεθα ποιεῖν εἰκότως οὔσης εἰρήνης· δεύτερον κῶλον, ταῦτα βέλτιον ἐργάσασθαι πολέμου καθεστηκότος, καὶ ἀπορήσειεν ἄν τις περὶ τοῦ ἀντιθέτου φάσκων. εἰ τοίνυν ἐν τῷ ἀντιθέτῳ ἀναπλασμός ἐστιν καὶ τὸ μὴ ὂν ὡς ὂν λέγει καὶ τὸ ὂν ὡς μὴ ὄν. ἔστι δὲ καὶ περισσὸν, τίς ἡ τούτου χρεία καὶ πῶς ἀναγκαῖον νομίζεται; καί φαμεν, ὡς οὔτε κατὰ ἀλήθειαν τὸ ὂν ὡς μὴ ὂν γίνεται, οὔτε τὸ μὴ ὂν

ὡς

ὡς ὄν. ἢ γὰρ ψεῦδος ἀποφαινόμεθα, ὅπερ οὐδεὶς ἂν κατεδέξατο, ἀλλὰ καθ' ὑπόθεσιν λέγομεν τὸ ὂν ὡς εἰ μὴ ἦν, καὶ τὸ μὴ ὂν εἰ ἦν καὶ οὔτε ψεῦδος τῷ ὄντι οὔτε περισσὴ ἡ πρότασις τῆς ἀντιθέσεως κατὰ τὸ ἀκριβὲς, ἀλλ' ἑνὶ πνεύματι δύο τινὰ μανθάνομεν, τὸ τί ὀφείλομεν ἐν εἰρήνῃ ποιεῖν, καὶ τί ἐν πολέμῳ, τί τε ἐργάζεσθαι νυκτὸς οὔσης, καὶ τί ἡμέρας καθεστηκυίας· ἐπεὶ ἐν τῷ ζητουμένῳ ἓν μόνον μανθάνομεν· ἐν μὲν γὰρ τῷ ζητουμένῳ τί ὀφείλομεν ποιεῖν ἢ βουλεύεσθαι τοῦ ζητουμένου ἑστηκότος ὑποδηλοῦμεν· ἐν δὲ τῷ ἀντιθέτῳ καὶ πρὸ τοῦ γενέσθαι τὸ πρᾶγμα παρασκευαζόμεθα τὰ δέοντα πράττειν ἐν αὐτῷ, ὡς ἡνίκα ἀπέλθοι εὑρεθῶμεν ἕτοιμοι τί ὀφείλομεν ἢ πρᾶξαι ἢ βουλεύσασθαι προμεμαθηκότες, ὅσον δὲ τὸ πρὸ τοῦ γενέσθαι τὸ πρᾶγμα, εἰ πρὸς αὐτὸ ἑτοιμαζόμεθα, χρησιμώτερον τοῦ ἡνίκα ἐνστῇ τό τε βουλεύεσθαι, τοσοῦτον τοῦ ζητουμένου καὶ ἐνόντος ἐστὶ χρησιμώτερον τὸ ἀντίθετον. ἔστι δὲ καὶ ἄλλως ἀναγκαῖον, ὡς ὁ τεχνικός φησιν, ὅτι τοῦ ἀντιθέτου λεγομένου νοεῖται ὑπὸ τῶν ἀκουόντων τὸ κατὰ φύσιν· κοσμεῖ δὲ καὶ προοίμιον πολλάκις, εἴτις τοιούτῳ σχήματι [1] τὸ προοίμιον ἐξενέγκοι· ὡς ὁ Δημοσθένης. εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν· καὶ γὰρ ἐνταῦθα τὸ κατὰ φύσιν ἐστίν· ἐπεὶ δὲ περὶ ὧν πολλάκις ἤδη πρότερον εἰρήκασιν οὗτοι, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι [2] καὶ πρῶτος ἀναστὰς εἰκότως συγγνώμης τυγχάνειν· τὸ δὲ ἀντιθετικὸν, εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν. ἀντέπεσον δὲ πρὸς τοῦτό τινες οὕτως εἰπόντες, ὡς οὐκ ἔστιν [3] ἀντίθετον, ἀλλὰ κατὰ φύσιν, καὶ τίς ἂν αὐτοῖς συγκαταθοῖτο. τοῦ πράγματος γὰρ μὴ ὄντος καινοῦ λεγομένου καινοῦ, [4] τὸ κατὰ φύσιν ἐστὶ λοι-

1 σχήματι Mon. om. 2 ἡγοῦμαι Mon. om. — Phil. I. in. 3 ὡς οὐκ ἔστιν Mon. om. 4 λεγομένου καινοῦ Par. om. Sch. min. ψη-

πὸν, τὸ μὴ εἶναι αὐτὸ καινόν· λεγόμενον γὰρ καινὸν οὐκ ἀληθές ἐστι· τὸ γὰρ κατὰ φύσιν ἀληθὲς θέλει εἶναι, ὡς καθό ἐστιν ἐκφερόμενον καὶ οὐ καθὸ οὐκ ἔστι· καὶ εἰ ἔστι, φασὶν, ἀντίθετον τὸ λεγόμενον καινὸν, κατὰ καινοῦ ἔσται, λοιπὸν κατὰ φίσιν τὸ μὴ καινὸν λέγεσθαι καινόν· οἷον ἵνα καὶ ἐπὶ παραδείγματος γένηται σαφέστερον· ἡμέρας οὔσης, εἴτις λέγει, εἰ μὴ ἦν ἡμέρα, ἀλλὰ νὺξ, τὸ κατὰ φύσιν[5] λέγει· ὁ δὲ λέγων, ἐπειδὴ ἡμέρα ἐστὶν ἡμέρας οὔσης, ἀντίθετον λέγοι,[6] ὅπερ ἄτοπον καὶ ἀλλόκοτον. τί οὖν εἴποιμεν, πῶς ἐπιλυσόμεθα τὴν ἀπορίαν; φαμὲν, ὅτι ὁ τεχνικὸς εἰπὼν εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν,[7] καὶ γὰρ ἐνταῦθα τὸ κατὰ φύσιν ἐστὶν, οὐ λέγει τὸ κατὰ φύσιν, τὸ εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο λέγειν, ἀλλὰ περὶ τοῦ ἐπιφερομένου, τοῦ, ἐπειδὴ δὲ περὶ ὧν πολλάκις ἤδη πρότερον εἰρήκασιν οὗτοι, βουλόμενος γὰρ διδάξαι, τί ἐστιν ἀντίθετον, ἐπειδὴ ἀντίστροφόν ἐστιν πρὸς τὸ ὄν, τὸ γὰρ γινόμενον λέγει, εἰ μὴ ἐγίνετο καὶ οἷον ἀναπλασμός ἐστιν, ἠθέλησε πρότερον διδάξαι, πῶς ὀνομάζεται τὸ ὄν, ὡς ὂν ἐκφερόμενον, ὅπως αὐτοῦ μαθόντες τὴν κλῆσιν τὸ ἀντιστρόφως ἐκφερόμενον, δευτέρως μάθωμεν, ὡς ἂν εἴποι τις, εἰ μὲν ἡμέρας οὔσης εἴποις, ὅτι ἐπειδὴ ἡμέρα ἐστὶ τὸ ἀκόλουθον καὶ κατὰ φύσιν λέγεις. εἰ δὲ τὸ μὴ ὂν ὡς ὂν προφέρεις καὶ τὸ ὂν ὡς μὴ

φίσμασι καὶ νόμοις· ἕως ὧδε τὸ παρὰ φύσιν τοῦ ἀντιθέτου· εἶτα εἰς τὸ κατὰ φύσιν ἀπὸ τοῦ, ἐπεὶ δὲ πόλεμος, τὸ κατὰ φύσιν ζητούμενον. Συστραφὲν εὐρύθμως· τὸ πνεῦμα ἐπεκτείνεται εἰς μῆκος λόγου διὰ μακροῦ συγκλεῖον τὴν ἔννοιαν· ἡ δὲ περίοδος δι' ὀλίγων κώλων τοῦτο ποιεῖ. Οὔτε ἰσχυρότερον· ὅτι οὐ μόνον τὸ προκείμενον λέγει, ἀλλὰ καὶ τὰ ἀντικείμενα ἀναιρεῖ. 5 τὸ κατὰ φύσιν Mon. om. 6 Post λέγοι Mon. inserit: ὁ τόδε ἀντίθετον, εἰ μὲν περὶ καινοῦ τινος πρ. προὐτίθετο ὦ ἀ. Ἀ. λέγειν. 7 Par. λέγειν ὦ ἄνδρες Ἀθ.

ὃν κατὰ ἀντίθεσιν ἀποφαίνῃ, οἷον εἰ οὐκ ἦν ἡμέρα, ἀλλὰ νύξ. τούτου χάριν πρῶτον διδάσκει τὸ ἀκόλουθον καὶ κατὰ φύσιν. εἶθ' οὕτως τὸ ἀντίθετον, ἀκόλουθον δὲ καὶ κατὰ φύσιν ἐστὶ τὸ, „ἐπειδὴ περὶ ὧν πολλάκις ἤδη εἰρήκασιν οὗτοι, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρότερον ἀναστὰς συγγνώμης ἂν εἰκότως τυγχάνειν" ἀντίθετον δὲ τοῦτο· εἰ μὲν περὶ καινοῦ πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπισχεῖν[8] ἔδει τοῖς πρεσβυτέροις παραχωροῦντα πρῶτον εἰπεῖν. ἡ δὲ ἑτέρα πρότασις ἡ προτεθεῖσα παρὰ τοῦ τεχνικοῦ, τὸ, „εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν," οὔτε ὡς τοῦ κατὰ φύσιν παράδειγμα, οὔτε ὡς τοῦ ἀντιθέτου ὑπὸ τοῦ τεχνικοῦ εἰσηνέχθη, ἀλλ' ὡς δήλωσις τοῦ λόγου, ποῖος λόγος ἐστὶ τοῦ Δημοσθένους, ὁ ταύτην ἔχων τὴν κατασκευήν, ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ λόγος ὁ κατὰ Φιλίππου, πρῶτος τὴν ἀρχὴν προέφερε τοῦ λόγου, τὸ εἰ μὲν περὶ καινοῦ τινος· ἐπεὶ οὔτε ὡς ἀντίθετον, οὔτε ὡς κατὰ φύσιν αὐτοῦ ἐμνημόνευσεν, ἀλλ' ὡς δηλωτικοῦ τοῦ Δημοσθενικοῦ λόγου· ὅθεν καὶ ἄνευ ἐκείνου τὰ δύο εὑρίσκονται, τό τε κατὰ φύσιν καὶ τὸ ἀντίθετον· ἐπεὶ εἰ μὴ τοῦτο καὶ τὸ ἀντίθετον εὑρίσκεται κατὰ φύσιν καὶ ἐν τῷ παραδείγματι δευτέρῳ κατὰ φύσιν ἓν[9] ἐν ἀληθείᾳ καὶ ἓν ψευδῶς καὶ ἀντίθετον.

---

8 Mon. ἐπισχόντα. 9 ἓν Mon. om. Post litt. β'. Par. addit: *Περιττὸν τὸ ἐναντίον, ἀλλὰ δοκεῖ ἀναγκαῖον εἶναι τῷ προσδοκίαν ἐμποιεῖν τοῦ κατὰ φύσιν ζητουμένου· ἀκούσας γὰρ ὁ ἀκροατὴς, ὅτι εἰ μὲν οὐκ ἦν ἡμέρα, τόδε ἂν ἐχρῆν ποιεῖν, προσδοκᾷ ἀκούσεσθαι τόδε, ἐπειδὴ ἡμέρα ἐστὶ, ποιητέον τόδε. Κατὰ φύσιν τὸ, ἐπειδὴ δὲ περὶ ὧν πολλάκις ἤδη πρότερον εἰρήκασιν οὗτοι· τοῦτο γὰρ ἦν τὸ ζητούμενον· διήκει δὲ ἐπὶ τοῦ Δημοσθενικοῦ χωρίου, ἄχρι τοῦ εἰκότως ἂν συγγνώμης τυγχάνειν· εἶτα τὸ ἀντίθετον, εἰ μὲν περὶ καινοῦ τινος πράγματος ἄχρι τοῦ παραχωροῦντα πρῶτον εἰπεῖν· τὸ δὲ ἐν ἀρχῇ λεχθὲν ὑφ' Ἑρμογένους, εἰ δὲ περὶ καινοῦ τινος πράγμα-*

β'. Τὸ ἀντίθετον [10] *εἰ καὶ περιττεύειν δοκεῖ καὶ παρέλκουσαν τὴν πρότασιν ἔχειν, ἀλλ' οὖν ἐξ ὑποθέσεως λαμβάνον αὐτὴν, ἐν ἑνὶ καὶ τῷ αὐτῷ σχήματι διδάσκει, τί χρὴ ποιεῖν τοῦ προκειμένου ὑπάρχοντος, καὶ τί τοῦ ἀντικειμένου αὐτῷ τῷ νῦν ὑπάρχοντι πράγματι* [11].

Cap. III.

Περὶ περιόδου.

ά. Διελθὼν τὰ περὶ ἀντιθέτου σχήματος καὶ περὶ τῆς περιόδου ἄρτι διδάξαι ἡμᾶς βουλόμενος τὸν ὅρον

τος οὕτως νόει, ἀντὶ τοῦ, ὡς ἔχει ὁ Δημοσθενικὸς λόγος ὅδε, τὸ δὲ τοῦ Δημοσθένους ἀπαραποιήτως οὕτως ἔχει, εἰ μὲν περὶ καινοῦ τινος πράγματος, ὦ ἄνδρες Ἀθηναῖοι, προὐτίθετο λέγειν, ἐπισχεῖν ἔδει, τοῖς πρεσβυτέροις παραχωροῦντα πρῶτον εἰπεῖν· ἐπειδὴ δὲ περὶ ὧν πολλάκις ἤδη πρότερον εἰρήκασιν οὗτοι συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως συγγνώμης τυγχάνειν. οὕτως ἔχει τὸ ὅλον χωρίον· καὶ ἄχρις μὲν τοῦ πρώτου ἐστιν εἰπεῖν ἐστι τὸ ἀντίθετον, ἀπὸ δὲ τοῦ ἐπειδὴ δὲ αὐτὸ τὸ ζητούμενον. Τὸ ἀντίθετον τὸ μὴ γεγονὸς λέγει, εἰ ἐγένετο· οἷον θαυμαστὸν ἦν, εἰ Φίλιππος μὴ πονῶν ἡμῶν πονούντων περιῆν· ἐναντίων δὲ τὸ ἀντιστρέφον τὸ πρᾶγμα ἀπὸ τῶν δρώντων εἰς τοὺς πάσχοντας, καὶ ἀπὸ τῶν πασχόντων εἰς τοὺς δρῶντας, οἷον θαυμαστὸν ἦν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν χρὴ τοῦ πάντα σπουδῇ πράσσοντος περιῆμεν. Ὅτι διαφέρει ἐναντίον καὶ ἀντίθετον κατὰ ῥήτορας, κατὰ φιλοσόφους δὲ οὐχί. Οἷον οὐ δὲ θαυμαστόν· τοῦτο ἐναντίον, ἔστι δὲ ἐκ τοῦ δευτέρου Ὀλυνθιακῶν. Καὶ ὁ θεολόγος, οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἀρετῶν, οὕτω καὶ ἐπὶ τῶν κακιῶν· οὐ πάντοτε δὲ τὸ ἐναντίον πρὸς τοὺς πάσχοντας ἢ ποιοῦντας περίεστηκε, καὶ δηλοῖ τὸ προῤῥηθὲν τοῦ θεολόγου. Ψηφιζομένων καὶ πυνθανομένων περιγίνεται. 10 Ven. littera *ά* omissa incipit in litt. *β'*. *ἀναστρέφεται τὸ πρᾶγμα ἀπὸ τῶν δρώντων εἰς τοὺς πάσχοντας, καὶ ἔμπαλιν.* 11 Litt. *γ'*. *δ'*. vide Vol. V. p. 421. v. 5—14.

αὐτῆς ἔφη· περίοδος κυρίως [1] ἐστὶν ἡ τοῦ ὅλου ἐπιχειρήματος ἀναγκαστικὴ καὶ σύνοδος καὶ κλεὶς τρόπον τινά, καὶ πάλιν ἀληθινὴ περίοδός ἐστιν, ἡ ἀπαρτίζουσα τὸ ἐπιχείρημα καὶ συνάγουσα [2]. Τρίτος ὅρος σχήματος περιόδου· σχῆμα αὐτοτελὲς ὅλου τοῦ ἐπιχειρήματος ῥυθμῷ συντόμως ἀπηρτισμένον.

β'. Ἐνθύμημά [3] ἐστιν εἰκότως κ. τ. λ. Vol. V. p. 421. v. 17 — p. 424. v. 10.

γ'. Ἀποδεικτικαὶ [4] τοῖς σχήμασι περίοδοι αἱ ἐξ ἀκολούθων τῶν κώλων περίοδον ἔχουσαι, οἷον ὅσῳ τοίνυν τὸ λυπεῖν ἐν βραχεῖ τοῦ πάντας μιαιφονεῖν [5] ὑπάρχει καταδεέστερον, τοσοῦτον ἀνδροφόνος τυράννου ἐπ' ἔλαττον· ἐν ἀμφοτέροις γὰρ τοῖς κώλοις διήρκεσεν ἡ ἀκολουθία τῶν ἀνταποδιδομένων· τὸν αὐτὸν ἔχει τρόπον καὶ ἡ προειρημένη περίοδος τοῖς ἀκολουθητικοῖς συνδεομένη μορίοις, καὶ εἰ μὴ καθαρῶς ἐστιν ἀποδεικτική, ἀλλὰ μικτή, ἅμα γὰρ τῷ ἐπιχειρήματι ἐξηνέχθη, ὡς ἔχει καὶ τὸ, ὥσπερ εἴ τις ἐκείνων προήλω [6], σὺ τάδε οὐκ

---

1 Schol. min. ἀντὶ τοῦ ἀληθῶς. 2 Schol. min. ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων· συνάγει γὰρ τὸ ἐπιχείρημα τὸ ἐκείνοις θ' ἅμα μὲν ἡδομένοις. Quae sequuntur: τρίτος ὅρος — — ἀπηρτισμένον Par. om. 3 Ven. litt. ά. om. incipit: Ὅ τινες ἐνθύμημα καλοῦσιν. 4 Ven. litterae γ'. praemittit: Εἰσὶ δὲ καὶ ἀποδεικτικαὶ τοῖς σχήμασιν. Litt. δ'. ἑ. ς'. non habet. 5 Mon. μιαίνειν. Ven. μιαιφονεῖν. Mox in ἐπ' ἔλαττον Ven. om. ἐπ'. 6. Par. ἑάλω· ad marg. γρ'. προήλω. Post ἄλλος οὐ γράψει sequitur in Par. διὰ τοῦτο εἶπεν, ὅτι οὐχ ἑνὶ ὑποπίπτουσι σχήματι αἱ περίοδοι, ἐπειδὴ αἱ μὲν αὐτῶν ἐνθυμηματικαὶ, αἱ δὲ γνωμικαὶ, αἱ δὲ ἀποδεικτικαὶ, αἱ δὲ ἐπιτιμητικαὶ, αἱ δὲ ἐκ συμπλοκῆς δύο ἀδικημάτων γίνονται καὶ κατὰ τέσσαρας πτώσεις· καὶ αἱ μὲν αὐτῶν μονόκωλοι, αἱ δὲ δίκωλοι, αἱ δὲ τρίκωλοι, αἱ δὲ τετράκωλοι.

ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει.

δ'. Δύο ἀδικήματα τὸ ἀργῆσαι διὰ πεζῆς ἐρχόμενον καὶ οὐ διὰ πλοῦ, ταχύτερον γὰρ ἂν ἀπῆλθε πλεύσας πρὶν ἐκεῖνον λαβεῖν τὰς πόλεις· καὶ τὸ ἕτερον, ὅτι ἐκεῖ ἀπελθὼν ἐψεύσατο, κατὰ κοινοῦ δὲ τὸ ἀπολώλεκεν.

ε. Ἐν μὲν τῷ [7] γράψαι μηδένα εἶναι ἀτελῆ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν· ἐν δὲ τῷ προσγράψαι

---

7 Par. praeter ea, quae sub litt. ε. continentur, habet: ἰσοσκελὴς καὶ ἰσόπλευρος κ. τ. λ. Vol. V. p. 424. v. 11—p. 425. v. 3. Ἑρμηνείας ῥυθμῷ· ἐν εὐρυθμίᾳ ἐκφράσεως· ῥυθμὸς δέ ἐστιν ἀκολουθία, ἁρμονία μέλους, εὐταξία, εὐφωνία ἢ ποιὰ ἐξήχησις. Οἷς ἂν ληφθείην ἐγώ· τὸ ἐγώ ἐστιν ὑπερβατόν. Ἰσόπλευρον· φησίν, ὅτι κἂν τε δύο ὦσιν, ἵνα ὦσιν ἴσα, κἂν τε τέσσαρα δύο καὶ δύο, ἴσαι θέλουσιν αἱ περίοδοι. Ἑρμηνείαν· τὴν φράσιν. Περίοδος ἐκ παραβολῆς τετράκωλος εἰς τὸ κατὰ Ἀνδροτίωνος καὶ Ἀριστοκράτους. Ὥσπερ γάρ εἴ τις· ἀόριστον τὸ τίς. Διαπορητικόν ἐστι, τὸ ἑαυτὸν ἐρωτᾶν καὶ πάλιν ἀποκρίνεσθαι. Ἀποδώσεις αὐτό· ἐὰν ἀποδῷ, εἰς αὐτὸ τὸ δηλούμενον τῷ τόδε. Μεταποιῆσαι· μεταποιούμενον γὰρ τοῦτο τὸ περιοδικὸν γίνεται περίοδος [γίνεσθαι] κατὰ διαπόρησιν. Εἰποῦσι τἀληθῆ· λείπει δὲ καὶ ἐνταῦθα τὸ ἐν τῇ προτάσει εἰρημένον τὸ ἀπολώλεκεν, ὥσπερ καὶ ἐν τῇ προδηλωθείσῃ περιόδῳ τὸ ἀφείλετο. Διατί φείσαιτο· διαπορητικὴ καὶ αὕτη ὁμοίως τῇ προηγουμένῃ. Πρὸς ὑμᾶς ἔφησε· δύο καὶ αὕτη ἔχει ἀδικήματα. Τοῦ ὑποτεθέντος· τὸ καλῶς μεταποιεῖν, φησὶ, τὰ νοήματα ἐκεῖνό ἐστι τοῦ τοιάνδε κατὰ σχῆμα τὴν περίοδον γίνεσθαι. Σημείωσαι, ὅτι γίνεται περίοδος μονόκωλος, δίκωλος, τρίκωλος, τετράκωλος, πεντάκωλος δὲ οὐκ ἔστιν. Γραφῇ παραδιδόμενον· δηλονότι τῇ τῶν ἀρχαίων γραφῇ. Ἐκπλήττει γινόμενον· τοῦτο λέγει, ὅτι κ. τ. λ. Vol. V. p. 425. v. 4—5. Ὑμῖν ἐξεῖναι· προσυπακουστέον τὸ ἀφείλετο. Τετρακώλου· τετραγώνου. Μεταποίησιν λέγει, οἵαν φθάσας εἶπε τὴν κατὰ ἐπιτίμησιν· καλλίστην δὲ ταῖς ἀληθείαις χρείαν ἔχει πρὸς μεταποίησιν, ὅτι δύναται στρέφεσθαι, τῇ στροφῇ γὰρ

μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, τὸ δοῦναι ὑμῖν ἐξεῖναι· ἐνταῦθα μὲν καὶ αἱ προτάσεις γίνονται ἀποδόσεις, καὶ αἱ ἀποδόσεις προτάσεις· καὶ καθὼς βούλει ἀντιστρέφεις· χιασμὸς δὲ οὐδαμῶς γίνεται, ἀλλ' ἢ μόνον ἀντιστροφαὶ τέσσαρες. Ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσον χεῖρον ἢ προσῆκε χρῆσθε [8] τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. Ἐνταῦθα δὲ αἱ ἀποδόσεις προτάσεις οὐ γίνονται οὐδέποτε, ἀλλ' ἢ [9] μόνον ἐκ τῶν προτάσεων ὁ χιασμός· ἐν ταύτῃ δὲ οἱ χιασμοὶ ἔπονται ρ'.

ς'. *Παράδειγμα τῆς ἀναστρεφομένης καὶ χιαζομένης περιόδου, ὡς ἂν μάθωμεν πόσα σχήματα τῆς τοιαύτης περιόδου· καὶ γὰρ ἐκ προτάσεως καὶ ἀποδόσεως συνισταμένης τῆς τετραγώνου περιόδου, προηγουμένων τῶν προτάσεων, ἑπομένων δὲ τῶν ἀποδόσεων, γίνονται σχήματα ὀκτώ· εἶτα προηγουμένων τῶν ἀποδόσεων καὶ ἑπομένων τῶν προτάσεων γίνεται ἕτερα ὀκτὼ σχήματα, ὡς εἶναι πάντα τὰ σχήματα τὸν ἀριθμὸν ις'· τῆς γὰρ πρώτης προτάσεως πρώτης τιθεμένης, ἐναλλαττομένης δὲ τῆς ἀποδόσεως, σχήματα γίνονται δ', καὶ πάλιν τῆς δευτέρας προτάσεως τιθεμένης, ὑπαλλαττομένης τῆς ἀποδόσεως, γίνονται σχήματα δ', ὡς εἶναι τῶν προτάσεων προηγουμένων, ἑπομένων δὲ τῶν ἀποδόσεων σχήματα ἡ· ἀναστρεφομένης οὖν τῆς περιόδου καὶ τεθείσης τῆς ἀποδόσεως· πρώτης, [10] ἑπομένης δὲ τῆς προτάσεως, ἴσα τὸν ἀριθμὸν*

εὐμαρῶς ἡ μεταποίησις ἕπεται. *Τοὺς ἔχοντας*· ἀπὸ κοινοῦ τὸ ἀφείλετο. *Ἡ ἀντιστρεφομένη καὶ χιαζομένη*·

Παλαιὰ X *παλαιοῖς*

νέα X *νέοις.*

Ἐὰν χιάζηται ποιεῖ κδ' σχήματα· εἰ δὲ οὐ χιάζεται, ποιεῖ ιβ'.

8 Mon. χρῆσθαι, scr. χρῆσθε. 9 Mon. ἤν, scr. ἤ. 10 Mon.

γίνονται σχήματα ὀκτὼ ἕτερα, ὡς ὁμοῦ περιόδου σχηματιζομένης [11] σχηματιζόντων σχημάτων δέκα καὶ ἓξ, ὧν τὰ παραδείγματα θέντες σαφῆ ποιήσομεν τὰ λεγόμενα.

Cap. IV.

Περὶ πνεύματος.

ά. Ἐκθέμενος [1] ἡμῖν ὁ τεχνικὸς τὰ σχήματα τῶν ἐπιχειρημάτων καὶ τῶν ἐργασιῶν τῶν πολιτικῶν καὶ ἀποδεικτικῶν, ἅπερ ἐκφέρονται στρογγύλως τε καὶ κατὰ ἀντίθετα καὶ κατὰ περιόδους, καὶ διδάξας ἡμᾶς, τί ἐστι στρογγύλον σχῆμα καὶ τί ἀντίθετον, ἔτι δέ τί ἐστι περίοδος καὶ πόσα σχήματα περιοδικὰ συνίστανται, καὶ τί ἐστι πρότασις καὶ ἀπόδοσις, καὶ ἐκ πόσων κώλων δύναται συνίστασθαι περίοδος, ἔτι δὲ περὶ τετραγώνου περιόδου, ποῖαι μὲν χιάζονται, ποῖαι δὲ μόνον ἀναστρέφονται καὶ οὐ χιάζονται, πόσα δὲ εἴδη τῶν χιαζομένων περιόδων γίνονται, αἰνιξάμενος δὲ καὶ τὸ πλῆθος τῶν σχημάτων τῆς χιαζομένης περιόδου, ἅπερ ἡμεῖς συμπράττοντος ἡμῖν λεπτομερῶς ἐξεθέμεθα· ὥστε μὴ εὑρίσκεσθαι

πρώτας ἑπομένας δὲ τὰς προτάσεις. 11 σχηματιζομένης Mon. om. Par. habet ad marg. γρ. χιαζομένης.

1 Par. praemittit: πρὸς τὸ εἰρημένον αὐτῷ ἐν ἀρχῇ τοῦ πρώτου κεφαλαίου τοῦ παρόντος τετάρτου τόμου περὶ τῶν πανηγυρικῶν ἐπιχειρημάτων ὅτι δεῖ ταῦτα ἑρμηνεύεσθαι καὶ ἀποτείνεσθαι πνευματικῶς καὶ ἀκμαίως ἀφορῶν λέγει, ὅτι δεῖ τὸν μέλλοντα λέγειν τὰ ποῖα τῶν νοημάτων κατὰ πνεῦμα ἐξενεχθήσεται, πρῶτον εἰπεῖν, τί ἐστι πνεῦμα· περὶ γὰρ τῶν πολιτικῶν ἐπιχειρημάτων ἤδη φθάσας ἐτεχνολόγησεν. Sch. min. Νοήματα πανηγυρικῶς λέγει τὰ ἀπὸ παραδείγματος ἢ παραβολῆς ἐπιχειρήματα, ὡς αὐτός φησιν ἐν ἀρχῇ τοῦ παρόντος τετάρτου τόμου. Κόμμασι μετρούμενον· τουτέστι τῆς δυνάμεως τῆς ἐκφωνηματικῆς συνεκτεινόμενον τῇ φωνῇ τοῦ λέγοντος.

ἕτερον σχῆμα περιοδικὸν παρὰ ταῦτα, μέτεισιν ἐπὶ τὰ σχήματα τῶν πανηγυρικῶν ἐπιχειρημάτων, παραδειγματικῶν τε καὶ τῶν ἐκ παραβολῆς· φησὶ γὰρ ἐν τῇ ἀρχῇ, ὅτι ὅσα τῶν ἐπιχειρημάτων ἢ ἐργασιῶν πανηγυρικὰ τῷ νῷ, ἢ παραδείγματικὰ ἢ ἐκ παραβολῆς λαμβανόμενα, ταῦτα δεῖ πνευματικῶς ἀποτείνοντας καὶ ἀκμαίως ἐκφέρειν· διὸ ὡς εἴρηται διαλαβὼν περὶ σχημάτων τῶν πολιτικῶν ἐπιχειρημάτων καὶ τῶν ἀποδεικτικῶν, ἥκει ἄρτι τοῦ διδάξαι ἡμᾶς περὶ τῶν σχημάτων τοῦ πανηγυρικοῦ καὶ παραδειγματικοῦ καὶ ἐκ παραβολῆς ἐπιχειρήματος, τὰ δὲ σχήματα αὐτῶν ἐκφέρεται πνευματικῶς καὶ ἀκμαίως· διδάσκει οὖν περὶ πνεύματος, καὶ ὑποκατιὼν περὶ ἀκμῆς, ὑποτίθεται δὲ ἡμῖν πρῶτον ζητῆσαι, τί ἐστι πνεῦμα, ὅπερ διὰ τοῦ ὅρου ἔδειξε· δεύτερον, πόσα εἴδη πνευμάτων, τρίτον, πῶς γίνεται πνεῦμα· εἶτα τέταρτον, πῶς συντίθεται· πέμπτον, πόσα εὑρίσκονται σχήματα τῶν πνευμάτων· εἴπομεν οὖν πρῶτον, τί ἐστι πνεῦμα, εἶτα ἐφεξῆς ἀκολουθοῦντες τῷ τεχνικῷ τὰ λοιπὰ σαφηνίσομεν. ὅρος πνεύματος· πνεῦμά ἐστι μὲν σύνθεσις λόγου, διάνοιαν ἀπαρτίζον ἐν κώλοις, καὶ κόμμασι μετρούμενον πρὸς τὴν διάρκειαν τοῦ πνεύματος κατὰ τὴν φωνὴν τοῦ λέγοντος. Ἴδωμεν οὖν ἓν ἕκαστον τῶν ἐν τῷ ὅρῳ λαμβανομένων, ποίαν δύναμιν ἔχει· πῶς γὰρ ὅρος ἐκ γένους λαμβάνεται καὶ συστατικῶν διαφορῶν; Γένος τοίνυν ἐστὶν ἐνταῦθα ἡ σύνθεσις· τὰ δὲ λοιπὰ, συστατικά· καὶ ἐπειδὴ ἡ σύνθεσίς ἐστι μὲν καὶ ἐπὶ σωμάτων, προσέθηκε τὸ λόγος· ἀλλ' ἐπειδὴ τῶν λόγων οἱ μέν εἰσι τέλειοι, οἱ δὲ ἀτελεῖς, προσέθηκε τὸ ἀπαρτίζον διάνοιαν, καὶ ἐπειδήπερ εἰσὶ καὶ ἕτερα εἴδη λόγων ἀπαρτίζοντα μὲν διάνοιαν, μὴ ὄντα δὲ πνεῦμα, ὥσπερ τὰ κῶλα καὶ τὰ κόμματα, προσέθηκεν ἐν κώλοις καὶ κόμμασι μετρούμενον κατὰ τὴν διάρκειαν τοῦ πνεύματος, καὶ ἐπειδήπερ δύναται καὶ ἐκ κώλου καὶ κόμματος συντιθέμενος

λόγος μὴ ἀναμετρεῖσθαι πρὸς τὴν διάρκειαν τοῦ πνεύματος, φησὶ [2] πρὸς διάρκειαν τοῦ πνεύματος, ὑποδηλῶν δὲ, τίνος πνεύματος, ἔφη κατὰ τὴν φωνὴν τοῦ λέγοντος, οὕτω τοίνυν ἀποδεδωκὼς τὸν ὅρον ἐπειδὴ πᾶν τὸ διδασκόμενον ὡς ἀσαφὲς ἐξ ὁμολογουμένων καὶ σαφεστέρων ὀφείλει τὴν περὶ αὐτοῦ ἔχειν διδασκαλίαν, ἠγνοεῖτο δὲ, τί ἐστι κῶλον καὶ κόμμα, τούτων δὲ ἀγνοουμένων, οὐκ ἐνεδέχετο γνωσθῆναι τὴν διδασκαλίαν τοῦ πνεύματος, ὑποκατιὼν διδάσκει περὶ κώλου καὶ κόμματος, καί φησιν, ὅτι κῶλον καὶ κόμμα ἀπαρτίζει διάνοιαν, διαφέρει δὲ τοῖς μέτροις, ὅτι τὸ μὲν ἀπὸ τεττάρων καὶ πέντε συλλαβῶν μέχρι τῶν ἓξ κόμμα ἐστὶν ἐπῳδῷ μετρούμενον· τὸ δὲ ὑπὲρ τὰς ἑπτὰ καὶ ὀκτὼ καὶ δέκα καὶ ἐγγίζον ἤδη τῷ ἰαμβικῷ μέτρῳ καὶ μέχρι τοῦ ἡρωϊκοῦ μέτρου προχωροῦν, κῶλον γίνεται ὀρθὸν καὶ τετραμμένον, ὁ δὲ τῶν συλλαβῶν ἀριθμὸς περινενόηται, καὶ οἶμαι ἀπορίαν ἔχειν ταύτην τὴν διδασκαλίαν· εἰ γὰρ ἀπὸ τεττάρων καὶ πέντε συλλαβῶν μέχρι τῶν ἓξ κόμμα ἐστὶν ἐπῳδῷ μετρούμενον, πῶς ὑποκατιὼν φησιν, εἰ γὰρ ἀπαρτίζοιτο διάνοια, καὶ ἐν δύο συλλαβαῖς κόμμα ἐστίν· εἶτα καὶ ὁριζόμενός φησι· κόμμα ἐστὶ σύνθεσις διανοίας μικροτέρου κώλου· σαφηνίσομεν οὖν ἡμεῖς καὶ διδάξομεν, τί ἐστι κόμμα, καὶ τί ἐστι κῶλον· καὶ πῶς μετρεῖται καὶ τί ἐπῳδὸς, νῦν δὲ ὁ [3] τεχνικὸς ἀσαφῆ διδασκαλίαν ἡμῖν ἐξέθετο· τίθησι γὰρ τὸν ἐπῳδὸν, μέτρον καὶ κανόνα, ὁτὲ μὲν τοῦ κώλου, ὁτὲ δὲ τοῦ κόμματος, ὥστε συμβαίνει ταὐτὸν εἶναι καὶ κῶλον καὶ κόμμα. φησὶ γάρ· οἱ δέ φασιν καὶ τὸν ἐπῳδὸν κῶλον εἶναι, ἐνταῦθα λέγει ἴσον μέτρον εἶναι τοῦ κώλου καὶ τοῦ ἐπῳδοῦ· πρὸ ὀλίγου δὲ ἔφη, ὅτι τὸ μὲν ἀπὸ τεσσάρων καὶ πέντε συλλαβῶν μέχρι τῶν ἓξ κόμμα ἐστὶν ἐπῳδῷ μετρούμενον· ὥστε ταὐτὸν δέδωκε κόμμα καὶ κῶ-

2 φησὶ πρὸς διάρκειαν τοῦ πνεύματος Mon. om. 3 Mon. νῦν γὰρ τεχν.

λον καὶ ἐπῳδὸν, ὅπερ ἄτοπον, τὰ γὰρ τῶν αὐτῶν ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. λελύσθω οὖν οὕτως· ταὐτὸν λέγει κῶλον καὶ κόμμα ὁ Ἑρμογένης ὡς ἀμφότερα ἴσα τῷ ἐπῳδῷ, ἡνίκα κῶλον μὲν ᾖ βραχὺ, κόμμα δὲ μακρόν· δεῖ οὖν γινώσκειν, ὅτι κόμμα ἐστὶ σύνθεσις διανοίας μικροτέρα κώλου, ἀπὸ μιᾶς συλλαβῆς μέχρις ἓξ ἐκτεινομένη· εἶπον δὲ ἀπὸ μιᾶς συλλαβῆς, ὡς ἐρωτῶντός τινος, νῦν ἥκεις; καὶ τοῦ ἐρωτηθέντος ἀποκριναμένου οὔ· τελεία διάνοια δεδήλωται· ἀλλὰ καὶ τὸ παρὰ τοῦ Δημοσθένους, οὗπερ ὁ τεχνικὸς ἐμνήσθη, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν ἢ οὔ, τὸ ἢ οὐ κόμμα ἐστὶν ἐρωτῶντος ὁλόκληρον ἀνθρώπου, τὸ δὲ κῶλόν ἐστι σύνθεσις λόγου διάνοιαν ἀπαρτίζον ἀπὸ ἑπτὰ καὶ ὀκτὼ καὶ δέκα συλλαβῶν, ἐγγίζον ἤδη τῷ τριμέτρῳ, ὅπερ ἐστὶ δακτυλικὸν, τὸ διῆκον μέχρι συλλαβῶν ἑπτακαίδεκα, ἀλλὰ μὴν καὶ μέχρι τοῦ μέτρου διῆκον, ἐπειδὴ τὸν ἐπῳδὸν φησι κῶλον εἶναι· ὁ δὲ ἐπῳδὸς μέχρι τριμέτρου ἰωνικοῦ καταληκτικοῦ διήκει, δηλονότι μέχρι δεκατεσσάρων συλλαβῶν αὔξεται τὸ κῶλον. ἐπῳδὸς μέτρον ἐστὶ τροχαϊκὸν τρίμετρον καταληκτικὸν, διῆκον ὁμοίως μέχρι τοῦ τριμέτρου καταληκτικοῦ· εἰ τοίνυν τις μετρεῖ τὸν ἐπῳδὸν μέχρι τριμέτρου ἰωνικοῦ, τοῦτο δὲ τὸ μέτρον κατὰ διποδίαν μετρεῖται, ὅρα ποῦ καταντᾷ τὸ μῆκος αὐτοῦ, καὶ τίς ἂν νοῦν ἔχων εἴποι κόμμα εἶναι τὸ εἰς τὸ τοιοῦτον μέγεθος ἐκτεινόμενον· δεῖ οὖν εἰδέναι, ὡς ὁ ἐπῳδὸς ὁμώνυμός φωνή ἐστι· σημαίνει [4] γὰρ τὸν τέλειον κατὰ μέγιστα μέτρα στίχον, ἤγουν τὸν τρίμετρον ἀκατάληκτον κατὰ συζυγίαν μετρούμενον, σημαίνει καὶ τὸν μικρὸν στίχον τὸν δίμετρον, ὅς ἐστι κυρίως ἐπῳδός· οἱ γὰρ ἀρχαῖοι ἐποίουν στίχους ἢ ἕνα μέγαν ἢ ἕνα μικρόν· καὶ τὸν πρῶτον τῶν μεγάλων ὠνόμαζον στροφὴν, τὸν δὲ

4 Mon. συμβαίνει.

ἕτερον τὸν ἴσον ἀντίστροφον· τὸν δὲ βραχὺν ἐπῳδόν, καὶ γὰρ περὶ τοὺς βωμοὺς ἐν ταῖς ἑορταῖς χορεύοντες ἀπερχόμενοι μὲν πρὸς τὸν βωμὸν ἔλεγον στίχον, τὸν ὀνομαζόμενον στροφήν· εἶτα στρεφόμενοι ἀπὸ τῶν βωμῶν ἐναλλάξαντες κατὰ χορείαν τὰς χεῖρας ἦδον [5] ἕτερον στίχον τὸν ὀνομαζόμενον ἀντίστροφον, εἶτα ἱστάμενοι ἔλεγον τὸν βραχὺν στίχον, τὸν ὀνομαζόμενον ἐπῳδόν, ἢ πολλάκις ἔλεγον τὸν ἕνα μακρὸν στίχον τὸν ὀνομαζόμενον στροφὴν, εἶθ' οὕτως τὸν ἐπῳδὸν, καὶ πάλιν τὸν ἕτερον μακρὸν στίχον ἤτοι τὸν ἀντίστροφον, καὶ εἶθ' οὕτως τὸν ἐπῳδόν· καὶ ἡ μὲν στροφὴ ἦν κατὰ ἀναλογίαν τῆς ἀνωτάτω σφαίρας ἀπὸ τῶν ἀνατολῶν ἐπὶ δύσιν κινουμένης, ὁ δὲ ἀντίστροφος ἀνάλογος ἦν τῇ κινουμένῃ σφαίρᾳ τῆς ἀποδύσεως ἐπὶ ἀνατολὰς κινουμένη, ὁ δὲ ἐπῳδὸς ἢ ἡ ἐπῳδὸς ἢ τὸ ἐπῳδὸν, καὶ γὰρ καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως λέγεται, κατὰ ἀναλογίαν τῆς γῆς· ἔστι δὲ ἀεὶ τὸ ἐπῳδὸν βραχύτερον τοῦ πρὸ αὐτοῦ στίχου συλλαβὰς τέσσαρας, οἷον στίχος μὲν ὁ πρῶτος, ἤγουν στροφὴ, ἤτοι κῶλον, οἷον·

Πάτερ Λυκάμβα [6], *ποῖον ἐφράσω τόδε;*

εἶτα τὸ ἐπῳδόν·

Τίς [7] *[τὰς] σὰς παρῆειρε φρένας;*

εἶτα ἀντίστροφος ἤτοι κῶλον·

Ἂς τὸ πρὶν ἠρήρεισθα, νῦν δὲ δὴ πολὺς

εἶτα πάλιν ἐπῳδόν·

Ἀστοῖσι φαίνεαι [8] *γέλως.*

τούτων οὖν δειχθέντων τὸ μὲν κῶλον ὁ στίχος ὁ μακρὸς, κόμμα δὲ τὸ ἐπῳδόν· ὁ τοίνυν χωρίσαι κόμμα ἀπὸ κώλου βουλόμενος τῇ ποσότητι τῶν συλλαβῶν χωρίσει ἐκ

---

5 Mon. ἦχον δον. 6 Mon. λυκάββα. Inter Archil. Fragm. Nr. LXXXIV. ed. Gaisf. leguntur duo versus priores. Jo. Sicel. secundum versum ita habet: τίς σὰς παριηγε [sic] φρένας, ἃς πρίν γ' ἔσχες, quare scripsi ἃς, Codd. ἧς. 7 Mon. τί. 8 Mon. ἀ-

παραλλήλου κειμένων τε καὶ κομμάτων· πᾶν γὰρ τὸ ἧττον τρῦ πρώτου συλλαβὰς τρεῖς ἢ τέτταρας ἢ πλεῖον ἔσται κόμμα· εἰ δὲ δύο, καὶ αὐτὸ κῶλον βραχυτέρου τοῦ πρώτου· πλὴν εἰ μή που [9] τὸ κῶλον εἴη βραχὺ, ἤγουν δίμετρον ἀκατάληκτον· τότε γὰρ καὶ τὸ καταληκτικὸν δίμετρον κόμμα λέγεται· οἶμαι δὲ μὴ ἐρρῶσθαι τὸν ὅρον τοῦ κώλου, οὐ γὰρ ἀεὶ ἀπαρτίζει τελείαν διάνοιαν, ἀλλ' ἔστιν ὅτε δεδομένου κώλου ἑνὸς ἐπιζητεῖσθαι καὶ ἕτερόν τι ὡς τῆς διανοίας κρεμαμένης· ἐλεγχθήσεται δὲ ὁ ὅρος μὴ εἶναι ἐρρωμένος ἐκ τῶν κατὰ πόδας παραδειγμάτων τοῦ τεχνικοῦ, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος· ταῦτα γὰρ τελείαν διάνοιαν οὐκ ἀπαρτίζει κῶλον ὄν, ἀλλ' ἐπιζητεῖ καὶ ἕτερόν τι εἰς συμπλήρωσιν τῆς διανοίας· μετοχὴ [10] γάρ ἐστιν καὶ λόγος ῥήματος, οὗ χωρὶς ἡ ἐκφωνουμένη ἢ ἐπινοουμένη [11] ἔννοια οὐκ ἀπαρτίζεται· καὶ γὰρ ὁ ἀπαρτισμὸς τῆς διανοίας τοῦ παραδείγματος τοῦ δεδομένου ὑπὸ τοῦ τεχνικοῦ ἐκ τεσσάρων κώλων συνίσταται καὶ κομμάτων πέντε· οἷον, ἀλλ' ὁ τὴν Εὔβοιαν σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν δύο κῶλα, εἶτα κόμματα δύο· καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμὸν, πάλιν κῶλον, καὶ καθιστὰς μὲν ἐν μὲν Ὠρωπῷ Φιλιστίδην τύραννον, ἐν δὲ Ἐρετρίᾳ Κλείταρχον, κόμμα, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν, ἢ οὔ· τὸ ὅλον τῆς διανοίας μέχρι τούτου· δεῖ οὖν ὁρίσασθαι τὸ κῶλον οὕτως· κῶλόν ἐστι τὸ ὅλην διάνοιαν ἀπαρτίζον ἢ μέρος ὅλον, διάνοιαν μὲν γὰρ ὅλην ἀπαρτίζει, ὡς τὸ, Ἡροδότου τοῦ Ἁλικαρνασσέως ἱστορίης ἀπόδειξις ἥδε. τὴν δὲ μὴ τελείαν ἀπαρτίζον διάνοιαν, ἀλλὰ μέρος ὅλης ὅλον, ὡς τὰ προειρημένα.

β'. Ἐπειδὴ [12] οὐκ εἶχεν εἰπεῖν ἀφωρισμένως τὴν τῶν

στοῖχι φαίνε. 9 Mon. μήπω. 10 Mon. μέτοχον. 11 ἢ ἐπινοουμένη Mon. om. 12 Incipit hic Ven. ita: Ὁ δὲ τῶν συλλαβῶν ἀ-

συλλαβῶν ποσότητα τοῦ κώλου τε καὶ κόμματος, διὰ τοῦτο ἐπήνεγκε τὸ περινενόηται ἤδη, περινενοημένου γάρ ἐστι τὸ ἐξ ἐπινοίας τοῦ λέγοντος προσλαμβάνον [13] τι.

γ'. Ἐν τῷ περὶ πνεύματός φησιν ὁ τεχνικὸς, ὡς τὸ κῶλον τὸ ὑπὲρ τὸ ἡρωϊκὸν μέτρον σχοινοτενὲς κέκληται χρήσιμον προοιμίοις καὶ ταῖς ἀπὸ τῶν προοιμίων παραβολαῖς· ὠνόμασται δὲ σχοινοτενὲς ἀπὸ μεταφορᾶς τοῦ μέτρου τοῦ γεωμετρικοῦ, ἑξήκοντα γὰρ στάδια σημαίνει καὶ οὐχ, ὥς φασί τινες, ἀπὸ μεταφορᾶς τοῦ σχοινίου· ἐκεῖνο γὰρ καὶ μικρόν ἐστι καὶ μέγα καὶ μέγιστον καὶ ὡς ἂν δοκῇ ἑκάστῳ τῶν ἐργαζομένων αὐτά.

δ'. Σημείωσαι, ὅτι τὸ κόμμα μέχρι τῶν ἐννέα συλλαβῶν διήκει, ὅτι ἔχει δύο λέξεις, τὸ δὲ κῶλον ἀπὸ τῶν ζ μέχρι τῶν ις' λέγεται ὀρθὸν καὶ τεταμένον, καὶ διή-

---

ριθμὸς περινενόηται ἤδη, ἐπειδὴ οὐκ εἶχεν. (εἰπεῖν cod. om.) tum litt. β'. finita transit ad litt. δ'. post init. Ἰστέον ὡς τὸ κόμμα τοῦ κώλου. 13. Par. add. Τρίμετρον λέγει τὸ ἴσον στίχῳ ἰάμβῳ, διὰ τὸ τὸν ἴαμβον τρία μέτρα δέχεσθαι, σπονδεῖον, ἴαμβον, καί πυρρίχιον· ἡρωϊκὸν δὲ λέγει τὸ μακρότερον ἢ κατὰ ἴαμβον, ὅτε καὶ οἱ ἡρωϊκοὶ στίχοι μακρότεροι τῶν ἰάμβων, ὅτι τρισύλλαβα μέτρα δέχεται, δάκτυλον καὶ τὰ λοιπά. Στίχος ἐστὶν, εἰ μὲν καταληκτικὸς εἴη, ἑπτασύλλαβος, εἰ δὲ ἀκατάληκτος, ὀκτωσύλλαβος; καὶ τί ἐστι κατάληξις ἐν τῇ σεμνότητι περὶ τοῦ εἰκελοῦ ἐρρήθη· τὸ τρίμετρον κατὰ συζυγίαν ὀφείλει μετρεῖσθαι, οἷον ἀρχὴν ἀπαιτῶν· τοῦτο δὲ ἐρρήθη ἐν τῇ σεμνότητι καὶ ἐν τῇ καθαρότητι. Sch. min. Τῷ τριμέτρῳ· διὰ τὸ ἔχειν τὸ ἰαμβικὸν τρεῖς συζυγίας, εἴρηται τρίμετρον. Περινενόηται ἀντὶ τοῦ ἀόριστός ἐστι τῇ διανοίᾳ τοῦ λέγοντος. Περιβολαῖς· ταῖς λαμπρότησι. Τὸν ἐπῳδόν· καταληκτικοῦ μὲν, τί σοι θέλεις γενέσθαι, ἀκαταλήκτου δὲ, τί θέλεις ποιήσω σοι. Τὸ δὲ ὑποκάτω· ἐπῳδός ἐστι κόμμα διάνοιαν δηλῶν ἐν ὀκτὼ συλλαβαῖς, ὥσπερ τὰ Ἀνακρέοντος, ἐπῳδὸς δὲ λέγεται, ὅτι οἱ περὶ τὸν βωμὸν χορεύοντες μετὰ τὸ (Cod. τὸ non habet) στραφῆναι καὶ ἀντιστραφῆναι ἵσταντο λέγοντες τὸν ἐπῳδόν. Οὔτε λέξει· τῇ δυνάμει τοῦ λέγοντος.

κει μέχρι τῶν λβ'. Ἰστέον δὲ, ὅτι τὸ κόμμα τοῦ κώλου οὐ μόνον τῇ ποσότητι τῶν συλλαβῶν διαστέλλεται, ἀλλὰ καὶ τῷ ἀριθμῷ τῶν λέξεων· τὸ γὰρ κόμμα οὐ περαιτέρω τῶν τριῶν πρόεισι λέξεων, ἀλλ' εἴ τι πλέον τῶν τριῶν προΐοι λέξεων, κῶλόν ἐστιν· ἀλλ' οὐδὲν πάλιν εἰ αἱ λέξεις ὦσι πολυσύλλαβοι κἂν δύο εὑρίσκοιντο, κῶλον [14] ἀπαρτίζειν παραιτοῦνται. οὐ γὰρ, ἀλλ' εἰ μὲν ἐντὸς εἶεν τοῦ ἰ ἢ θ' ἀριθμοῦ ἀμφιβάλλεται, εἰ κόμμα τοῦτο, ἢ κῶλον, ἐπῳδῷ ἴσον· ὁ γὰρ ἐπῳδὸς συλλαβῶν ἐστιν ἡ ἢ θ', ὡς τό· τίς σὰς παρήειρε φρένας; εἰ δὲ καὶ ἐκβαίη τὸν ἰ ἀριθμὸν ἡ τῶν συλλαβῶν ποσότης, κἂν δύο εἶεν αἱ λέξεις, οὐδεὶς λόγος μὴ οὐχὶ κῶλον εἶναι τὴν συνθήκην.

ε. Οὐχ ὑποβάλλεται ἀριθμῷ τὰ πνεύματα, ἀλλ' ὅσας θέλεις ὁμοίως καὶ τὸ κῶλον καὶ τὸ κόμμα δέχεται κατὰ τὸν τόπον συλλαβὰς, ποτὲ μὲν τόσας, ποτὲ δὲ τόσας· πλὴν χρὴ μὴ ὑπερβαίνειν παντελῶς τῶν μέτρων τοὺς ὅρους.

ς'. Μαθόντες τί ἐστι πνεῦμα, μάθωμεν καὶ, πόσα εἴδη πνευμάτων, καὶ γὰρ ἡ νόημα ἐν πλείοσι κώλοις ἐν ἑρμηνείᾳ ἐργαζόμενον ἐπεκτείνεται, καὶ γίνεται [15] μὲν κῶλα δύο ἢ [16] καὶ τρία νοήματος ἑνὸς ἐχόμενα· ὅπερ καὶ ἀκμή ἐστιν κατὰ φράσιν, ἢ ἕκαστον νόημα ἀπαρτίζεται κώλῳ, τοῦτο δέ ἐστιν ἀληθὴς ἀκμὴ κατὰ νόημα, ὡς προϊὼν ὁ τεχνικὸς διδάξει· καὶ τοῦ μὲν πρώτου παράδειγμα· ὅτε γὰρ περιὼν Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς [17] δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτόν· καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ [18] τῆς εἰρήνης ἐξουσίᾳ

---

14 Ven. τὸ κῶλον ἀπαρτίζον. 15 Par. γίνονται. 16 ἢ Mon. om. Sch. min. Μέχρις ἐνταῦθα τί ἐστι πνεῦμα ἔλεγεν, ὡς προαναταττόμενος ὑπέσχετο, νῦν δὲ τὰ εἴδη αὐτοῦ κατὰ δεύτερον λόγον διέξεισιν. 17 τινὰς Mon. om. 18 τῇ Mon. om.

βαδίζοντες ἐκεῖσε διεφθείροντο [19], ἂν εἷς [20] οὗτος ἦν, τότε δὴ τότε πάντες [21], ἐφ' οὓς ταῦτα παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ· τοῦτο νόημά ἐστιν ἐν τῇ ἑρμηνείᾳ μηκυνθὲν, καὶ γεγονὸς ἐξ ἑπτὰ κώλων καὶ δύο κομμάτων, ὃ ὀνομάζεται πνεῦμα καὶ κατὰ τὴν ἑρμηνείαν ἀκμή· τοῦ δὲ δευτέρου παράδειγμα· ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, ἓν νόημα· καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, ἕτερον, καὶ κατασκάπτων Πορθμὸν, ἕτερον, ἕκαστον γὰρ αὐτῶν ὅλον ὅλου νοήματός ἐστι συναπαρτιζόμενον τῷ κώλῳ, καί ἐστιν ἀκμὴ τελεία καὶ ἀληθής. Καιρὸς δὲ μεταβῆναι ἡμᾶς· ἐπὶ τὸ τρίτον κεφάλαιον, πῶς γίνεται πνεῦμα· ὅπερ ἐν κατασκευῇ μὲν καὶ ἐπαγγελίᾳ ἔφη πῶς γίνεται, ὑποκατιὼν δὲ, πῶς ἐλέγχεται· φησὶ γάρ· ἐλέγχεται τὸ πνεῦμα τῇ ἐπιμονῇ τοῦ σχήματος, εἰ μὲν ἄρξεται τοῦ σχήματος τοῦ λέγοντος ἐξ ἀποφάσεως· ἀποφατικῶς δεῖ εἶναι τὰ κῶλα πάντα, ἕως οὐκ ἀπαρτισθῇ τὸ πνεῦμα· εἰ δὲ ὑπαλλάξας τὸ σχῆμα ἐκ τῆς ἀποφάσεως ἔλθῃς εἰς ἐρώτησιν ἢ εἰς δεῖξιν ἢ εἰς ὑποστροφὴν ἢ εἰς ἄρνησιν τεμὼν τὸ πνεῦμα, οὗ ἤρξω [22], ἕτερον ἀπειργάσω. — Εἰπὼν [23], ὅτι δεῖ ἐπιμεῖναι τῷ σχήματι

19 Sch. min. ἀντὶ τοῦ ἐδωροδοκοῦντο παρὰ Φιλίππου. 20 Schol. min. ὑπισχνεῖται τὸν Αἰσχίνην δεῖξαι παρὰ Φιλίππου χρήματα λαβόντα. 21 πάντες Par. om. Schol. min. τοῦτο ἀκμή ἐστι κατὰ ἔννοιαν· διάφορα γὰρ ἔχει νοήματα, ὡς μετ' ὀλίγον Ἑρμογένης δηλώσει. Ἐλέγχεται τὸ πνεῦμα· νῦν λέγει, πόθεν γίνεται τὸ πνεῦμα κατὰ τρίτον λόγον, ὡς ὑπέσχετο. 22 Par. εἴρξω. 23 Praecedit in Par. Τοῦτο ἀκμή ἐστι κατὰ μόνην τὴν ἑρμηνείαν, ὡς μετ' ὀλίγον ὁ τεχνικὸς ἐρεῖ, διὰ γὰρ πολλῶν κώλων τὴν αὐτὴν παρίστησιν ἔννοιαν. Τοῦτο ἡ σύνθεσις· καὶ γνῶθι, ὅτι ἀπήρτισται τῷ τεχνικῷ, ὡς ὑπέσχετο ἐν τῇ ἀρχῇ τοῦ κεφαλαίου, τὰ τέσσαρα· τί ἐστι πνεῦμα, πόσα εἴδη αὐτοῦ, πόθεν γίνεται καὶ

ματι τῷ κατ' ἐρώτησιν τυχὸν ἢ τῳ ἄλλῳ, εἰ βούλοιτό τις ἐπιδεῖξαι τὴν τέχνην καὶ ποιῆσαι πνεῦμα, καὶ προσθεὶς τὸ συνδεῖται καὶ εἴτονον γίνεται τὸ πνεῦμα τοῖς συνεχέσι συνδέσμοις τοῖς συμπλεκτικοῖς [24], οἷον ἂν λέγῃς, οὐ σὺ μὲν Εὔβοιαν ἐσφετερίζου, οὐ σὺ δὲ κατεσκεύαζες, καὶ ἔτι ἐπαγαγὼν τὸ καὶ πάσχει δέ γε κεκοσμημένον [25] ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀντὶ τοῦ πάθος ἐμφαίνει ψυχῆς· οἷον θυμὸν τοῦ λέγοντος καὶ ζῆλον δείκνυσι· τὸ ὡς δὲ συντιθέμενον ἄνωθεν ἕως τέλους ἔμελλε καὶ παραδείγματα θεῖναι· ἀλλ' ἐπεὶ σαφὲς ἦν τοῦτο καὶ πάντα τὰ σχήματα τοιαῦτά εἰσι, καὶ παρέλκον ἦν τὸ παραδειγματίσαι, οὐκ ἐποίησε τοῦτο [26]· παράδειγμα γὰρ, φησὶν, οὐκ ἔθηκα, ὅτι πάντα τὰ πνεύματα οὕτως ἔχουσι.

ἡ. Πρῶτον μὲν γάρ ἐστιν ἀποφαντικὸν [27] σχῆμα, ἐν ᾧ ἐμμένων καὶ τὰ κῶλα πάντα ἐκφέρων ἀποφαντικὸν ποιεῖ πνεῦμα· οἷον [28] ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ κατασκάπτων Ὠρεὸν καὶ καταλαμβάνων Πορθμὸν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δὲ Ἐρετρίᾳ Κλείταρχον διὰ τὴν ταυτότητα τοῦ σχήματος ἔν ἐστι πνεῦμα, τοῦτο τὸ ὅλον· πάλιν ἂν εἴπῃς ἐρωτηματικῶς, [29] τίς ὁ τὴν Εὔβοιαν σφετεριζόμενος; τίς ὁ κατα-

---

ἐλέγχεται, καὶ νῦν εἶπε, τὸ πῶς συνδεῖται καὶ συντίθεται 24 Schol. min. τῷ τοὺς συνδέσμους ἔχειν· οἷον ὅτε γὰρ περιῴων ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, καί τινας τῶν Ἑλλήνων, καὶ ἑφεξῆς συνδέσμους ἔχει πολλούς. Ὅθεν βούλει· ἀντὶ τοῦ ἀπὸ παροχημένου, καὶ μέλλοντος καὶ τῶν λοιπῶν. 25 Par. κοσμουμένων. 26 οὐκ ἐποίησε τοῦτο Par. om. 27 Mon. h. l. et mox ἀποφατικόν. Schol. min. τὰς τηρήσεις· τὰς γνώσεις τῶν πνευμάτων· ὅρα δὲ τοῦ διδασκάλου τὸ ἄφθονον· εἰπὼν γὰρ, ὅτι παράδειγμα οὐκ ἔθηκα, ὅμως τίθησιν. 28 Dem. pro cor. p. 248. 29 Schol. min. ἀπὸ τοῦ ἀποφαντικοῦ ἐποίησεν ἐρωτηματικὸν σχῆμα. Ἀντὶ τοῦ ἄρθρου· ἐν τῇ ὀνοματικῇ ἔλεγες, ἀλλ' ὁ τὴν

σκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν; τίς ὁ καταλαμβάνων Ὠρεόν; τίς ὁ κατασκάπτων Πορθμόν; τοῦτο πάλιν ἕτερον πνεῦμα· ὁμοίως δὲ καὶ ἐὰν δεικτικῶς ἀποφαίνῃ, οὗτός ἐστιν ὁ τὴν Εὔβοιαν σφετεριζόμενος, οὗτος ὁ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ τὰ ὅμοια· μέχρι γὰρ ἂν ἐπιμείνῃς τῷ αὐτῷ σχήματι, φυλάττεται καὶ τὸ πνεῦμα, εἰ δὲ ὑπαλλάξεις τὸ σχῆμα, ἕτερον πνεῦμα ποιεῖς. Καιρὸς δὲ καὶ περὶ τετάρτου εἰπεῖν κεφαλαίου, τοῦτο δέ ἐστι τὸ ἐν ἐπαγγελίᾳ μνημονευθὲν τῷ τεχνικῷ, πῶς συντίθεται τὸ πνεῦμα ἐν τῇ ἀποδείξει, πῶς συνδεῖται καὶ συντίθεται καὶ εὔτονον γίνεται· καί φησιν, ὅτι διὰ τῶν συμπλεκτικῶν συνδέσμων συνδεῖται· ὥσπερ γάρ τὰ ἐκ πολλῶν ξύλων καὶ σανίδων διὰ τῶν γόμφων ἕν τι γίνονται, οὕτω τὰ κῶλα καὶ κόμματα συντιθέμενα διὰ τῶν συνδέσμων, οἷα γόμφων καὶ περονῶν, ἓν γινόμενα εἰς πνεύματα ἀποτελοῦνται. Πέμπτον δὲ κεφάλαιόν ἐστι, πόσα σχήματα πνευμάτων. καί φησιν, ὅσα καὶ λόγων· ἔστι γὰρ πνεῦμα σχήματος ἀποφαντικόν, ὡς τό, ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καί κατασκευάζων ἐπιτείχισμα καὶ τὰ ἑξῆς· δεύτερον ἐρωτηματικόν, τίς ὁ τὴν Εὔβοιαν σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα καὶ τὰ ἑξῆς, μὴ ἀλλασσομένου τοῦ σχήματος ποιεῖ τὸ πνεῦμα, ἡνίκα γὰρ ἀλλαγῇ τὸ σχῆμα, ἕτερον πνεῦμα γίνεται· τρίτον ἐλεγκτικόν, οὐχ οὗτος ὁ τὴν Εὔβοιαν σφετεριζόμενος. τέταρτον τὸ δεκτικόν· οὗτός ἐστιν ὁ τὴν Εὔβοιαν σφετεριζόμενος· πέμπτον τὸ ἐνστατικόν· οὐ τὴν Εὔβοιαν ἐσφετερίζου; οὐ κατεσκεύαζες ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ ἑξῆς· ἕκτον, ὅταν εἰς ἑαυτόν τις στρέψας εἴπῃ περὶ ἑαυτοῦ· ἐγὼ [39] τὴν

Εὔβοιαν· ἐν δὲ τῇ ἐρωτήσει, τίς ὁ τὴν Εὔβοιαν σφετεριζόμενος, καὶ αὐτὰ λέγων τὰ ῥήματα μόνῃ τῇ ὑπαλλαγῇ τοῦ ὁ εἰς τὸ τὶς κατεχρήσω. Μόριον τὸ τὶς λέγει· οὕτω δὲ τὸ ἀκόλουθον· τὸ τὶς παραλαβὼν μόριον διὰ τὸ σχῆμα. 30 Schol. min. οἷον ὅτι δί-

Εὔβοιαν ἐσφετεριζόμην, ἢ ἐγὼ ἦμην ὁ τὴν Εὔβοιαν σφετεριζόμενος. καὶ τὰ ἑξῆς· ἕβδομον, τὸ ἀρνητικόν. οὐκ ἐγὼ τὴν Εὔβοιαν ἐσφετεριζόμην, καὶ ἑξῆς· ὄγδοον, τὸ ἀποτρεπτικόν, μή μοι τὴν Εὔβοιαν σφετερίζου, μηδὲ κατασκεύαζε ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ τὰ ἑξῆς. δύναται δὲ ἀλλάξαι τὸ σχῆμα, καὶ τὸ ἐνικῶς λεγόμενον σχηματίσαι πληθυντικῶς, καὶ τὸ ἀνάπαλιν ἀλλ' οἱ τὴν Εὔβοιαν σφετεριζόμενοι ἀποφαντιτῶς καὶ τὰ ἑξῆς, καὶ κατ' ἐρώτησιν, τίνες οἱ τὴν Εὔβοιαν σφετεριζόμενοι; καὶ ἁπλῶς καὶ κατὰ ἔλεγμόν,[31] οὐχ οὗτοί εἰσιν οἱ τὴν Εὔβοιαν σφετεριζόμενοι· καὶ κατὰ ἀποστροφὴν καὶ ἄρνησιν καὶ ἀποτροπήν· δύνασαι δὲ καὶ κατὰ ἔγκλισιν ἀλλάξαι καὶ ποιῆσαι τὸ ὁριστικὸν προστακτικὸν καὶ εὐκτικὸν καὶ ὑποτακτικόν, καὶ τὰς πτώσεις μεταποιῆσαι καὶ ἐκφέρειν οὐ μόνον κατ' εὐθεῖαν ὡς τὸ προκείμενον, ἀλλὰ καὶ κατὰ γενικὴν καὶ δοτικὴν καὶ αἰτιατικὴν καὶ κλητικήν· δύνασαι δὲ καὶ ὀνόματι ἐκφέρειν κυρίῳ καὶ προσηγορικῷ, καὶ ἐπιθέτῳ καὶ εἰδικῷ, καὶ ἐθνικῷ καὶ πρός τι. ὡς τὸ, Φίλιππός ἐστιν ὁ τὴν Εὔβοιαν σφετεριζόμενος, ἄνθρωποί εἰσιν οἱ τὴν Εὔβοιαν σφετεριζόμενοι· βιάζομαι γὰρ τὸ παράδειγμα· ἐπεὶ, φαίης ἂν, ἄνθρωποί εἰσιν οἱ τῶν κοινῶν φροντίζοντες καὶ ἐκ μικρῶν μεγάλας τὰς πόλεις καθιστάντες· ἐπίθετον δὲ, ἀνδρεῖοί εἰσιν οἱ τοὺς πλείονας ἥττονες ὄντες ὑπερνικῶντες,[32] ἐθνικὸν δὲ, Μακεδόνες εἰσὶν οἱ τὴν Εὔβοιαν σφετεριζόμενοι, πρός τι δὲ, ἐχθροὶ Ἀθηναίων εἰσὶν οἱ τὴν Εὔβοιαν σφετεριζόμενοι· ἐκφέρεται δὲ καὶ δι' ἀντωνυμίας, ὡς τό· οὗτος καὶ οὗτοι. καὶ ἐκεῖνος καὶ ἐγώ· καὶ ἡμεῖς καὶ ὑμεῖς· καὶ διὰ μετοχῶν· καὶ διὰ τὸ σαφὲς καὶ φανερόν· οὐκ ἔθηκα οὔτε τῶν γενῶν οὔτε τῶν πασῶν ἐγκλίσεων παραδείγματα πρὸς

ναται λέγεσθαι ἀπὸ προσώπου τοῦ Φιλίππου, ἐγὼ ἦμην ὁ τὴν Εὔβοιαν σφετεριζόμενος καὶ τὰ ἑξῆς. 31 Mon. ἔλεχμον. Par. 1. ἐλεγμόν. 32 Par. οἱ τοὺς πλείονας ἡττῶντες.

τὸ μὴ γενέσθαι τὸν λόγον προσκορῆ τοῖς ἀναγινώσκουσιν ἐντυγχάνουσιν, οἷσπερ ἐπίστανται.

ϑ'. Πληρώσας ὁ τεχνικὸς τὸν περὶ τοῦ πνεύματος λόγον, ἐξ ἧς διδάσκει περὶ ἀκμῆς· καὶ γὰρ ἐν τῇ διαιρέσει τῶν εἰδῶν τοῦ λόγου φησίν·[33] ὅσα δὲ παιηγυρικὰ τῷ νῷ, ἢ παραδειγματικὰ, ἢ ἐκ παραβολῆς λαμβανόμενα, ταῦτα δεῖ πνευματικῶς ἀποτείνοντας καὶ ἀκμαίως ἐκφέρειν, εἰπὼν οὖν περὶ πνεύματος ὅσα ἐχρῆν, ἐξῆς περὶ ἀκμῆς διαλαμβάνει, καί φησιν ὅτι ἡ ἀκμὴ διττή. ἐστὶ γὰρ ἀκμὴ διανοίας, ὅταν πληρώσας τις ἐννόημα ἐν πνεύματι εἰς ἄλλο νόημα λαθὼν μεταθῇ[34] καὶ ποιήσῃ ἕτερον πνεῦμα. εἶτα πληρώσας κἀκεῖνο εἰς ἄλλο πνεῦμα μεταβῇ, οἷον πνεῦμα πρῶτον. ὅτε γὰρ περιῴων ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτόν· καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες, ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν. τότε δὴ πάντες, ἐφ' οὓς ταῦτα παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ· μέχρι τούτου τὸ ἓν

33 Eadem aliis verbis expressa praecedunt in Par.: ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ παρόντος πρώτου τόμου κατ' ἀρχὰς εὐθὺς τοῦτο εἶπεν, ὅτι ὅσα ἐπιχειρήματα παιηγυρικὰ τῷ νῷ, ἤτοι παρ. — — — πνευματικῶς ἀποτείνεσθαι καὶ ἀκμαίως· ὅπερ οὖν ἐκεῖσε προέθετο, τοῦτο νῦν ἐσαφήνισε περὶ πνεύματος φάμενος καὶ ἀκμῆς. Ὁ δὲ ἀκμαῖος λόγος. τοῦτό φησιν, ὅτι ἡ ἀκμὴ διχῶς γίνεται, καὶ κατὰ ἔννοιαν καὶ κατὰ λέξιν, καὶ οὐχ ἡ αὐτή ἐστιν, ἄλλο γὰρ ἀκμὴ διανοίας, καὶ ἄλλο τι παρ' ἐκεῖνο λέξεως· περὶ δὲ ἀκμῆς ἔμαθες καὶ ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τούτου τοῦ βιβλίου, ἐν ᾧ περὶ διηγήσεως διαλέγεται. Sch. min. ἀκμαῖος ὁ ἰσχυρὸς, ὁ ἀκμάζων. περὶ δὲ ἐτυμολογίας ἀκμῆς εἴρηται εἰς τὸ περὶ μύθου ἐν τοῖς προγυμνάσμασιν. Μία ἐστὶν ἀκμὴ τῶν ἰδεῶν τῶν ὑποβεβηκυιῶν τῷ μεγέθει τοῦ λόγου καὶ ἀξιώματι. Ἀναστῆσαι τοὺς ἀκούοντας· πτερῶσαι, διεγεῖραι. 34 Mon. μεταβολῇ.

πνεῦμα διήκει, ὡς μὴ ἀλλάξαν τὸ νόημα, εἶτα ἤρξατο πνεύματος ἑτέρου ἐξεργασίας· ἡ δὲ ἐργασία, ὡς ἐν τῷ τρίτῳ τόμῳ μεμαθήκαμεν, λαμβάνεται ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, ἀπὸ μικροτέρου, ἀπὸ μείζονος, ἀπὸ ἴσου, ἀπὸ ἐναντίου· ἄρτι οὖν βουλόμενος ἐργάσασθαι τὸ ἐπὶ τῷ προῤῥηθέντι πνεύματι, φησὶν, ἕτερον πνεῦμα ἀπὸ παραδείγματος· ἐγὼ μὲν γὰρ προὔλεγον καὶ διεμαρτυράμην καὶ παρ' ὑμῖν ἀεὶ καὶ ὅπου πεμφθείην, αἱ δὲ πόλεις ἐνόσουν· μέχρι τούτου τὸ δεύτερον πνεῦμα, ἀκμὴ δὲ λέγεται, ὅταν πληρωθῇ τὸ ἓν πνεῦμα, καὶ κατὰ σχῆμα ἑνὸς εἴδους τῶν σχημάτων, εἰς ἕτερον σχῆμα μεταβῇ, τότε γίνεται ἀκμὴ ἐν τῇ μεταβολῇ τοῦ σχήματος τοῦ νοήματος μὴ ἀλλασσομένου· διπλῆς τοίνυν οὔσης τῆς ἀκμῆς διανοίας τε καὶ λόγου, δεῖ ἐν τῇ ἀκμῇ τῶν νοημάτων τὸ ποριμώτερον τελευταῖον τιθέναι· ποριμώτερον δέ ἐστι τὸ ἐκ παραδειγμάτων καὶ παραβολῶν τὴν σύστασιν λαμβάνον· οἷον ὡς ἐποίησεν Ὅμηρος· καὶ γὰρ αὐτὸς πληρώσας τὸ πνεῦμα κατὰ κῶλον ἐν πράγμασιν, ἐπὶ τὴν παραβολὴν ἦλθεν·

Ἀσπὶς ἄρ' [35] ἀσπίδ' ἔρειδε· κόρυς κόρυν· ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φαλοῖσι
Νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.

εἶτα ἡ παραβολὴ ἐπάγεται·

Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι. [36]

φησὶν οὖν ὁ τεχνικὸς, ὅτι ἀκμῆς γινομένης ἀπὸ τῶν νοημάτων, δεῖται τελευταῖον τηρεῖν τὸ ποριμώτερον. δεῖ γὰρ ἀεὶ τὸν λόγον αὔξειν· ποριμώτερον δέ ἐστι τὸ ἀπὸ παραδειγμάτων τὴν σύστασιν λαβεῖν δυνάμενον ἢ παραβολῶν· οὕτω γὰρ τῆς τέχνης τάξιν σε διδασκούσης καὶ ἐπὶ τὸ κρεῖττον κατ' ὀλίγου προαγομένης καὶ ἀναγούσης, εὐδοκιμεῖν ἡ ψυχὴ δοκεῖ τῆς τέχνης δι' ὧν προσῆκεν

35 Mon. δ' ἄρ. Il. *II.* 215—217. 36 Il. *II.* 212.

εὐοδούσης.[37] καὶ μετά τινά φησιν· καὶ Ὅμηρος τὸ κατὰ κῶλον πνεῦμα ἐν πράγματι πληρώσας ἐπὶ τὴν παραβολὴν ἦλθεν·

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φαλοῖσι
Νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν,

εἶτα ἡ παραβολή,

Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισιν·

ἕκαστον παράδειγμα μετὰ τὴν περὶ αὐτοῦ ἑρμηνείαν τιθέμενον μαρτυρεῖν ὀφείλει ἀληθεῖ οὔσῃ καὶ οὐκ ἐναντιοῦσθαι αὐτῇ· οἷον πᾶς μέσος ὅρος, τῆς μὲν ἐλάσσονος προτάσεως κατηγορούμενος· τῇ δὲ μείζονι ὑποκείμενος, καταφατικῆς οὔσης τῆς ἐλάσσονος προτάσεως, τῆς δὲ μείζονος καθόλου καὶ αὐτῆς καταφατικῆς, καθόλου καταφατικὸν συνάγει συμπέρασμα· οἷον τὸ ζῶον τοῦ ἵππου μὲν κατηγορεῖται, τῇ οὐσίᾳ δὲ ὑπόκειται· πᾶς γὰρ ἵππος ζῶον, καὶ πᾶν ζῶον οὐσία, πᾶς ἄρα ἵππος οὐσία· εἰ δὲ φάμενος τὰ ἰδιώματα τοῦ πρώτου σχήματος δέδωκε παράδειγμα μὴ συνάγον καθόλου καταφατικὸν συμπέρασμα, ὡς τὸ πᾶς ἄνθρωπος ζῶον, οὐδὲν ζῶον λίθος, οὐδεὶς ἄνθρωπος λίθος, τί ἂν ἐδόκει λέγειν ὁ ταῦτα φάμενος; οὐκ ἔξω τοῦ καθεστηκότος τυγχάνειν, οὐ παραπληξίᾳ καὶ ἀνοησίᾳ ἔνοχος εἶναι, οὐχὶ ληρεῖν καὶ ἀγνοεῖν, ὅ τι καὶ φθέγγεται; οὕτως οὖν καὶ ἐνταῦθα εἰπὼν ὁ τεχνικὸς, δεῖ τελευταῖον τηρεῖν τὸ πορισμώτερον· τοῦτο δέ ἐστι τὸ ἐκ παραδειγμάτων καὶ πρὸς πίστωσιν οἰκείαν προαγαγὼν ῥητὸν Ὁμηρικὸν, ποταπὸν ὤφειλε προαγαγεῖν ἐναντίον ἑαυτοῦ, ἢ ἁρμόδιον τῷ κανόνι αὐτοῦ· καὶ οὐκ ὤφειλε προφέρειν ῥητὸν, ἔχον τὰ πράγματα πρῶτον καὶ ἑπομένην τὴν παραβολὴν, πάντως οἶμαι συμφήσειεν ἂν ἕκαστος τῶν συνιέναι δυναμένων· ὁ δὲ προήνεγκε μὲν τὴν ἐκ τοῦ Ὁμήρου μαρτυρίαν, οὐχ Ὁμηρικῶς δέ· ὁ μὲν

37 Par. ad marg. γρ. ὁδευούσης.

γὰρ Ὅμηρος πρῶτον τὴν παραβολὴν τέθεικε καὶ οὕτω τὰ πράγματα·

Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Ὡς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

καὶ ἑξῆς. εἰ δὲ πρὸς τὴν χρείαν τῆς αὐτοῦ διδασκαλίας φαίη τις μεταπλάσαι τὸ Ὁμηρικὸν, ἔδει αὐτὸν μεταπεπλασμένον προφέροντα μὴ εἰπεῖν, ὡς Ὅμηρος τὸ κατὰ κῶλον πνεῦμα ἐν πράγμασι πληρώσας ἐπὶ τὴν παραβολὴν ἦλθεν. ἀλλ' ἢ μηδόλως τὸ Ὁμηρικὸν τοῦτο προαγαγεῖν ῥητὸν, ἢ προαγαγόντα εἰπεῖν, ὡς Ὅμηρος μὲν πρὸ τοῦ πράγματος τὴν παραβολὴν προὔθετο, καὶ ὡς εἰπεῖν τινα αἰτίαν. σὺ δὲ, ὦ φίλος, πρὸς τὸ διδασκόμενον εἴπερ εὐδοκιμεῖν βούλοιο τὰ πράγματα προθέμενος, ἐπάγαγε τελευταίαν τὴν παραβολήν. ἀλλ' εἰ καὶ τοῦτο ἐποίησεν, εἶπεν ἄν τις, καὶ εἰ μὴ κατὰ τὴν σὴν διδασκαλίαν τὸ τοῦ Ὁμήρου ὑπάρχει πνεῦμα, τίς χρεία μνησθῆναι αὐτοῦ, εἰ δὲ λόγων ἐβούλετο καὶ αἰτιῶν ἀπαλλαγῆναι ἢ σιγῆσαι τὸν Ὅμηρον ἢ ἕτερον αὐτοῦ ἐφευρηκότα πνεῦμα, συνηγορεῖν τῇ αὐτοῦ διδασκαλίᾳ, προσενεγκεῖν ἀμέμπτως· εἰσὶ γὰρ παρ' Ὁμήρῳ καὶ οὐκ ὀλίγα οἷον·

Αὐτὰρ ὑπὸ χθὼν [38]
Σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων·
Ἕσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι
Μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.

καὶ πληρώσας τὸ κατὰ κῶλον πνεῦμα ἐν πράγμασιν ἐπὶ τὴν παραβολὴν ἦλθεν·

Ἧΰτε μυιάων ἀδινάων ἔθνεα πολλά· [39]

καὶ πάλιν,

Αὐτὰρ [40] ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστος,
Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς·

38 Il. B. 465—68. 39 Il. B. 469. 40 Il. Γ. 1—3.

εἶτα ἡ παραβολή·

Ὥϋτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθεν πρό·

καὶ πάλιν ἕτερον, ὃ καὶ πάντων ἐστὶν ἁρμοδιώτερον·

Οὐδὲ[41] σέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο
Ἀθάνατοι,[42] πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη·
Ἣ δὲ τάσον μὲν ἔεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ
Παιδὸς ἐέργει μυῖαν, ὅθ'[43] ἡδεῖ λέξεται ὕπνῳ·

καὶ ταῦτα μὲν περὶ τοῦ πορριμωτέρου· ἑξῆς δὲ τρεψόμεθα ἐπὶ τὴν ἐν πνεύματι τάσιν.

ι. Μεταποίησις[44] τοῦ πνεύματος εἰς περίοδον· ὃς γὰρ Φίλιππον ὁρῶν πάντα καταλαβεῖν[45] βιαζόμενον καὶ τοῖς ἐνσπόνδοις ἀεὶ[46] πανούργως ἐπιτιθέμενον οὐ συνίει λοιπὸν ταῖς ἐκείνου τοῦ πολέμου περιεχόμενος ἄρχυσιν, οὗτος ἐμοὶ μάτην[47] τανῦν διαχλεῖ.

---

41 Il. Δ. 127—131. 42 ἀθάνατοι codd. om. 43 Mon. ὅδ'. 44 Ven. litt. ε'—θ'. omissis: Τότε, ὅτε περιὼν ὁ Φίλιππος καὶ τὰ ἑξῆς. 45 Par. Ven. καταλαβεῖν. Mon. καταβαλεῖν. 46 ἀεὶ ex Ven. recepi. Mon. om. 47 Par. ταύτην. Sch. min. θελήσας ἐργάσασθαι· τοῦτό φησιν, ὅτι, εἰ μὲν μία ἐστὶν ἡ ἔννοια, γέγηται δὲ μία ὑπαλλαγὴ τοῦ πνεύματος ἢ καὶ δύο καὶ τρεῖς, ἀκμὴ γίγεται, ἀλλὰ κατὰ μόνην τὴν ἑρμηνείαν· οὐ μὴν καὶ κατὰ ἔννοιαν· εἰ δὲ μὴ τῆς ἐπιμονῆς τοῦ πνεύματος γέγηται ὑπαλλαγή, οἷον ἐξ ἐρωτηματικοῦ εἰς ἀποφαντικόν, ἀλλὰ ταύταις καὶ ἐννοιῶν ὑπαλλαγαὶ ἕψονται, τηνικαῦτα τελεία καὶ κατὰ ἔννοιαν ἀκμὴ γίνεται. Ἄλλο πνεῦμα· εἶτα εἰς ἕτερον πνεῦμα ἐνέπεσεν οὐ διὰ τῆς αὐτῆς ἐννοίας. Μέχρι τῶν προδοτῶν· τοῦ Δημοσθενικοῦ χωρίου λέγει, ἐν ᾧ περὶ τῶν προδοτῶν διαλέγεται. Κατὰ ἄλλα· πνεύματα δηλονότι. Ἐκείνους· τρίτη ἔννοια ἐκείνους τοὺς προδότας λέγει τοὺς ἐμφερομένους τῷ Δημοσθενικῷ λόγῳ. Καταλιπὼν πάλιν· ὁ Δημοσθένης. Παραδείγματα· ἃ ἔθετο ὁ Δημοσθένης, λέγει ἐν ἐκείνῳ τῷ λόγῳ κατὰ τῶν προδοτῶν· ὃ δὲ Ἑρμογένης ἐν τῇ τέχνῃ αὐτῶν οὐκ ἐμνήσθη. Εἰς κατασκευὴν τούτου· τοῦ ὅτι αὐτοὺς ἐπώλησαν. Ἔστη ἐνταῦθα· τοῦ λόγου

Cap. V.

Περὶ τάσεως.[1]

Τάσις ἐστὶ λόγου, ὅταν ὑπεραίρῃ τῷ μέτρῳ τὸ πνεῦμα μακρότερον γινόμενον ὑπὲρ τὸ δύνασθαι ἐν ἰδίῳ ληφθῆναι τοῦ λέγοντος πνεύματι· τοῦτο γάρ ἐστιν ἡ τάσις, τὸ ἀποτετάσθαι ἐπὶ μήκιστον ἢ χρὴ τὸ πνεῦμα. ἔστι δὲ φανερὸν τὸ πνεῦμα, ὅτι τάσις ἐστὶ λόγου εἶπεν ὁ τεχνικὸς, ἀντὶ τοῦ τάσις πνεύματος· πρῶτον μὲν γάρ, ὅτι οὐ περὶ ἁπλῶς λόγου ποιεῖται τὸν λόγον, δεύτερόν φησι περὶ τάσεως τῆς ἐν πνεύματι, οὐκ εἶπε περὶ τάσεως τῆς ἐν λόγῳ. οὐκ ἂν οὖν ἐπηγγείλατο περὶ πνεύματος καὶ περὶ λόγου ἐδίδασκεν. Αὕτη δὲ ἡ τάσις[2] γίνεται καὶ ἐν κατηγορίαις καὶ ἐν ἀπολογίαις· εἶδος δὲ ἔχει ἡ τάσις τὴν καταφοράν, ἥτις ἐν ταῖς κατηγορίαις μόνον λαμβάνεται· καταφορὰ γάρ[3] ἐστιν ἡ ἐν τῇ κατηγορίᾳ τάσις, ὡς εἶναι τὴν μὲν τάσιν γένος, κατηγορίαν δὲ διαφορὰν συστατικήν· ὡς ἂν εἴποι τις καταφορά ἐστι τεταμένη κατηγορία·[4]

δηλονότι ὁ Δημοσθένης· ἐν τούτῳ ἔστη τοῦ λόγου. Ποριμώτερον, τὸ ἰσχὺν καὶ πλείονα ὕλην παρέχον. Δεῖ εἰδέναι, ὅτι τὰ παραδείγματα ἐξ ὁμοιοειδῶν, [Cod. ὁμοιειδῶν et ἀνομοιειδῶν] αἱ δὲ παραβολαὶ ἐξ ἀνομοιοειδῶν λαμβάνονται.

1 Caput hoc non est in Ven., qui omnino nihil continet, nisi: περὶ διλημμάτου, περὶ τροπῆς, περὶ σεμνοῦ λόγου, περὶ κακοζήλου, περὶ τῶν ἐσχηματ. προβλημάτων. 2 αὕτη δὲ ἡ τάσις — ἀπολογίαις Mon. om. 3 Par. δέ. Sch. min. ὅτι καταφορὰν λέγει τὴν ἐπιτεταμένην κατηγορίαν. 4 Par. addit: Εἴ τι μὲν καταφορὰ, τοῦτο καὶ τάσις· οὐ μὴν εἴ τι τάσις, τοῦτο καὶ καταφορά· εὑρίσκεται γὰρ ἡ τάσις, εἴτουν ἡ πλείων ἢ χρὴ ἐπίτασις τοῦ πνεύματος ἐν τῷ λέγειν οὐ μόνον ἐν κατηγορίαις ζέοντος τοῦ θυμοῦ τῷ κατηγόρῳ, καὶ πλείονι τῷ πνεύματι χρωμένῳ, ἢ δύναται ὑπενεγ-

Cap. VI.

Περὶ διλημμάτου.

Πληρώσας τὰ σχήματα τῶν πολιτικῶν καὶ πανηγυρικῶν καὶ ἀποδεικτικῶν τε καὶ παραδειγματικῶν, καὶ ἐκ παραβολῆς ἐπιχειρημάτων ὁ τεχνικὸς ἥκει καὶ ἐπὶ τὸ ἕτερον σχῆμα τὸ λεγόμενον διλήμματον, καὶ διδάσκει, τί ἐστι διλήμματον, καὶ πότε δεῖ λαμβάνεσθαι· ἔστι τοίνυν διλήμματον σχῆμα λόγου δριμύτητος δόξαν[1] ἔχον καὶ ἀλήθειαν· καὶ γὰρ τοιοῦτόν ἐστιν ὥσπερ ἐρωτῶντός σου δύο τινὰ, ὁποῖον ἂν ἀποκριθῇ, ὁ δι' ἐναντίας ἡττηθήσεται· ὀφείλει οὖν ὁ ἐρωτῶν ταῦτα ἐρωτῆσαι δύο· ὡς εἶναι ἐναντία ἀλλήλοις ἄμεσα· ἵνα κἂν θέλῃ κἂν μὴ θέλῃ ἓν ἐκ τῶν δύο ἀποκρίνηται· εἰ γὰρ εἴη ἔμμεσον, διαφεύξεταί σου τὴν ἐρώτησιν· οἷον πότερον παρῆς ἐν τῇ πανηγύρει, ἢ οὐ παρῆς; ἀνάγκη γὰρ αὐτὸν ἓν ἐκ[2] τῶν δύο ἀποκριθῆναι, ἢ ὅτι παρήμην, ἢ ὅτι οὐ παρήμην· ὡς τῶν δύο μέσου μηδενὸς ὄντος· εἶτα ἀποκρινομένου παρήμην, ἀπαντήσεις, πῶς οὖν κατηγορεῖς τῶν συμπαρόντων σοι ὡς κακῶς πραξάντων τῷ παρεῖναι; καὶ σὺ ἄρα ὡσαύτως ὑπεύθυνος αὐτοῖς εἶ συμπαρών· εἰ δὲ εἴπῃ, οὐ παρήμην, ἀποκριθήσῃ, γραφὴν ἀποίσῃ κατηγορίας μεγίστης, ὅτι τῇ πανηγύρει τῆς πόλεως οὐ παρῆς· εἰ γὰρ ἐρωτήσεις ἐναντίας μὲν ἐρωτήσεις, ἐχούσας δὲ ἔμμεσον, φεύξεταί σου τὴν ἐρώτησιν μηδεμιᾷ προτάσει συγκατατιθέμενος· καὶ πάλιν, καλὴν γυναῖκα ἔγημας ἢ αἰσχράν; ἀποκριθήσεται πάντως ἓν ἐκ τῶν δύο, ἢ καλὴν ἢ αἰσχράν, διὰ τὸ μὴ εἶναι ἔμμεσον· καὶ πρὸς ἑκάτερον ἀπαντήσεις, εἰ

κεῖν, ἀλλὰ καὶ ἐν ἀπολογίαις· αὕτη οὖν ἡ διαφορὰ, ὅτι ἡ μὲν καταφορὰ πάντως τάσις ἐστὶν, ἤγουν εἶδος αὐτῆς, ἡ δὲ τάσις γένους ἐπέχουσα τόπον οὐ πάντως καταφορά ἐστιν, εὑρίσκεται γὰρ καὶ ἐν ἀπολογίαις.

1 Sch. min. ὑπόληψιν βεβαίαν. 2 Mon. ἕνεκα τῶν δύο.

μὲν καλὴν ἀποκριθῇ, φήσεις ὅτι καὶ κοινὴν,[3] εἰ δὲ αἰσχρὰν ἀποκριθῇ, εἴποις οὐκοῦν ποινὴν καὶ τιμωρίαν, καὶ οὐκ ἔδει σε γῆμαι· ἢ ἑκάστη τῶν προτάσεων ἰδίας λύσεως τυγχάνει. ὡς τὸ, τί οὖν κατηγορεῖς τῶν ἐν τῇ πανηγύρει; συμπαρὼν αὐτοῖς καὶ τῷ αὐτῷ ἐγκλήματι ὑποκείμενος· ἢ μὴ συμπαρὼν ἀσεβείας γραφὴν ἀποίσῃ, ὡς ταῖς ἑορταῖς μὴ συμπαρὼν καὶ συνεορτάζων τοῖς πολίταις· εἰ γὰρ εἴη ἔμμεσον, οὐδ' ὁπότερον τῶν προβαλλομένων ἀποκριθήσεται· καὶ γὰρ εἰ ἐρωτήσει πότερον πενιχρὰν γυναῖκα ἔγημας ἢ τῶν εὐδαιμόνων ἢ πλουσίων, ἀποκριθήσεται μηδετέραν, ἀλλὰ τὰ αὐτάρκη κεκτημένην, καὶ μενεῖς ἀχανὴς πρὸς αὐτὸν μηδὲν ἀνταποκριθῆναι δυνάμενος· οὐδὲ γὰρ δεῖ σε ἐρωτᾷν ἄλλ', ἢ ὅπερ ἐπίστασαι, ὅτι ἀποκριθήσεται, κἂν μὴ βούληται, ἢ τοῦτο ἢ ἐκεῖνο, τῶν δύο προτάσεων ἓν, καὶ ὅτι οἷον ἂν ἀποκριθῇ, εὕροι σε πρὸς αὐτὸ ἕτοιμον τοῦ τὴν λύσιν αὐτοῦ παρέχειν καὶ οὕτως ἡττηθήσεται· καὶ ταῦτα μὲν περὶ διλημμάτων· ἑξῆς δὲ ῥητέον περὶ παρηχήσεως, ὅ ἐστι κεφάλαιον ἕβδομον τοῦ τετάρτου τόμου.

β. Ἐν τῇ τέχνῃ τῇ τῶν στάσεων·[4] ἐκεῖ γὰρ ἐν ἀντι-

3 Stob. T. 67, 17. Aul. Gell. N. A. V. 9. 4 Ven. litt. ά. omissa incipit: παρ' ἡμῶν ἐν τῇ τέχνῃ ὡς παραγραφικὸν μεμελέτηται· ἐν τῇ τέχνῃ τῶν στάσεων λέγει. Par. addit: Τοιοῦτον διλήμματον ἐξέθετο ὁ τεχνικὸς ἐν τῇ διαιρέσει τῶν στάσεων, κατὰ τὸ δεύτερον εἶδος τῆς ἀντιλήψεως, τὸ ἀπ' αὐτοῦ τε πεπραγμένου καὶ τινος ἐπισυμβεβηκότος ἑτέρου τὴν κρίσιν ἔχον, ἐν ᾧ φησιν, ἐπὶ τίσι με κρίνεις; Διὰ τοῦτο οὖν ἐνταῦθά φησιν ὑποκατιὼν ἐν τῷ τέλει τούτου τοῦ κεφαλαίου, ὅτι καὶ παρ' ἡμῶν ἐν τῇ τέχνῃ ὡς παραγραφικὸν μεμελέτηται, τέχνην καλέσας τὴν διαίρεσιν τῶν στάσεων. Ἢ οὐ παρῆς· τοῦτο ἐρώτησίς ἐστι Δημοσθένους πρὸς Αἰσχίνην διλήμματος· ὅτε χορηγὸς γενόμενος ἐν τῇ ἑορτῇ καὶ μέλλων στεφανοῦσθαι ἐκωλύετο ὑπ' Αἰσχίνου, λέγοντος μηδὲν αὐτὸν ὡς χορηγὸν τῆς τιμῆς τυχεῖν, ὀφείλοντα δημοσίᾳ, οὓς ὁ νόμος ἐκώλυε τῆς τιμῆς τυχεῖν καὶ στεφανοῦσθαι· λέγει οὖν ὁ Δημοσθένης, ὅτι τότε ὤφειλε

λήψει οὕτως τὸ παραγραφικὸν ἐμελέτησεν, ᾧ καὶ νῦν μικρὸν ἔμπροσθεν τὸ διλήμματον παραδειγματίζων, οὕτως ἐχρῆτο ὅτε ἔλεγε, παρῆς[5] τούτοις καὶ συνευφραίνου ἢ οὐ παρῆς, καὶ πάλιν, ᾔδεις τὰ μέλλοντα, ἢ οὔ. ταῦτα γὰρ διλήμματον μέν ἐστι, δύναμιν δὲ παραγραφικοῦ ἔχει, ἀπὸ τοῦ χρόνου παραλαμβανομένην. μεμελέτηται δὲ εἶπεν. αὐτοῦ γάρ ἐστι ταῦτα λεγόμενα παραδείγματα, οὐχὶ Δημοσθένους, ὁ γὰρ Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου διὰ παντὸς τοῦ λόγου τῇ ἐννοίᾳ χρώμενος ταύτῃ, ἑτέρως συντομώτερον καὶ μόγις κατανοουμένῃ, ὡς κατὰ διλήμματον χρῆται, ἐπεὶ οὖν διεξοδικώτερον[6] οὗτος προάγει, μεμελέτηται εἶπεν, οὐχ' ὅτι ἰδίως ἀλλαχοῦ ἐμελέτησεν εἰς τοιαύτην ὑπόθεσιν.

Cap. VII.

Περὶ παρηχήσεως.

ά. Παρήχησίς ἐστι κάλλος ὁμοίως ὀνομάτων ἐν δια-

κατηγορεῖν καὶ δεικνύειν, μὴ δεῖν με χορηγεῖν ἢ στεφανοῦσθαι, ὅτε ἐπεχείρουν τῷ πράγματι, οὐ νῦν μετὰ τὴν χορηγίαν. ἔστι δὲ τοῦτο παραγραφὴ ἀπὸ χρόνου, ᾗ καὶ οὗτος ἐποίησεν ἐν τῇ διαιρέσει τοῦ δευτέρου εἴδους τῆς ἀντιλήψεως κατὰ τὰς στάσεις, ἐρωτᾷ οὖν τὸν Αἰσχίνην κατὰ διλήμματον· παρῆς ἐν τῇ ἑορτῇ μετὰ τῶν πανηγυριστῶν χορηγοῦντι καὶ συνευφραίνου, ἢ οὐ παρῆς; εἰ μὲν γὰρ παρῆς τόδε· ἔστι δὲ τὸ διλήμματον ἄμεσον, καὶ διὰ τοῦτο σεσοφισμένον καὶ ἄφυκτον. Οὐκ ᾔδεις· Συνεβούλευσε κ. τ. λ. Vol. V. p. 429. v. 25. — p. 430. v. 2. Μὴ δεῖν γῆμαι· ἀλλ' ἔγημα καὶ δεόντως χάριν τεκνογονίας μέσως ἔχουσαν, μήτε καλὴν, μήτε κακὴν, καλὴν μὲν τοῦ μὴ ἀκολασταίνειν ἐμὲ, κακὴν δὲ τοῦ μὴ μοιχεύεσθαι αὐτήν. Ἴδιας ἀποδόσεως· αἱ δύο ἐρωτήσεις δύο ἀποδόσεις ἔχουσιν, ὡς τοῦ Θεολόγου, δέον εἰ μὲν ἀληθῆ, μὴ μύθους ὀνομάζεσθαι, εἰ δὲ ψευδῆ, μὴ θαυμάζεσθαι. 5 Ven. πότερον παρῆς τούτοις γινομένοις. 6 Mon. ἐξωδικώτερον. Ven. διεξοδικώτερον.

φόρῳ γνώσει ταὐτὸν ἠχούντων. γίνεται δὲ, ὅταν δύο ἢ τρεῖς ἢ τέσσαρες λέξεις ἢ ἁπλῶς ὀνόματα εἴποι τις, ὅμοια μὲν ἠχοῦντα, διάφορον δὲ τὴν δήλωσιν ἔχοντα, καὶ δύο μὲν λέξεις, ὡς τὸ, πείθει τὸν Πειθίαν,[1] καὶ τὸ, ἀλλ' οὐκ Εὐπείθει πεπίθοντο.[2] τρεῖς δέ.

Ἦτοι ὃ κὰπ πεδίον τὸ Ἀλήϊον οἷος ἀλᾶτο·[3]
Ὃν θυμὸν κατέδων πάτον ἀνθρώπων ἀλεείνων.

τρεῖς γὰρ λέξεις εἰσὶ, ταὐτὸν μὲν ἠχοῦσαι, διάφορον δὲ σημασίαν ἔχουσαι· τὸ ἀλήϊον τόπον γὰρ σημαίνει, καὶ τὸ ἀλᾶτο, καὶ τὸ ἀλεείνων. τέσσαρες δὲ λέξεις. Ἕλληνας ἑλόμενος Φίλιππος κωλύσας ἑλληνίζειν ἐλέους ἐποίησεν ἀξίους· καὶ τὸ παρὰ Δημοσθένει, „δεινὸν γὰρ εἰ τοὺς ἐλεεῖν ἂν ἔλωσιν οὐκ εἰδότας ἑλόμενοι ἐλεήσετε·" ἔστι δὲ ὁ λόγος τοῦ προβλήματος· πεπόμφασι Λακεδαιμόνιοι Πλάταιαν ἐνοικήσειν ὑπισχνούμενοι, εἰ λάβοιειν τοὺς τριακοσίους· συμβουλεύει τις διδόναι, Πλαταιεῖς ἀντιλέγουσιν. Οὕτως δὲ ἔχει τὰ τῆς ὑποθέσεως· ἐπολιόρκησαν Λακεδαιμόνιοι Πλάταιαν, συνέῤῥαξαν πόλεμον Ἀθηναίοις· ἐλήφθησαν ἐξ αὐτῶν αἰχμάλωτοι τριακόσιοι, οὓς κατέσφαξαν Ἀθηναῖοι ἐν τῷ βωμῷ. πρὸ δὲ τοῦ ἀναιρεθῆναι αὐτοὺς ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους πρεσβείαν, αἰτούμενοι λαβεῖν τοὺς τριακοσίους καὶ ὑπισχνούμενοι ἐνοικῆσαι Πλάταιαν, καὶ συνεβούλευσε μέν τις δοῦναι, ἀντεῖπον Πλαταιεῖς, εἰπόντες διὰ Δημοσθένους. δεινὸν γὰρ εἰ τοὺς ἐλεεῖν,[4] ἂν ἔλωσιν, οὐκ εἰδότας, ἑλόν-

---

1 Xenoph. Hellen. VII. 1. 41. 2 Mon. πεπίθονται. Od. Ω. 165. 3 Il. Z. 201. 4 Mon. εἰς τοὺς ἐλθεῖν ἀνέλωσιν (supra ἀνέλωσεν) οὐκ εἰδότας ἐλεήσετε. Par. in fine capitis addit: ἡ Αἴγυπτος, φησὶ [Thuc. I, 110.] πᾶσα ὑπετάγη τῷ βασιλεῖ, πλὴν μόνου ἑνὸς τοῦ Ἀμυρταίου, ὃς ἐν τοῖς ἕλεσιν ἐβασίλευσεν· τοῦτον δὲ μόνον τὸν Ἀμυρταῖον οὐκ ἠδυνήθη ἑλεῖν ὁ βασιλεὺς, διὰ τὸ δύσβατον τῶν ἑλῶν, οἷς ὑπεκρύβη, καὶ ἅμα ὅτι ἐν πᾶσιν Αἰγυπτίοις μαχιμώτατοί εἰσιν οἱ Ἕλειοι· ἰδοὺ τοίνυν, ἕλος μὲν ὄνομα τῆς χώρας, ἧς ἦρχεν Ἀμυρ-

τες ἐλεήσετε· ἔστι δὲ θαυμασία παρήχησις, ἔχει δέ τινα μικρὰν παραλλαγήν· ἔλθωμεν οὖν καὶ ἐπὶ τὸ ὄγδοον κεφάλαιον.

Cap. VIII.

Περὶ κύκλου.

ά. Κύκλος ἐστὶ σχῆμα καὶ αὐτὸ ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον λόγου· γίνεται δὲ, καθὼς φησιν ὁ τεχνικὸς, ὅταν ἀφ᾽ οὗ ἄρξηταί τις ὀνόματος ἢ ῥήματος εἰς τὸ αὐτὸ καταλήξῃ πάλιν, μήτε πτῶσιν ἀλλάξας,[1] μήτε ἀριθμὸν μήτε ἄλλο τι. οἷον „σοὶ μὲν ἦν κλέπτης ὁ πατὴρ, εἴπερ ἦν ὁμοιός σοι·“[2] καὶ ἐν τῷ τῆς παραπρεσβείας· ἦν ἡμῖν πρὸς Φίλιππον πόλεμος, ἦν, καὶ πάλιν, δέδοικα[3] μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, δέδοικα· καί φαμεν οὐ καλῶς ἄρξασθαι οὐδὲ ὁρίσαι τὸν τεχνικόν· ἔδει γὰρ αὐτὸν εἰπεῖν ἢ περὶ κύκλου λόγου, ἢ περὶ κυκλικοῦ[4] λόγου· ἐπεὶ λέγων ἁπλῶς, κύκλος ἐστὶν σχῆμα ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον λόγου, οὐκ ἀληθεύει· οὐ γὰρ ἁπλῶς κύκλος ἔχει κάλλος λόγου, ἀλλ᾽ ὁ τοῦ λόγου κύκλος, ἐπεὶ τί ἂν εἴποιμεν πρὸς Εὐκλείδην καὶ τὴν ἀλήθειαν, ὅτι κύκλος ἐστὶ λεγόντων σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ᾽ ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθὺς ἴσαι ἀλλήλοις εἰσίν· ἀλλ᾽ ἐπεὶ περὶ σχημάτων ἐν λόγοις οὐκ ἐν σώμασιν ἦν αὐτοῦ ὁ πᾶς λόγος, ὡς ὁμολογούμενον αὐτὸ παρεσιώπησεν. οὕτως οὖν ὁριστέον, κύκλος ἐστὶ σχῆμα λόγου, ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον ἐκ τῆς λέξεως,

---

ταῖος, ἕλος δὲ ὁ συνηρεφὴς καὶ δύσβατος τόπος, ᾧ ὑπεκρύβη, Ἕλειοι δὲ ὄνομα τοῦ ἔθνους, ἑλεῖν δὲ τὸ κατασχεῖν· καὶ γνῶθι, πόσας ὁ εἷς ἦχος ἔσχε σημασίας. 1 ἀλλάξας Mon. om., recepi ex Herm. 2 Phil. IV. p. 151. 3 de fals. leg. p. 372. 4 Mon. παρακυκλικοῦ.

ἧς ἄρχεται, εἰς αὐτὴν καταλῆγον, κατὰ πάντα ἀπαράλλακτον· ὁ γὰρ ὁρισμὸς τοῦ τεχνικοῦ, εἰ μὲν ἐστιν ἐλλιπὴς, οὐκ ἔστιν ὅρος, ἡ δὲ τὴν προσθήκην δέχεται καὶ οὕτως ἐκπίπτει τοῦ ἰδιώματος τοῦ ὁρισμοῦ· φησὶ γὰρ, κύκλος ἐστὶ καὶ αὐτὸ ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον λόγου· πρῶτον μὲν πᾶς ὁρισμὸς δηλωτικὸς ὑπάρχει τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, καὶ οὔτε[5] ἐλλείπειν θέλει οὔτε πλεονάζειν· διὸ καὶ ἀντιστρέφει. ἴδωμεν οὖν, εἰ καὶ ὁ παρὼν ὁρισμὸς ἀντιστρέφει. κύκλος ἐστὶ σχῆμα λόγου ἴδιον κάλλος ἐμπεριέχον· πᾶν οὖν σχῆμα ἴδιον κάλλος ἐμπεριέχον κύκλος ἐστίν· οὐδεὶς οἶμαι τοῦτο φήσει, ἡ παρήχησις ἔχουσα κάλλος κύκλος ἔσται, καὶ περίοδος κεκαλλωπισμένον σχῆμα, ὁμοίως καὶ κῶλον καὶ κόμμα· κεκαλλωπισμένα καὶ αὐτὰ κύκλοι ἔσονται· εἶτα φησὶ, γίνεται δὲ ὅταν ἀφ' οὗ ἄρξηταί τις ὀνόματος ἢ ῥήματος εἰς τὸ αὐτὸ καταλήξῃ πάλιν, μήτε πτῶσιν ἀλλάξας, μήτε χρόνον, μήτε ἀριθμὸν, μήτε ἄλλο τι· τοῦτο οὖν προστιθέμενον, ὡς ἐν τῷ δοκεῖν ὅρον τέλειον ἐργαζόμενον, ἀντιστρέφει, ἀλλὰ κἂν ἀντιστρέφῃ τοῦ εἶναι ὅρος ἐξέπεσεν. ὁ γὰρ ὅρος μετὰ τοῦ ἀντιστρέφειν σύντομος ὀφείλει εἶναι. οὕτως γὰρ αὐτὸν ὁρίζονται· ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος· οὗτος δὲ λόγος ἐστὶ πεπλατυσμένος, διδασκαλίας τάξιν ἐμπεριέχων, παντελῶς ἀπεοικὼς ὅρῳ. ὁριστέον οὖν αὐτὸν ὡς προέφημεν. σχῆμα λόγου ἴδιον κάλλος ἐμπεριέχον, τὴν αὐτὴν[6] ἀρχὴν καὶ τέλος κατὰ πάντα ἔχον ἀπαράλλακτον· εἴρηται δὲ κύκλος, ἀπὸ μεταφορᾶς τῶν ἐπιπέδων κυκλικῶν σχημάτων· ἐκεῖνα γὰρ ἄδηλον ἔχουσιν τὴν ἀρχὴν, διὰ τὸ ἐν πᾶσιν ὅμοιον· καὶ ταῦτα διὰ τὸ ταὐτὸν καὶ ἀπαράλλακτον τῆς ἀρχῆς καὶ τέλους τῆς[7] αὐτῆς τυγχάνουσι κλήσεως. Ἰστέον δὲ, ὡς

5 Mon. οὕτως, scr. οὔτε. 6 τὴν αὐτὴν ἀρχὴν — — — εἴρηται Mon. om. 7 τῆς Mon. om. Sch. min. Σημείωσαι, ὅτι καὶ περιοδικῶς καὶ διηγη-

μὴ ἀρεσθεὶς ἐν τῷ ὁρισμῷ τῷ ὑπ' αὐτοῦ ἐκτεθέντι ὁ τεχνικὸς ἐπὶ τέλει φησὶν ἕτερον ὁρισμόν· κύκλος ἐστὶ, τὸ δὲ „ἀφ' ὧν ἂν ἄρξηταί τις ὀνομάτων ἢ ῥημάτων" εἰπὼν πάντως πᾶσαν λέξιν περιέλαβεν. ἐπεὶ τί ἂν εἴποις περὶ τῆς σοι ἀντωνυμίας ἓν ἐν τῷ παραδείγματι τέθεικεν. ἀλλ' ὅμως καὶ τῇ τοῦ ὀνόματος κλήσει ἐπὶ παντὶ μέρει λόγου κέχρηνται οἱ τεχνογράφοι. ὡς τὸ, καλοῖς ὀνόμασιν ἐχρήσατο Πλάτων, ὡς ἐκ τούτου οὖν τὸ ἰοὺ, ἰοὺ κύκλος ἐστὶ, καὶ τὸ αἲ αἲ, καὶ τὸ οὐχὶ οὐχὶ, ὅπερ οὐδεὶς ἂν καταδέξαιτο λέγειν. ἔδει οὖν φάναι, σχῆμα λόγου ἴδιον κάλλος ἔχον τὸ ἀφ' ὧν ἂν ἄρξηταί τις εἰς αὐτὰ καταλήγειν ἀπαραλλάκτως· ἀρκούντως οὖν περὶ τοῦ κύκλου διαλαβόντες μεταβῶμεν ἐπὶ τὰ ἐπιφωνήματα.

Cap.

ματικῶς γίνεται κύκλος. Λέγεται τοίνυν· ἰδοὺ ἀπὸ τοῦ λέγειν ἤρξατο, καὶ εἰς τὸ λέγειν κατέληξεν. Τὸ Δημοσθενικὸν οὕτως ἔχει· λέγεται τοίνυν τειχίζειν ἐκεῖνος εἰπὼν οἴχεσθαι πρεσβεύσων εἰς Λακεδαίμονα· καὶ πάντες ἴστε, ὃν τρόπον ἐξαπατῆσαι λέγεται· τὸ δὲ διὰ μέσου Ἑρμογένους ἐστὶ, φημὶ δή τό· καὶ διελθὼν τὰ κατὰ τὸν Θεμιστοκλέα, πάλιν ὁμοίως ἐπαύσατο· λείπει γάρ, ὅτι Δημοσθένης ἐπαύσατο εἰς τὸ λέγεται, τὰ κατὰ τὸν Θεμιστοκλέα διελθών. ib. Τὸ καὶ διελθὼν τὰ κατὰ τὸν Θεμιστοκλέα πάλιν ὁμοίως ἐπαύσατο τοῦ Ἑρμογένους ἐστὶ, μέσον κείμενον τοῦ Δημοσθενικοῦ ῥητοῦ, καὶ οὗτος μὲν κύκλος διηγήσεως· κατὰ περίοδον δὲ κύκλους εὑρήσεις ἐν τῷ περὶ περιόδου, ὅ ἐστι τρίτον κεφάλαιον τούτου τοῦ τόμου. Καὶ τούτων· ὀνομάτων καὶ ῥημάτων. Ἐκ τῆς ὁμοιότητος· ἡ ὁμοιότης, φησὶ, τῶν ὀνομάτων ἀμφίβολον καθίστησι τῷ κύκλῳ τὴν ἀρχὴν, ἀφ' οὗ ἂν εἶναι δύναιτο, ἤγουν ἀφ' ἧς ἂν συλλαβῆς ἄρχεσθαι δύναιτο. Τοῦτο γάρ ἐστι κύκλος· ὅρα πῶς ἀπὸ κύκλου ἤρξατο, καὶ εἰς κύκλον κατέληξεν. Οὐχ ὁ ῥυθμός· διὰ τοῦτο γὰρ οὐ δείκνυσιν αὐτὸν ὁ ῥυθμὸς ἢ ἄλλο τι, ἀλλὰ μόνον ταυτότης συλλαβῶν, ὅτι καὶ ἁπλῶς οὕτως γίνεται καὶ κατὰ περίοδον καὶ κατὰ διήγησιν.

Cap. IX.

Περὶ ἐπιφωνημάτων.

Ἰστέον, ὡς τρία εἴδη ἐπιφωνημάτων ὁ τεχνικὸς διδάσκει· πρῶτον μὲν εἶναι λέγει ἐπὶ πράγματι [1] παρ' ἡμῶν ἔξωθεν λεγόμενον, καί φησιν δεῖν αὐτὸν καὶ προσέχεσθαι τῷ ὑποκειμένῳ ὡς ἐκείνου μέρος ὄντα, ἵνα μὴ ἀπάδῃ καὶ αὐτὸν ἔξωθέν τι προσειληφέναι· ἵνα ᾖ καὶ ἐπὶ τοῦ ἐπιφωνήματος φύσις δήλη, οἷον·

Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε [2] Ζεφυρός τε δυσαὴς,
Καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων.

καὶ

Σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον·

μέχρι τούτων ἡ διατύπωσις, τὸ δέ·

Ὄρωρει δ' οὐρανόθεν νύξ·

ἐστὶν ἐπιφώνημα καὶ ἑρμηνεύων φησίν· ᾗ μὲν γὰρ ἐκ τῶν νεφῶν τὸ σκότος γίνεται, προσέχεται τῇ ἀληθείᾳ καὶ ἴδιον τοῦ πράγματος ἐγένετο· ᾗ δὲ ἐξ οὐρανοῦ λέγεις τὴν νύκτα γεγονέναι, δεῖ σε τολμήσαντα καὶ νύκτα εἰπόντα τὸ ἄλλο σκότος [3] καὶ ἐξ οὐρανοῦ γεγονέναι εἰ-

---

1 Par. παραδείγματι. 2 Mon. et Par. τε omisso ἔπεσε. Od. E. 295. Schol. min. ἵνα ᾖ ὅμοιον καὶ μὴ ἀπάδῃ τοῖς λεχθησομένοις δηλονότι· τὸ δὲ τετολμῆσθαι ἀντὶ τοῦ τολμηρῶς καὶ ἀσφαλῶς παρειλῆφθαι. Τὸ πρᾶγμα λέγει· αὐτὸ τὸ ὑποκείμενον πρᾶγμα, θέρους ἦν ἀκμὴ καὶ τὰ λοιπά· εἶτα ἐπὶ ἐκείνῳ τὸ ἐπιφώνημα, οἷον, οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα· ἔξωθεν γὰρ ἐπηνέχθη τῷ ὅλῳ τοῦ μύθου. 3 Mon. post σκότος habet γίνεται et sq. εἰπεῖν om. Sch. min. Ἄλλο πάλιν εἶπε παράδειγμα. Ἡ διατύπωσις· ἡ ζωγραφία, τουτέστιν ἡ ἔκφρασις· τοῦτό ἐστι τὸ τολμηθέν, ὅτι οὐκ ἐκ νεφῶν, ἀλλ' ἐξ οὐρανοῦ ἐγένετο νύξ. Ἢ ἀντὶ τοῦ καθό. Προσέχεται ἀντὶ τοῦ πλησίον ἐστὶ, κεκόλληται. Τὸ νέφος δηλονότι· δύο γὰρ σκότη εἶπεν, τὸ ἐξ οὐρανοῦ σκίασμα, τὸ ἐκ τῆς νυκτὸς καὶ τῶν νεφῶν. Ἐν ἐνὶ κώλῳ ἀκμήν· ἀκμὴ γὰρ

πεῖν· ὅθεν οὐδέποτε γίνεται σκότος, οὐδὲ νύξ· τὸ ἐπιφώνημα ὁ τεχνικός φησιν, ὅτι εἰ κατὰ κῶλον ποιοῖτό τις μεμετρημένως τὴν τοῦ πράγματος διήγησιν ἐν τῷ μηδὲν εἶναι ἀπαράλλακτον· διατύπωσις δέ ἐστι τοῦ πράγματος μόνον καὶ προβλήματος διασκευή· εἰ δὲ παυσάμενος ἐνέγκῃ τι ἔξωθεν τολμηρῶς, ἵνα ἔχῃ τι παράδοξον καὶ οὐ τοῖς πᾶσιν ἐγνωσμένον, ἀλλ᾽ οὐδὲ ἀπηλλοτριωμένον τῶν ἐν τοῖς κώλοις ῥηθέντων τοῖς πρὸ αὐτοῦ τεθειμένοις· ἀλλά τινα ἐπίτασιν αὐτῶν καὶ μετὰ τῆς ἐπιτάσεως δεικνύειν, καὶ αὐτῆς τὴν γένεσιν πόθεν ἐγένετο· οἷον ὡς ἵνα τις προειπὼν ἡλίου φλογμὸν ἐπενέγκῃ πῦρ ἐξημμένον ἐκ τῶν ἀστέρων ἢ τοῦ αἰθέρος, καὶ γὰρ ἐνταῦθα εἰπὼν κίνησιν τῶν τεσσάρων ἀνέμων ὑπὸ τοῦ Ποσειδῶνος κατὰ τοῦ Ὀδυσσέως γεγενῆσθαι καὶ κατὰ γῆς καὶ θαλάσσης ἐπικάλυψιν τῶν νεφῶν ὑπεσήμανε, ὡς συννεφία γέγονεν· εἶτα ἐπίτασιν βουλόμενος δεῖξαι ἤγουν βαθὺ σκότος, ὅπερ ἐπίτασις τῆς συννεφίας ἐμνήσθη νυκτός· ἐπιζητοῦντος δὲ ὡς εἰκὸς τοῦ ἀκροατοῦ, πόθεν ἥκει ἡ νύξ, ὡς ἐτόλμησεν εἰπεῖν νύκτα, εἶπε τολμηρῶς καὶ οὐρανὸν, ἐξ οὗ [4] ἐγεννήθη ἡ νύξ· καὶ ὡς ἄν τις μεταφράζων εἴποι, συνῆλθεν ὁ Νότος τε καὶ ὁ δύσπνους Ζέφυρος σὺν τῷ Εὔρῳ μετὸ καὶ τοῦ Βορέου τοῦ κυλίοντος μεγάλα κύματα, συνεκάλυψε δὲ τοῖς νέφεσι τὴν γῆν ὁμοῦ καὶ τὴν θάλασσαν, ὥρμησε δὲ νὺξ βαθεῖα ἐξ οὐρανοῦ· καὶ ὁ μὲν τεχνικὸς τολμηρῶς λέγει ἐπεισάγεσθαι τὸ ἐπιφώνημα διὰ τὸ ἀσύνηθες καὶ ξένον, ὡς ἔξωθεν τολμώμενον εἰσάγεσθαι· ἀσάφειαν δὲ ἐνεδείξατο ἐν αὐτῷ ἔν τε τῷ εἰπεῖν πῶς γίνεται τὸ ἐπιφώνημα, καὶ ἐν τῷ δοῦναι παράδειγμα οὔτε κατάλληλον ἄγαν τῇ ὑπ᾽ αὐτοῦ γεγενημένῃ διδασκαλίᾳ τοῦ λόγου, οὔτε οὕτω κείμενον παρ᾽ Ὁμήρῳ· ὁ μὲν γὰρ τεχνικὸς πρῶτον λέγει τὴν διατύπωσιν

ἐν πολλοῖς κώλοις ἐκφέρεται, ὡς ἐν τῷ περὶ πνεύματος ἔμαθες κατὰ τὸ τέταρτον κεφάλαιον τούτου τοῦ τόμου. 4 Mon. ἐξ οὐρανοῦ.

γίνεσθαι τοῦ πράγματος κατὰ κῶλον μεμετρημένως ἐκφερομένην, καὶ εἶθ' οὕτως ἐπάγεσθαι τὸ ἐπιφώνημα. καὶ ἐπαγομένην ἔχει τὴν διατύπωσιν ταύτην· ἔχει γὰρ οὕτως·

Σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν δ' Εὖρος τε Νότος τ' ἔπεσε Ζέφυρός τε δυσαής.
Καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνθων.

Οἰόμεθα δὲ τῇ ἐναλλαγῇ τῆς τάξεως τῶν στίχων δοκεῖν τῷ τεχνικῷ ἁρμοδιώτερον ἐπεισάγειν [5] παράδειγμα τοῦ ἐπιφωνήματος καὶ διὰ τοῦτο ἐναλλὰξ θεῖναι τοὺς στίχους· ἀλλ' ἐπείπερ αἰδὼς διδασκαλίας οὐκ ἄμετρος ὀφείλει εἶναι, αὐτόν τε εὐλαβητέον, ὅσον οὐκ [6] ἐπακολουθεῖ ζημία τοῦ γνωσθῆναι ὀφείλοντος, ἴδωμεν, εἴ τι καὶ ἡμεῖς συνεισφέρειν τῇ διδασκαλίᾳ πρὸς σαφήνειαν τοῦ ἐπιφωνήματος δυνησόμεθα· ὡς ἂν καὶ Ὅμηρος τὴν τάξιν ἔχοι τῶν στίχων, ὡς ὑπ' αὐτοῦ γεγόνασι, καὶ τὸ ἐπιφώνημα ἴσως καὶ ἁρμοδιώτερον παρατεθῇ· ἡ τοῦ ἐπιφωνήματος τοίνυν φύσις, ὡς τῇ ἀληθείᾳ καὶ τῷ διδασκάλῳ δοκεῖ, τολμηρόν τι ὀφείλει ἔχειν ἔξωθεν ἐπεισαγόμενον παρ' [3] ἡμῶν καὶ μὴ ἀπᾴδειν, ἀλλὰ προσέχεσθαι τῷ ὑποκειμένῳ· καὶ καθὸ μὲν προσέχεσθαι δεῖ καὶ μὴ ἀπᾷδον εἶναι, ἡνίκα περὶ νεφῶν [6*] τις λέγει, ἐπιφέρειν χρὴ τὸ ἐπιφώνημα· ἢ νύκτα βαθεῖαν, ἢ ταραχὴν θαλάσσης ὅτι μεγίστην, καθὸ δὲ ἡ ἐπίτασις τῆς αὐτοῦ πυκνότητος εἴωθε ταῦτα ποιεῖν, χρὴ ἐπιτεταμένως καὶ τὰ ἐξ αὐτῶν ἐπιφωνήματα λέγειν καὶ τολμηρῶς· εἰ δὲ περὶ ταραχῆς ἀνέμων καὶ σφοδρᾶς κινήσεως [7] ναυαγησάντων πολέμους καὶ νεκρῶν ἐπὶ τῆς χέρσου ἐκβράσεις· ἁρμόσωμεν οὖν τὸ Ὁμηρικὸν ῥητὸν ὡς ἐτέθη παρ' Ὁμήρῳ καὶ μηδὲν ὑπαλλάξαντες καὶ τὴν διατύπωσιν δείξωμεν καὶ τὸ ἐπιφώνημα.

5 Par. ἐπάγειν. 6 οὐκ Mon. om. 6* Mon. νεφροῦ. scr. εεφῶν. 7 Mon. κινήσεις.

Ὡς εἰπὼν σύναγε νεφέλας, ἐτάραξε δὲ πόντον
Χερσὶ τριαίναν ἑλών, πάσας δ' ὀρόθυνεν [8] ἀέλλας
Παντοίων ἀνέμων, ὠρώρει δ' οὐρανόθεν νύξ.

εἰπὼν γὰρ κινηθῆναι τὴν θάλασσαν καὶ τῶν ἀνέμων ἅπάντων διεγερθῆναι τὰς συστροφὰς καὶ καταιγίδας, πυκνωθῆναι δὲ τὰ νέφη, καὶ ἐπικαλύψαι τήν τε ξηρὰν καὶ τὴν θάλασσαν, καὶ ἐπελθεῖν ἐκ τοῦ οὐρανοῦ νύκτα· προσέχεται γὰρ ταῖς καταιγίσι καὶ τῇ πυκνότητι τῶν νεφελῶν τὸ σκότος· τολμηρὸν δέ ἐστι τὸ εἰπεῖν αὐτὸ νύκτα, ὅπερ ἐστὶν ἐπίτασις τοῦ σκότους, καὶ ἐπεὶ ἐτόλμησεν ὀνομάσαι τὸ μὴ ὂν νύκτα, εἶπεν αὐτὸ καὶ ἐκ τοῦ οὐρανοῦ ὁρμῆσαι· ἡ γὰρ πρώτη ἐστὶ τόλμα τὸ ὀνομάσαι τὴν συννεφίαν νύκτα, ἀφ' οὗ δὲ τοῦτο τολμηθῇ, οὐδὲν ἀπεικὸς καὶ ἐκ τοῦ οὐρανοῦ ἐληλυθέναι αὐτὴν εἰπεῖν· καὶ οὕτω μὲν περὶ τοῦ ἐπιφωνήματος δηλῶσαι μὴν ᾠήθημεν, μετασκευάσαντες τὸ ἀπὸ τοῦ τεχνικοῦ ἀκαταλλήλως τεθὲν καὶ μεταποιήσαντες αὐτὸ καθὰ ὑπὸ Ὁμήρου ἐφήρμοσται· ὡς ἂν καὶ τοῦ ἐπιφωνήματος ἡ διδασκαλία φανῇ καὶ τὸ παράδειγμα σώζοιτο ὡς ὑπὸ τοῦ ποιητοῦ γέγονεν· ἐπεὶ εἰ [9] μεταskευαζόμενον γέγονε παράδειγμα, ἐφάνη ἂν μὴ ἐν τῷ παντὶ εὑρισκομένου ἐπιφωνήματος πλασματικῶς τεθῆναι καὶ μὴ ὡς γέγονεν ἀπ' ἀρχῆς· εἴποι γὰρ ἄν τις, ὡς εἰ εὑρίσκοιτο παράδειγμα ἕτερον ἢ παρ' Ὁμήρῳ ἢ παρ' ἑτέρῳ τινί, τίς ἀνάγκη ἐκεῖνο μὲν μὴ τεθῆναι, τὸ μήπω δὲ γεγονὸς νῦν πλάττεσθαι; εἰ δὲ φαίη ὁ τεχνικὸς ὡς ἑτέρου παραδείγματος καταλλήλου μὴ εὑρισκομένου ἠναγκάσθην [10] τοῦτο μεταποιῆσαι [11], ἐλεγχθήσεται λέγων, ὡς οὔπω τινὸς ἐπιφώνημα ποιήσαντος αὐτός ἐστιν ὁ τούτου πατήρ τε καὶ γεννήτωρ, ὅπερ ἄτοπον· καὶ μὴ δυνάμενον αὐτὸν προφανῶς ἐλέγξαι, πολλοῖς γὰρ περὶ ἐπιφωνημάτων ἀρχαίοις εἴρηται, ἄλλως τοῦτο μεταπλασθὲν

8 Mon. ὠρόθυμεν et ὀρώρει. Od. E. 291—294. 9 εἰ Mon. om. 10 Mon. ἀναγκάσθη. 11 Par. μεταπλάσαι.

μόνον ἂν εἴη ἐπιφώνημα· ἕτερον δὲ μηδαμῶς παρ' ὁτουοῦν τῶν ἀρχαίων εὑρίσκεσθαι· ἀλλὰ τούτων μὲν πέρι ὁ λόγος ἱκανῶς ἔχει· μεταβησόμεθα δὲ καὶ ἐπὶ τὸ δεύτερον εἶδος τῶν ἐπιφωνημάτων, ὃ καὶ ἀκμὴν τινες ἐκάλεσαν οὐ καλῶς· ἐν γὰρ ἑνὶ κώλῳ ἀκμὴ οὐ γίνεται, ἀλλ' ἐν πλείοσιν· ἔστι δὲ τὸ δεύτερον εἶδος τῶν ἐπιφωνημάτων, ὅταν πνεύματος ταθέντος ἐν πολλοῖς κώλοις τεθῇ ἐπὶ τέλει κῶλον, ὅλου τοῦ πνεύματος τὴν δύναμιν ἔχον ἐν ἑαυτῷ ἐπιτατικῶς· τὸ, γὰρ Αἴαντι ἐπολέμουν μὲν οἱ Τρῶες, βέλη κατ' αὐτοῦ πυκνὰ πέμποντες, ἀντετάσσετο δὲ αὐτῷ καὶ ὁ παρ' αὐτοῖς δοξαζόμενος δαίμων· καὶ ταῦτα εἰπὼν ὁ Ὅμηρος ἐπήνεγκε· πανταχοῦ δὲ τὸ κακὸν προσθήκῃ κακοῦ ἐκρατύνετο· ὅπερ ἐστὶν ἡ ὁλότης τῆς [12] ἐπηρείας μετ' ἐπιτάσεώς τε σημανθείσης διὰ τοῦ ἐστήρικτο ῥήματος· ἔστι δὲ καὶ τρίτον εἶδος ἐπιφωνήματος τὸ ἀπὸ τῶν τρόπων λαμβανόμενον· ὅταν, φησὶ, τὰ ἀπὸ τῶν τρόπων ὀνόματα ἔλκωμεν εἰς τὸ παρ' ἡμῶν ἐκτιθέμενον πρᾶγμα, τολμηρῶς ἡμῶν βιαζομένων τὰ ἐκ τοῦ ἀλλοτρίου πράγματος εἰς τὸ ἡμέτερον μεταφέρειν· τὸ δὲ ἀσφαλὲς ἐχόντων διὰ τὸ καὶ εἰς τὴν παραβολὴν αὐτὰς προειρηκέναι, οἷον βουλόμενός τις ἐξηγήσασθαι περὶ πραγμάτων πόλεως ἐν ταραχῇ καὶ ἀκαταστασίᾳ οὔσης, εἴποιμεν παραβολὴν τρικυμίας, μεταβῇ δὲ εἰς τὰ τῆς πόλεως καὶ εἴπῃ [13] χειμῶνα ἐπενηνέχθαι τῇ πόλει· καὶ

---

12 Par. μετ' ἐπηρείας. 13 Mon. εἴπης. Par. εἴποι Schol. min. Προθέμενος γὰρ τοὺς τῆς πόλεως κινδύνους τροπικῶς ναυαγίῳ παραβαλεῖν, οὐχ ἁπλῶς εἶπεν, ἐν χειμῶνί ἐστι τὰ τῆς πόλεως πράγματα, καὶ ἔστη τῆς τροπῆς, ἀλλ' ἠναγκάσθη ἐπιμνησθῆναι ταύτῃ, ἵνα τὰ ἀλλότρια οἰκεῖα τῷ ὑποκειμένῳ ποιήσῃ· ἔνθεν τοι καὶ τὸν κλύδωνα παρέλαβε καὶ τὸν σάλον, καὶ τὸν κυβερνήτην, καὶ ὅσα τὰ τῶν ναυαγίων· ὑπόκειται οὖν, φησὶν, ὥσπερ προηγουμένη ἡ ναυαγία· ἐπιφωνηματικὰ δέ εἰσι τὰ τῇ ναυαγίᾳ, εἴτουν αὐτῇ τῇ τροπῇ ἀκολουθοῦντα, ὁ κλύδων, ὁ σάλος, ὁ κυβερνήτης, ὁ λιμὴν,

ταραχὴν ἐπισυμβῆναι τῇ τῶν πραγμάτων καταστάσει, καὶ βαπτιζομένου τοῦ σκάφους ἡμῖν χρεία κυβερνήτου, δυναμένου μὲν ζάλης διασώσασθαι ἡμᾶς, τὰς ἀγκύρας δὲ προσδῆσαι ἀσαλεύτοις πέτραις καὶ γαλήνην ἡμῖν χορηγῆσαι· οἷον, φησὶν ὁ τεχνικός, ἐν χειμῶνι καὶ νῦν ἐστι τὰ τῆς πόλεως πράγματα καὶ κλύδωνι, καὶ σαλεύεται τὰ καθεστηκότα, καὶ δεῖται τοῦ κυβερνήσοντος αὐτά· καὶ τοσαῦτα μὲν περὶ τῶν τρίτων εἰδῶν τῶν ἐπιφωνημάτων τῶν παρ' Ἑρμογένους ἡμῖν ἐκτεθειμένων· ἑξῆς [13] ῥητέον καὶ περὶ τῆς τῶν ἀρχαίων δόξης ἀμφὶ τῶν ἐπιφωνημάτων, οἷά φασι καὶ μάλιστα ὃ περὶ σχήματος λέξεως ἀκριβῶς διαλαβών· τὸ δὲ ἐπιφώνημα καλούμενον ὁρίζοιτο μὲν ἄν τις λέξιν ἐπικοσμοῦσαν, οὐ γὰρ ἐπίσης πᾶσα τῶν λέξεων ἡ χρεία, ἀλλ' αἱ μὲν ὑπηρετοῦσι τοῖς πράγμασι καὶ δι' ἑαυτῶν παριστῶσιν ὡς ἐν εἰκόνι τὰ πράγματα, αἱ δὲ ἐπικοσμοῦσαι γαργαλίζουσι τὴν ἀκοὴν διὰ τῆς ἡδύτητος τῶν λέξεων, ἐπεισάγουσαι καί τι περισσότερον τῶν προλεχθέντων εἴς τε σαφήνειαν τῶν προδιηγηθέντων, καὶ εἰς καλλωπισμὸν τοῦ λόγου· ἐπὶ τέλει δὲ τίθενται, ὥσπερ καὶ ἡ ὥα ἡ ἐν τοῖς ἱματίοις ἄκροις αὐτῶν προσγινομένη, ἵνα μὴ τῇ μεσότητι ἐντεθεῖσα τῷ μεγέθει τοῦ πέπλου σμικροτέρα οὖσα ὑποκρύπτοιτο· καὶ ἐπιφωνήματα μὲν πλεῖστα παρὰ τοῖς ἐλλογίμοις τῶν ἀρχαίων, μάλιστα δὲ παρὰ τῷ Ὁμήρῳ· ἐκ καπνοῦ κ. τ. λ. Vol. V. p. 432. v. 17—23. νομίζουσι δέ τινες καὶ τὸ ἐν-

---

τὰ ἑπόμενα· περὶ τούτων δὲ, δηλονότι τῶν τροπικῶν ὑπέσχετο καὶ ἐν τῷ ἐχομένῳ ἑξῆς κεφαλαίῳ ἐρεῖν τῷ περὶ τροπῆς, ὃ καὶ πεποίηκεν. Δύναταί τις εἰδέναι· προειπὼν, ὅτι τὸ τοιοῦτον ἐπιφώνημα κατά τινα τρόπον γίνεται, καὶ ἀποσιωπήσας τὸ ἀγνοούμενον πᾶσι, νῦν μετὰ τὸ διαβαλεῖν τοὺς εἰρηκότας αὐτὸ κακῶς ἀκμὴν ἐν ἑνὶ κώλῳ, ἀναφανδόν φησιν, ὅτι οὐδεὶς δύναται εἰδέναι, ὅθεν γίνεται· τοῦτο δὲ ὅτι οὐκ ἔστιν ἀκμὴ, διαῤῥήδην ἀποφαίνεται. Ἐκλαμβανόμενα· ἑλκόμενα. 13 Mon. ἐξ ἧς. scr. ἑξῆς.

θύμημα ἐπιφωνήματος εἶδος εἶναι· ἐπιχείρημα· „ὑμεῖς[15] τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κλεωνάς, τὰς ἄλλας νήσους“· ἐπιχείρημα· „οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης ἐξήλθετε εἰς Ἁλίαρτον“, καὶ πάλιν ἐργασία, „οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν παρὰ τὸν Δεκελεικὸν πόλεμον πραχθέντων, ἀλλ᾽ οὐκ ἐποίουν ταῦτα οὐδὲ ἐγγὺς τούτων“· εἶτα τὸ ἐνθύμημα, ὃ νομίζεται παρά τισιν ἐπιφώνημα, „καίτοι τότε ἀμφότερα, Αἰσχίνη, οὔθ᾽ ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτ᾽ ἀκίνδυνα ἑώρων“, καὶ τὸ τοιοῦτον μᾶλλον ἀπόδειξίς ἐστιν, ἢ ἐπιφώνημα· ἐλέγχεται δὲ πλέον τοῦ μὴ εἶναι ἐπιφώνημα, ὅτι τὸ ἐπιφώνημα ἀεὶ τελευταῖον τίθεται, ἐπιφώνημα γὰρ διὰ τοῦτο κέκληται, ὅτι ἐπιφωνεῖται τῷ γιγνομένῳ, ἀλλὰ καὶ τὴν γνώμην τινές φασιν ἐπιφωνήματι ἐοικέναι, ἀλλ᾽ ὅμως καὶ αὕτη προτασσομένη πολλάκις ἐξελέγχεται μὴ εἶναι, μηδὲ ἐοικέναι ἐπιφωνήματι· λέγουσι δέ τινες καὶ τοῦτο ἐπιφώνημα εἶναι·

Νήπιος· οὐδ᾽ ἄρ᾽ ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξειν·[16]

ὅπερ μᾶλλον προσφώνημα ἂν εἴη ἢ χλευασμός· καὶ περὶ μὲν τῶν ἐπιφωνημάτων ἱκανῶς [ἔχει] κρίναντες ἐπὶ τὰ ἑξῆς βαδιούμεθα.

---

15 Dem. pro cor. p. 258. 16 Il. M. 113. ἀλύξας.

Cap. X.

Περὶ τροπῆς.

Προπέποται τὰ τῆς πόλεως· [1] *ὃ ἀνωτέρω ἐπηγγείλατο περὶ ἐπιφωνημάτων ποιούμενος τὸν λόγον, ὡς καὶ ἐν τῷ περὶ τροπῆς μεμνησόμενος αὐτῶν, τοῦτο ποιεῖ νῦν, ἐπιφώνημα γὰρ καὶ τοῦτό ἐστιν ἀπὸ τῶν τῆς τροπῆς ὀνομάτων μεταληφθέν· οὐκ ἐπεσημήνατο δὲ τοῦτο ἐνταῦθα τῷ μὴ πρὸς ἀγνῶτας, ἀλλ' ἐπιστήμονας ἤδη τὸν λόγον ποιεῖσθαι· τοιοῦτον καὶ τὸ ἐφεξῆς τό· μεθύει τῷ μεγέθει τῶν πεπραγμένων Φίλιππος.*

---

1 Ven. τῆς πόλ. πράγματα [Ol. III. p. 34.] ὃ (Mon. καὶ) ἀνωτέρω. Par. add. *Προπίνειν φασὶ τὸ ἐν συμποσίῳ κατέχοντά τινα τὸ ἔκπωμα μνείαν τινὸς τῶν συμπαρόντων αὐτῷ ἢ καὶ μὴ συμπαρόντων ποιήσασθαι· οἷον, ὑγιαίνειν μοι εἰπεῖν. ἢ ἐῤῥώσθω μοι Κλεινίας, εἶτα ῥοφῆσαι τοῦ πόματος· μετήγαγεν οὖν τὸ τῆς προποσίας ὄνομα ὁ Δημοσθένης ἐπὶ τῆς προδοσίας· οἷον ἐν οὐδενὶ δωροδοκήσας ὁ Αἰσχίνης ἔχει τὸ προδοῦναι τὴν πόλιν· καὶ ἐν ἴσῳ τοῦ προπίνειν τινός· δύναται οὖν αὐτὸ τὸ προπίνειν καὶ ἐπ' αὐτοῦ τοῦ ὑποκειμένου κεῖσθαι καὶ νοεῖσθαι καλῶς, καὶ ἐφ' οὗ ἔξωθεν τροπικῶς ἐλήφθη, ἐπὶ τῆς προδοσίας δηλονότι· ἐστὶ δὲ ἐπιφωνηματικὸν αὐτοῦ τὸ μεθύειν, ὃ καὶ διὰ μακροῦ ἀπεδόθη· ἡ δὲ αἰτία εἴρηται τῷ τεχνικῷ. Ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα· ὡς ἐάν εἴπῃς· οὗτος λιθίνην ἔχει ψυχήν· ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, ὡς ἐστι τὸ συνδρομὴ γέγονε τῶν νεφῶν· τὸ γὰρ τρέχειν ἐμψύχων. Μὴ ὑποκείμενον· οὐ γὰρ περὶ συμποσίου ἦν αὐτοῖς ὁ λόγος ἢ περὶ θηρίων· διὰ τοῦτο μὴ ὑποκεῖσθαι αὐτά φησι τῷ λόγῳ. Ἐνθεῖναι· καλῶς δηλονότι. Κακοζηλότερον· περὶ κακοζήλου εἰρήσεται τῷ τεχνικῷ μετὰ κεφάλαιον πρῶτον τὸ περὶ σεμνότητος. Τὸ ἠσκήσαμεν· ἐπὶ ἀγῶνος τάττεται· οὗτος δὲ ἐπὶ ἐχθροῦ. Εἰπὼν ὄνομα· ὄνομα λέγει τὸ ἠσκήσαμεν. Τὰ ἑξῆς ὁμοίως· συντελοῦντα καὶ ἁρμόζοντα. Συντελικά· ἁρμόδια. Μεθύει·*

Cap. XI.

Περὶ σεμνοῦ λόγου.

Ἀσχολούμενοι ἐν τῷ περὶ διαιρέσεως ἑκάστου κεφαλαίου τῶν σχημάτων περὶ ἐπιφωνήματος τῶν σχημάτων, περὶ ἐπιφωνήματος διαλαβόντες, νῦν ἤκομεν εἰς τὸ περὶ σεμνοῦ λόγου, οὐχ ὑπομνηματίσαι αὐτὸ βουλόμενοι· ἔστι γὰρ τοῦτο πάνυ σαφὲς, ἀλλὰ περὶ τῶν παραδειγμάτων τῶν ὑπὸ τοῦ τεχνικοῦ τεθέντων μικρόν τι εἰπεῖν καὶ διεξελθεῖν τὰ δέοντα· φησὶν οὖν, ὅτι τὰ μὲν σεμνὰ σεμνότητος λύσιν οὐκ ἐπιδέχονται, [1] διὰ τὸ ἀφ' ἑαυτῶν ἔχειν κατὰ φύσιν τὴν σεμνότητα, τὰ δὲ αἰσχρὰ ἐπιδέονται θεραπείας, ἃ σεμνὰ ἀποφέρεσθαι χρεὼν παρ' ἡμῶν· καὶ γὰρ ὥσπερ τὰ μὲν εὐσχήμονα τῶν σωμάτων γυμνὰ τυγχάνοντα [2] διὰ τὴν φυσικὴν εὐπρέπειαν οὐκ ἐπιδεύονται καλύμματος, τὰ δὲ δοκοῦντα αἰσχρὰ ἐπικαλύπτονται καὶ σκέπης ἐπιδέονται, οὕτω καὶ τὰ μὲν σεμνὰ τῶν νοημάτων γυμνὰ ὄντα τῇ φυσικῇ εὐπρεπείᾳ καλλυνόμενα ἀπροσδεῆ τῆς ἐκ τῶν διὰ λόγου σεμνότητος σχηματίζουσι· φησὶν οὖν ὁ τεχνικὸς, ὅτι ἢ ὀνόματι ἡμῶν ἀντ' ὀνόματος χρωμένων τὸ αἰσχρὸν σεμνύνεται, ἢ πολλάκις οὐδὲ λεγόντων τὸ πρᾶγμα, ἐὰν αἰσχρὸν ᾖ πάνυ καὶ ὡς ἀποροῦντός τινος περὶ τοῦ δευτέρου· ὅτι πῶς ἂν ἐννοηθείη, εἰ σιωπηθείη· λύσιν τὴν ἀντίθεσίν φησιν,

---

[Phil. I. p. 54.] εἰ τὸ μεθύειν τῷ [Cod. τό] προπέποται παρέζευκτο, γελοῖον ἂν ἐδόκει, διατί δέ; ὅτι πᾶς τις πίνων μεθύει· τὸ δὲ ἰσχυρὸν τῷ ἠσκήσαμεν παράκειται, ὃ καὶ κοσμεῖ τὸν λόγον, ὅτι ἕπεται τοῖς περὶ τοὺς ἀγῶνας ἀσκουμένοις καὶ ἰσχυροὺς εἶναι.

1 Mon. ἐπιδεύονται. scr. ἐπιδέχονται. 2 Par. τυγχάνοντα ὄντα. Sch. min. Ἐν οὐρανῷ Ζεύς· οἷον καὶ τό· ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ θεὸς ἦν μὲν ἀεὶ, ὃ ἐστι καὶ ἔσται· καὶ θεοῦ δὲ, ὅταν εἴπω· ἑνὶ φωτὶ περιστράφθητε· καὶ τρισί· καὶ θεὸν οὐδεὶς ἑώρακε πώποτε.

ἵνα τὰ πρὸ τοῦ αἰσχροῦ πράγματος εἴπωμεν καὶ τὰ μετ' αὐτό· ἐξ ὧν ἐκεῖνο καὶ σιωπώμενον νοεῖται, ἐκεῖνα δὲ σιωπήσωμεν· καὶ τοῦ μὲν πρώτου παρατίθησι τὸ μὲν παρὰ [3] Μενάνδρῳ διήγημα· πυθόμενος γάρ τινος κόρης διεφθαρμένης σεμνῶς ἀφηγήσατο πρᾶγμα αἰσχρὸν ὀνόμασι βελτίστοις ἤτοι λέξεσι· Δυονυσίων ἦν πομπή, ὁ δέ με ἠκολούθησε μέχρι τὰ πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω [4] με· τοῦ δὲ δευτέρου παράδειγμα καὶ παρ' Ὁμήρῳ· [5]

Λῦσε δὲ παρθενικὴν ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.
Ἡ δ' ὑποκυσσαμένη Πελίην τέκε καὶ Νηλῆα,

τὸ λῦσαι παρθενικὴν ζώνην ἐν δ' ὕπνον ἔχευεν, ἐστὶ δὲ πρὸ τοῦ αἰσχροῦ πράγματος, τὸ δὲ, ἡ δ' ὑποκυσσαμένη τέκεν, ἔστι τὸ μετὰ τὸ πρᾶγμα καὶ οὕτω μὲν τεθειμέ-

---

3 Par. μέν. Mon. παρὰ om. 4 Schol. min. Ὀνόματι χρωμένων ἀντ' ὀνόματος· ὡς ὁ ἀντὶ τοῦ ἐφθάρθαι ὀνόματος ἔγνω με εἰπών. Τὴν ζώνην τῆς παρθενίας λέγει κυρίως. Ὅμοια καὶ ταῦτα Ὁμήρου ἔπη. [Il. *A*. 528.]

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερῴωσαντο ἄνακτος.
Κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

καὶ [Il. *A*. 197.]

Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα,
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.

καὶ [Il. *A*. 46.]

Ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο.
Αὐτοῦ κινηθέντος· ὁ δ' ἤϊε νυκτὶ ἐοικώς.

καὶ [Il. *E*. 341.]

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἰθοπα οἶνον.

καὶ [Il. *E*. 440.]

Φράζεο Τυδείδη καὶ χάζεο, μηδὲ θεοῖσιν
Ἶσα θέλε φρονέειν, ἐπεὶ οὔποτε φῦλον ὅμοιον
Ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων.

Ταῦτα γὰρ πάντα μεγαλοπρεπῆ καὶ τίμια, καὶ ὡς ἀληθῶς κρειττόνων λόγοις ἐοικότα. 5 Od. *A*. 245. et 254.

νον, μεῖλλον δὲ πεπλασμένον ἐστὶ σεμνόν· ὡς δὲ κεῖται παρ' Ὁμήρῳ καὶ πάνυ ἄσεμνον, οὐδὲ γὰρ ἐσιώπησε τὸ αἰσχρὸν πρᾶγμα Ὅμηρος, ἀλλὰ μεθ' ἑρμηνείας αὐτὸ ἐξέφηνεν· ἔχει γὰρ τὸ Ὁμηρικὸν ὧδε·

Λῦσε δὲ παρθενικὴν ζώνην, κατὰ δ' ὕπνον ἔχευεν·
Αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν.
Χαῖρε γύναι φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ
Τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναί
Ἀθανάτων, [6] σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
Νῦν δ' ἔρχεο πρὸς δῶμα καὶ ἴσχεο μηδ' ὀνομήνῃς.
Αὐτὰρ ἐγὼ τοί εἰμι Ποσειδάων ἐνοσίχθων·
Ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα·
Ἡ δ' ὑποκυσσαμένη Πελίην τέκε καὶ Νηλῆα.

εἰ τοίνυν σεσίγηται παρ' Ὁμήρῳ τὸ τοῦ αἰσχροῦ πράγματος, κρινέτω ἕκαστος τῶν ἀκουόντων· οὐ τοίνυν ἐστὶ σεμνὸς ὁ λόγος ὁ Ὁμηρικὸς, ἀλλὰ τὸ πλασθὲν ὑπὸ τοῦ τεχνικοῦ· καὶ ταῦτα μὲν οὕτως· περὶ δὲ τῶν ἑξῆς, οὐδεὶς ἡμῖν λόγος σαφηνείας ἀξιῶσαι διὰ τὸ ἑαυτῶν εὔληπτον, καὶ μάλιστα ὅσα διαιρέσεως παρ' ἡμῶν ἔτυχον, καὶ εἰ μέν τι τῶν εἰς ὄνησιν τῷ εἰσαγομένῳ εὑρηται παρ' ἡμῶν, τῷ θεῷ χάρις, παρ' οὗ δωρεὰ πᾶσα καὶ τῶν ἀγαθῶν ἡ χορηγία· εἰ δ' οὐδεμία ὄνησις ἢ τῶν ἐσφαλμένων τι γέγραπται, ἡμέτερον τὸ ἐλάττωμα, καὶ συγγνώμης ἀξιούσθω ὑπὸ τῶν ἐντυγχανόντων ὑπέρ γε καὶ μόνης τῆς ἡμῶν προαιρέσεως· προαίρεσις μὲν γὰρ ἦν, τοῦ λίαν ἐπωφελῆ πᾶσι τοῖς ἐντευξομένοις γενέσθαι, ἀλλ' οὐ ῥᾴδιον τὸ ἐπιτυγχάνειν, ὧν δεόμεθα· μόνα γάρ ἐκεῖνα δίδοται, ἃ δίκαια κρίνει παρέχειν ὁ τῶν κρειττόνων ἁπάντων καὶ χορηγὸς καὶ ταμίας, ὁ καὶ τοῦ λόγου δοτὴρ καὶ τοῦ εἶναι ἡμᾶς σοφὸς πρύτανις.

β'. Ἰστέον, ὡς [7] τὸ περὶ σεμνοῦ λόγου τοῦτο παρά-

6 Mon. ἀθανάτους δὲ σὺ τούς. 7 Ven. litt. ά. omissa in.

δειγμα πέπλασται ὑφ' Ἑρμογένους εἰς σεμνότητα· τὸ γὰρ παρ' Ὁμήρῳ καὶ λίαν ἐστὶν αἰσχρόν· ἅτε καὶ τὰ ἐν τῷ πράγματι αὐτῷ αἰσχρὰ ἐξαγγέλλων· [8] σκόπει γὰρ ἐκεῖ, ὅτι καὶ τὸ αἰσχρὸν τῇ ἑρμηνείᾳ ἐξέφηνεν· ἀλλ' οὐ τελείως παρέλιπεν ἀποσιωπήσας.

Cap. XII.

Περὶ κακοζήλου. [1]

Τί μέν ἐστι κακόπλαστον, ἐν τῷ περὶ ἀσυστάτων ἐδίδαξε· μᾶλλον δὲ ἐν τῷ δευτέρῳ τῶν ἐγγὺς ἀσυστάτων, ὅτι τὸ παρὰ τὴν ἱστορίαν ἐστί· ταὐτὸν δὲ εἰπεῖν καὶ παρ' ἀλήθειαν, οἷον μετὰ τὴν Νικίου ἐπιστολήν, νῦν δὲ διδάσκει, τί ἐστι κακόζηλον.

Γίνεται τὸ κακόζηλον [2] κατὰ τὸ ἀδύνατον κ. τ. λ. T. V. p. 434. v. 6. — 24. εἰ τοίνυν τοιοῦτον ἑρμηνευθῇ,

---

cipit hic. ὡς Mon. om.; recepi ex Ven., qui etiam habet πέπλασται ὡς ὑφ' Ἑρμ. 8 Ven. inserit: ἔχει γὰρ οὕτως· λῦσε δὲ παρθενίην κ. τ. λ. usque ad Πελίην τέκε καὶ Νηλῆα, quae in Mon. et in Par. exstant sub litt. ά.

1 Mon. et Ven. duabus lineis hoc caput absolvunt. Περὶ Κέκροπος — — βούλεται. et: Περὶ Πολυξένης — — τάφον. Ven. incipit οἴμοι δράκων μου γίνεται τὸ ἥμισυ. 2 Sch. min. ἐκ τῶν κεφαλαίων τῆς ἀνασκευῆς, οἷον τοῦ ἀσαφοῦς, τοῦ ἀδυνάτου καὶ τῶν λοιπῶν ἀνασκευάζεται τὸ κακόζηλον ἢ κατασκευάζεται. Μέχρι τοῦ εἰκότος· ἔν τισιν εὑρίσκεται μέχρι τοῦ εἰκότως προχωρεῖν. Περὶ διασκευῆς ζήτει τὸ δωδέκατον κεφάλαιον τοῦ τρίτου τόμου. λέγει γὰρ ἐν ἐκείνῳ πρὸς τῇ ἀρχῇ καὶ περὶ κακοζήλου. Τὸ πλῆρες τῆς τροπῆς· ὡς ἐὰν ὀνομάσω τὸν ἅρπαγα λύκον ἢ τὸν ἰσχυρὸν λέοντα, ἢ τὸν δολερὸν ἀλώπεκα, καὶ μὴ δυνηθῶ δι' ὅλου τοῦ κυρίου καλῶς ἐπεξελθεῖν τῇ τροπῇ.

κακόζηλόν ἐστι καὶ ἀνασκευάζεται ῥᾳδίως. Διασκευὰς λέγει τῶν πραγμάτων τὰς ἀφηγήσεις καὶ διατυπώσεις καὶ οἱονεὶ ἐκφράσεις, καὶ γραφὰς ἐμψύχους τῷ δοκεῖν· τοῦτο δὲ διὰ τῶν τρόπων γίνεται, ὡς ἔμαθες ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τοῦ τρίτου τόμου.

Νοῦν εἰσάγει· ἀντὶ τοῦ πιστὰ ποιεῖ καὶ εὐαπόδεκτα, ὡς ὁ θεολόγος· τάχα με γέροντα καὶ μυθολόγον νομίσετε, πρῶτον κατασκευάζει, καὶ οὕτω λέγει τὸν μῦθον· ἐβάδιζον πρὸς ἐμαυτόν· τῇ προκατασκευῇ οὖν εἰσήγαγε νοῦν τοῖς ἀκροαταῖς, ἀφ' οὗ καὶ τὸ μυθικὸν [3] προσεδόκησαν τοῦ νοήματος, καὶ ἀσφαλὲς αὐτοῖς ἔδοξε, πρὶν λεχθῆναι.

Ἢ τῷ λόγῳ· τῷ νοήματι κακόζηλα, τὸ ἀδύνατον καὶ τὰ λοιπά· τῷ λόγῳ δὲ τὰ τροπικὴν ἔχοντα λέξιν, μὴ ἐξεργασθεῖσαν κατὰ ἀκολουθίαν καὶ μεταχειρισθεῖσαν καλῶς.

ά. Περὶ Κέκροπος ὁ λόγος, εἰς δράκοντα μεταβαλλομένου, ὡς ὁ μῦθος βούλεται.

Προδιορθώσει· ἐὰν εἴπω· μή μοι ἀπιστήσῃς λέγοντι. Προκατασκευῇ, ὅταν ἀδύνατόν τι μέλλων εἰπεῖν περί τινος προκατασκευάσω, ὅτι καὶ τοιοῦτος ἦν, ὥστε δύνασθαι ποιεῖν τοιαῦτα, οἷόν ἐστι καὶ τὸ περὶ τοῦ Κύκλωπος. Ἐπιδιορθώσει, ὅταν ἔσχατον τὰ αὐτὰ ποιήσω.

Ἡ ἐπιδιόρθωσις ὁμοίως τῇ προθεραπείᾳ καὶ προκατασκευῇ ἰαμά ἐστι τοῦ κακοζήλου· καὶ ἐπὶ μὲν τοῦ δράκων μοῦ γέγονε τὸ ἥμισυ, ἡ σεμνότης ἐπιδιόρθωσις·

---

3 Cod. μυθεικόν. Scholia minora: τὰ προλεχθέντα καὶ προμαλαχθέντα μετὰ θεραπείας τινός, τοῦτο γὰρ εἶπε μαλάττειν τροπικῶς. Τὸ τόλμημα· τὸ ὑπὸ τοῦ ῥήτορος λεγόμενον νόημα εὐστόχως καὶ ὡς ἀληθῶς τολμηρῶς. Εὐτελὲς λέγει οὐ τὸ μικρὸν, ἀλλ' ἐγγὺς ἀσυνέτου· ἀσυνεσία γάρ τις τὸ λέγειν τὸν Κέκροπα, ὅτι δράκων μου γέγονε τὸ ἥμισυ. [Eur. Fr. inc. CLXVI.] Καὶ λίθον· προσυπακουστέον τὸ κινεῖν.

σεμνὸν γὰρ τὸ· περιπλάκηθι τῷ λοιπῷ πατρὶ, μετὰ συνέσεώς τινος εἰρημένον· ἔστι δὲ καὶ ἄλλως ἐπιδιορθοῦσθαι, οἷον ἐάν τι κ. τ. λ. Vol. V. p. 434. v. 27. — p. 435. v. 2.

Ὥσπερ προηγουμένου τοῦ κοινοῦ καὶ εὐτελοῦς ἐπαγόμενον τὸ σεμνὸν ἰαμά ἐστιν οὕτως προηγουμένου μὲν τοῦ σεμνοῦ, ἐπαγομένου δὲ τοῦ εὐτελοῦς καὶ κοινοῦ γίνεται τὸ κακόζηλον, κατὰ τὸ τοῦ τεχνικοῦ παράδειγμα. Περὶ δὲ ἐπιφωνημάτων ἔμαθες ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τούτου τοῦ τόμου.

β'. Περὶ Πολυξένης [4] ὁ λόγος τοῦ Πριάμου, ἀποσφαττομένης παρὰ τὸν [3]Ἀχιλλέως τάφον.

Cap. XIII.

Περὶ ἐσχηματισμένων προβλημάτων.

[1]Ἄλλο τι περαίνῃ ὁ λόγος· Ὁ γὰρ πένης οὐ μόνον τὸ ἐναντίον, οὗ προτείνεται, βούλεται συνιστᾷν, ἀλλὰ καὶ ἔξωθέν τινα ἕτερα, πλαγιάζων τὸν λόγον· παραγγέλλει μὲν γὰρ ἑαυτὸν, συνίστησι δὲ τὸ ἐναντίον, καὶ προσέτι ἑτερά τινα πλαγιάζων προτείνεται καὶ συνιστᾷν ἐθέλει, τὸ μὴ εἶναι παρὰ τῷ πλουσίῳ σῖτον, ἢ τὸ, κἂν ᾖ, χρῆναι αὐτὸν προῖκα καὶ ἀποινὶ λαβεῖν.

Κατὰ ἔμφασιν. Βούλεται μὲν γὰρ ὁ υἱὸς ἐπὶ

---

4 Ven. praemittit: ἡ δὲ καὶ πίπτουσ[3] ὅμως.

1 Haec et sequentia usque ad litt. ά. absunt a Mon. Sch. min. τὸ ἐναντίον οὗ λέγομεν. Ὁ γὰρ Περικλῆς προτείνεται μὲν βούλεσθαι ἀπιέναι παρὰ Λακεδαιμονίους, οὐ βούλεται δὲ, ἀλλὰ τὸ ἐναντίον αὐτοῦ ὡς ἂν δύνηται κατασκευάζει μεταχειριζόμενος. Ὑβριοπαθῶν· ὕβριν γὰρ ἡγεῖτο τὸ ὅλως [3]Ἀθηναίους περὶ τούτου βουλεύεσθαι. Ἑαυτὸν προσαγγέλλει· ἀντὶ τοῦ θάνατον ἑαυτῷ προτιμᾷ· τοῦτο γὰρ ἀεὶ δηλοῖ τὸ προσαγγέλλειν. Ἁπλῶς λαβεῖν, ἀντὶ τοῦ προῖκα καὶ χωρὶς ποινῆς.

τῇ μοιχείᾳ τῆς γυναικὸς κατηγορεῖν τοῦ πατρὸς, οὐ συγχωρεῖται δὲ παρὰ τοῦ νόμου, οὐδὲ διδόασι τούτῳ παῤῥησίαν οἱ δικασταὶ, ἀλλ' ἐπιλαμβάνονται· τοίνυν προσποιεῖται μανίαν, καὶ βούλεσθαι φεύγειν φάσκει, κατὰ τὸν νόμον μὴ τοῦτο βουλόμενος, ἀλλ' ἕτερόν τι τὸ ἐν προσχήματι μανίας τὰ τῆς κατηγορίας ῥήματα φθέγγεσθαι ἀνεπιλήπτως· διὰ τοῦτο καὶ κατὰ ἔμφασιν λέγεται, ὅτι ἐμφαίνει τὰ τῆς μοιχείας προσποιούμενος τὴν μανίαν, καὶ τὴν φυγὴν τῷ λόγῳ αἱρούμενος.

Ἐν σχήματι γὰρ μανίας τυχὸν καὶ παραφορᾶς τὰ τῆς μοιχείας λέγει, καὶ τὴν κατὰ τοῦ πατρὸς κατηγορίαν κατασκευάζει ἀνεπίληπτον, μὴ θέλων φυγεῖν.

Ἐν μελετᾷ, τὰ ἐναντία· τὸ διὰ τῆς ἰσχυρᾶς κατασκευῆς τῆς ὑποφορᾶς συστῆσαι τὸ ἐναντίον, οὗ προΐσχεται· πλεῖον δὲ οὐδέν, ὡς καὶ τῷ τεχνικῷ δοκεῖ· τὰ δὲ πλάγια οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα νοήματα ἔχει, ὡς ἐπὶ τοῦ πένητος· οὐ μόνον γὰρ σπεύδει τὸ μὴ δεῖν τεθνάναι αὐτοῖς συνιστᾷν, ἀλλὰ καὶ τὸ μὴ ἔχειν ἐκεῖνον σῖτον.

ά. Τῶν ἐσχηματισμένων ἐναντίων καὶ πλαγίων μία ἡ μεταχείρισις [2] ἀπὸ τῶν ὑποφορῶν, αἵ εἰσιν οἱ τῶν ἐχθρῶν λόγοι· τοῦτο οὖν καὶ ἐπὶ τοῦ Περικλέους σαφὲς δειχθήσεται· ἀπαιτούμενος γὰρ ὑπὸ τῶν Λακεδαιμονίων φήσει οὕτως· ἐχθροί τινες ὑμῖν ἄλλοι τῆς πόλεως ἐμὲ Λακεδαιμονίοις ἀποδιδοῦσιν, ὦ Ἀθηναῖοι, μέμψονται, [3] ἐγὼ δὲ ἀπελθεῖν βούλομαι, καὶ τὴν ὑποφορὰν ταύτην κατασκευάζειν· ὡς ἀπὸ τῶν ἐχθρῶν δῆθεν οὕτως, ὅτι οὐκ εἰκὸς τὴν τῶν Ἀθηναίων πόλιν Λακεδαιμονίοις πειθομένοις τὸν στρατηγὸν ἀποδοῦναι Περικλέα καὶ ῥήτο-

2 Codd. μεταχείρησις. 3 Par. μέμψονται ὦ Ἀθην. Sch. min. ἐμφαίνωμέν τι κατὰ τὴν σύνθεσιν τοῦ λόγου, ὃ οὐκ ἐξὸν εἰρῆσθαι. Αἱ ὑποφοραὶ κατασκευάζονται καὶ ἐκφέρονται μεμελετημένως τὸ ἐναντίον οὗ προτείνεται συνιστῶσαι.

ρα, εἶτα τυχὸν καὶ ἐπιχείρημα δώσει ἐνταῦθα τὸν Ξέρξην, ὅτι καὶ ὁ Ξέρξης γῆν ποτε καὶ ὕδωρ Ἀθηναίους αἰτήσας οὐκ ἔλαβε παρ' αὐτῶν· ταῦτα δὲ πάντα κατασκευάζων καὶ ἐπιχειρῶν καὶ ἀπὸ τῶν ἐχθρῶν δεικνύει, ὅτι καὶ ἐχθροὶ ὑμῖν, ἐὰν ἐμὲ ἀποδῶτε, μέμψονται, ὅπερ ἐστὶν, ἃς λέγει λύσεις, μήτι γε δὴ οἱ φίλοι.

β'. Τὸ [4] ἐξῆς οὕτως· ὁ γὰρ παρὰ τῶν ἐχθρῶν λόγος ἐστὶν ἰσχυροποιούμενος ἀσθενεστέρας ἀναγκάζων εἶναι τὰς λύσεις· δείκνυσι τὸ βούλεσθαι τὸν σοφιστὴν [5] ἐκεῖ πλέον ἢ κατὰ τὸ δοκοῦν εἰσάγεσθαι.

Ἡ

---

4 Ven. Litt. ά. omissa: Ἀσθενεστέρας ἀναγκάζων εἶναι τὰς λύσεις, ἐκεῖ δείκνυσι τὸ βούλεσθαι πλέον τὸν σοφιστὴν ἢ κατὰ τὸ δοκοῦν εἰσάγεσθαι· τὸ ἐξῆς οὕτως, τὸ βουλεύεσθαι τὸν σοφ. πλέον ἢ κατὰ τὸ δοκοῦν εἰσάγεσθαι. Tum transit ad litt. δ'. 5 Sch. min. τὸν ῥήτορα. ultima verba: ἢ κατὰ τὸ δοκοῦν εἰσάγεσθαι Mon. om. Sequentia usque ad litt. γ'. ex Parisino recepi. Sch. min. μήτε Μαρδονίῳ· πολέμιοι οὗτοι Ἀθηναίοις, οἷς οὐχ ὑπήκουσαν. Ὑποφορῶν κατασκευή· ἡ ἰσχυρὰ τῶν ὑποφορῶν κατασκευὴ δηλονότι .Τοιοῦτόν τι πεπραχέναι· διὰ μέσου τὰ τοιαῦτα [Cod. ταὐτὰ] νοήματα κεῖται. Οὔ φημι ταῦτα· εἶπεν, ὡς οὐ δίκαιον πείθεσθαι τοῖς ἐχθροῖς, ἄλλος μέν, φησὶν, εἶπεν ἄν, ἐγὼ δὲ οὔ φημι ταῦτα. Ἄντικρυς· φανερῶς, ἀναφανδόν. Ἐντρέχουσαν φήμην· λέγων γὰρ ὁ υἱὸς, ὅτι σὸν εἶναι λόγισαι πάτερ τὸ παιδίον, οὐκ ἐμὸν, τὴν φήμην τῆς μοιχείας κατὰ ἔμφασιν δηλοῖ, ἀνεπιλήπτως γε μήν. Διττὰ δηλῶσαι· ὁ τεχνικὸς ταῦτα ὑποκατιὼν εἶπε ποῖά εἰσιν, ὡς ἐπὶ τοῦ δοθέντος ὑποδείγματος τὸ συνέσται καὶ συζήσεται. Ἀνεύθυνον τὸ σὸν, ἀντὶ τοῦ συγγενικόν· ὑπεύθυνον τὸ σπερματικὸν, ὃ καὶ σημαίνεται νῦν κατ' ἔμφασιν. Οἷον ἡμῖν ἐξενήνεκται. Σημείωσαι, ὅτι καὶ τοῦτο ὁ τεχνικὸς ἐμελέτησεν. Τὸ συνέσται διττὸν ἐνταῦθα· τὸ γὰρ συνουσιάσαι σημαίνει, καὶ τὸ συνοικεῖν· ὁμοίως καὶ τὸ συζῆσαι διττῶς. Τῆς συνθέσεως· τί ἐστι σύνθεσις, ἐν τῷ ὑποκειμένῳ παραδείγματι μαθήσῃ. Τὸ εἴρηται ἐξ ἰδίου προσώπου ἔφη ὁ τεχνικός· εἴρηται, φησὶν, παρ' ἐμοῦ ἐν τῇ μελέτῃ οὕτως. Τοῦτο ἡ σύνθεσις τὸ ἐβύων πάτερ. Εἰ

Ἡ μέντοι μεταχείρισις. Ἡ μεταχείρισις ἐπ' ἀμφοῖν κ. τ. λ. Vol. V. p. 435. v. 6. — p. 436. v. 1. Τὸν παρὰ τῶν ἐχθρῶν λόγον ἰσχυρὸν κατασκευάζων ὁ ῥήτωρ, καὶ ἀναγκαίως ἀσθενεῖς τῆς ὑποφορᾶς κατασκευάζων τὰς λύσεις, αἳ καὶ ἀνθυποφοραὶ λέγονται, δείκνυσιν, ὅτι βούλεται πλέον τι εἶναι ἐν αὐταῖς, ἢ ἐν τῷ δοκοῦντι εἰσάγεσθαι, οἷον ὅτι παρίστησι τοῖς ἀκροαταῖς διὰ τοῦ ἰσχυρὰν μὲν τὴν ὑποφορὰν ποιῆσαι, ἀσθενῆ δὲ τὴν λύσιν· ὅτι εἰ θέλει μὴ τούτῳ προσέχειν τὸν νοῦν τῷ προβαλλομένῳ, δεῖ τὸν Περικλέα δοθῆναι, ἀλλὰ τῷ ἐναντίῳ αὐτοῦ, τῷ μὴ βούλεσθαι τοῦτο γεγονέναι· περὶ ἐχθρῶν δὲ λέγει, ὅτι τὴν ὑποφορὰν ὅλην ὡς ἀπὸ ἐχθρῶν ποιεῖται.

Ταῦτα ἐκ τῆς ὑποφορᾶς· Τέσσαρές εἰσι, πρότασις, ὑποφορά, ἀντιπρότασις, λύσις. Πρότασις ἡ ἐπαγγελία τῆς ὑποφορᾶς, ἀκούω τὸν δεῖνα περιιόντα λέγειν· ὑποφορά, ὡς χαλεπὸν τὸ μετιέναι φιλοσοφίαν· τοῦτο τοῦ ἐναντίου ὁ λόγος· ἀντιπρότασις, ἡ καὶ ἐπαγγελία τῆς λύσεως, ἐγὼ δὲ τὸν τοιοῦτον λόγον ἐλέγξω ψευδῆ· λύσις δηλονότι τῆς ὑποφορᾶς, ἥτις καὶ ἀνθυποφορὰ λέγεται· τὸ γὰρ φιλοσοφεῖν πρᾶγμα ῥᾴδιον· ταύτην δὲ τὴν λύσιν δεῖ συνιστάνειν τὸν ῥήτορα, οἷς διδάσκει ὁ τεχνικός· εἴρηται δὲ περὶ τούτων ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ τρίτου τόμου. Φήσει παρελθὼν ὁ λέγων ἐν σχήματι ἐχθρῶν Ἀθηναίοις τὸ ἐκείνων ὑπερχόμενος πρόσωπον, τὰ ὑποκείμενα πάντα, ὅσα καὶ ἐκεῖνος δηλαδὴ εἶπεν ἂν ὑπὲρ αὐτοῦ· καὶ ἕτερος ὑπὲρ αὐτοῦ λέγων, ὅπερ ἴδιον ἐσχηματισμένου προβλήματος, ὑποφορὰ δέ ἐστιν ὁ τοῦ ἐναντίου λόγος.

μὲν στήσεις εἰς τὸ ἐβόων, τῷ δὲ πάτερ προσθήσεις τὸ σὺ δὲ ἦς οὐδαμῶς, διέλυσας τὴν ἔκφασιν. Οὐδὲ ἦς οὐδαμῶς· οὐκοῦν ἀστίκτως εἶπε, καὶ χωρὶς προσθήκης. Ἀπὸ τοῦ οὐδαμοῦ· τὸ οὐδαμοῦ ὑποψίαν παρέχει, ὡς οὐκ ἦν ὁ πατὴρ μοιχὸς, μὴ κειμένου δὲ τούτου δηλονότι μοιχὸς φαίνεται.

Χρὴ, φησὶ, τοῦτο περὶ πλείστου ποιεῖσθαι, τὸ μεταχειριζομένους σχημάτων ἀσφαλῶν εὐπορεῖν, ἵνα μὴ λύωμεν τὰς ἐμφάσεις τελείως, καὶ οἱονεὶ γυμνὸν εἰσάγωμεν τὸν λόγον, ὅτι τὸ ἐναντίον, οὗ προϊσχόμεθα, βουλόμεθα, τοῦτο γὰρ εἰς ὀργὴν κινήσει τοὺς ἀκροατὰς, καὶ οὐκέτι προσέξουσιν ἡμῖν τὸν νοῦν.

γ'. Ἐπέταττον οἱ Λακεδαιμόνιοι Ἀθηναίοις Ποτίδαιαν, Μέγαραν καὶ Αἴγιναν ἀποδοῦναι αὐτοῖς, ὡς αὐτῶν μὲν οὔσας, κατεχομένας δὲ ὑπὸ τῶν Ἀθηναίων.

δ'. Τὸ [6] ὅλον οὕτως· ἔστι καὶ ἄλλη μεταχείρισις τὸ περιτιθέντα ἑτέρῳ τοῦ λόγου εἰσάγειν τὰ νοήματα· τὸ δὲ ἐγὼ δὲ οὗ φημι ταῦτα οὐ [7] τῆς τεχνολογίας ἐστὶν, ἀλλὰ τοῦ ὑποδείγματος· ἄλλος μὲν ταῦτα φήσει, ἐγὼ δὲ οὐκ ἐρῶ ταῦτα.

Cap. XIV.

Περὶ συγκριτικῶν προβλημάτων.

Συγκριτικά εἰσι προβλήματα ἐν μὲν στοχασμῷ τὸ τῶν δύο ἰατρῶν πρόβλημα· φιλονεικοῦσι γὰρ ἀμφότεροι ὑπὲρ τῆς δωρεᾶς, ὁ μὲν λέγων, ὅτι ἐγὼ δέδωκα δηλητήριον ἀντιφάρμακον τῷ τυράννῳ καὶ διὰ τοῦτο φωραθεὶς ἐδιώχθην παρὰ τοῦ τυράννου· ὁ δὲ λέγων, οὐ σὺ, ἀλλ' ἐγὼ μάλιστα μετακληθεὶς ἀπὸ τῆς πόλεως ἀφορμῇ τοῦ φαρμάκου ἔλαθον δοὺς αὐτῷ δηλητήριον· τὸ δὲ παράδειγμα τοῦτο σαφέστερον καὶ πλατύτερον ἐν τοῖς ἐξηγηταῖς κεῖται· ἐν δὲ τῷ ὅρῳ παράδειγμα τῶν φιλονεικούντων δύο περὶ τῆς δωρεᾶς ὡς ἀπεκτονότων τὸν τύραννον, ὧν ὁ μὲν εἷς ἐδίωξεν αὐτὸν, ὁ δὲ ἕτερος φεύγοντα συναντήσας ἀπὸ τῆς ἀκροπόλεως [8] ἐφόνευσεν. Φησὶν ὁ Δημοσθένης [9] πρὸς Αἰσχίνην, ἐμὲ μὲν οὐκ εἰκὸς βουληθῆ-

6 Ven. Ταῦτα ἐκ τῆς ἀνθυποφορᾶς κατασκευασθῆναι· ἔστι καὶ ἄλλη μεταχείρησις· τὸ ὅλον οὕτως. 7 Mon. οὖν. 8 Par. φεύγοντα συναντήσας ἀπέκτεινεν αὐτὸν ἀπὸ τῆς ἀκροπ. φεύγοντα. 9

ναι προδοῦναι πλούσιον ὄντα καὶ δωροδοκίαις χαίροντα, σὲ δὲ εἰκὸς, πένητα ὄντα, καὶ ὁ κατηγορῶν τοῦ νέου πλουσίου τυραννίδος ἐπιθέσεως ἐρεῖ, σὲ μὲν εἰκὸς βουληθῆναι νέον ὄντα, ἡ γὰρ νεότης εὐεπίφορον δόξῃ, ἀλλὰ καὶ δυνηθῆναι πλούσιον ὄντα· ἐμὲ δὲ οὐκ εἰκός· τυχὸν γὰρ ὅτι ἔξωρός εἰμι, ἀλλὰ καὶ πένης, καθὸ καὶ ἀδυνατῶ πρὸς τοῦτο· τὰ τοιαῦτα δὲ μέρος εἰσὶ τῶν προβλημάτων, οὐ μὴν προβλήματα αὐτοτελῆ, καθ' ἓν γὰρ ἢ δύο μόνα κεφάλαια οὐκ ἐξετάζονται.

Τὸ τοῦτο ὃ πεποίηκα ἐγὼ ἀνθορισμός ἐστιν, ὃν κοινῷ ὀνόματι ὅρον καλοῦμεν· ὅρος δὲ κυρίως ἐκ τῶν παρειμένων γνωρίζεται, οἷον οὐ τοῦτό ἐστιν ὃ λέγεις ἢ ὃ πεποίηκας, ἀλλὰ τοῦτο, ὃ πεποίηκας, ἢ ὃ οὐκ ἔπραξας, ὧν τῷ μὲν προτέρῳ ὁ διώκων χρῆται, τῷ δὲ δευτέρῳ ὁ φεύγων· οἷον εἰ ἀμφισβητοῦσι τυραννοκτόνου δωρεᾶς, ἡ τὸν τύραννον ἄνδρα ἀνελοῦσα γυνή, καὶ ὁ φιλόσοφος, ὁ πείσας τὸν τύραννον καταθέσθαι τὴν τυραννίδα, ἐρεῖ ἡ γυνὴ, τοῦτό ἐστιν ὃ πεποίηκα ἐγὼ, ἀνθοριζομένη· ὁ δὲ ἐρεῖ, τοῦτό ἐστιν ὃ εἰργασάμην, ἀνθοριζόμενος· κατέθετο γὰρ τὴν τυραννίδα. ἐνταῦθα, εἰ βούλει, καὶ τὴν σύγκρισιν ποιήσεις τῶν προβλημάτων, ποῖον τοῦ ἑτέρου μεῖζον. Ἔφοδος δέ ἐστι τὸ ἐν τοῖς προοιμίοις ἐκείνων αὐτῶν ἅψασθαι τῶν πραγμάτων· περὶ δὲ ὅρου καὶ ἀνθορισμοῦ καὶ συλλογισμοῦ, εἴτουν περὶ τῶν πρὸ τοῦ πράγματος καὶ τῶν μετὰ τὸ πρᾶγμα ἐτεχνολόγησεν Ἑρμογένης ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τοῦ τρίτου τόμου, ἐν ᾧ εἶπε

φησὶν ὁ Δημοσθένης et sequentia usque ad litt. β'. Mon. om. Sch. min. τοῦτο κατασκευάζοντες· τὴν μετάθεσιν τῆς αἰτίας. Τὸ χρῶμα· τὴν αἰτίαν λέγει, διότι χρωματίζει τὸν λόγον καὶ εὐπρεπῆ ποιεῖ. Ἀπὸ τῶν πρὸ τοῦ πράγματος· ἐκ τῶν παρειμένων. Ἐκεῖθεν· σημείωσαι ἐκ τῶν ἁπλῶν προβλημάτων γίνεται τὰ διπλᾶ. Τὰ συγκρινόμενα· δύο πρόσωπα ἢ πλείονα ἢ πράγματα ὁμοίως δύο. Ἄλλης περιστάσεως· ἐκ τῶν ἄλλων περιστατικῶν. Ἄλλα δὲ ἑκάστοις· ἓξ γάρ εἰσι τὰ περιστατικὰ, πρόσωπον, πρᾶγμα, αἰτία, τόπος, τρόπος, χρόνος.

περὶ ὅρου, ἀνθορισμοῦ καὶ συλλογισμοῦ καὶ λύσεως συλλογισμοῦ.

β'. Ὡς ὁ μαινόμενος τύραννον ἀνελὼν καὶ αἰτῶν τὸ γέρας· ἐρεῖ γὰρ ὅτι καὶ τοῦτο τυραννοκτονία ἐστὶ τὸ ὑπ' ἐμοῦ πραχθέν· ἀνήρηται γὰρ ὁ τύραννος.

γ'. Μελετητικὰς ἐφόδους [10] τὰς ἐσχηματισμένας φησὶν, οὕτως δὲ καλοῦνται διὰ τὸ ἐσχηματίσθαι καὶ ἄλλα μὲν λέγειν, ἄλλα δὲ δοκεῖν εἰσάγειν· ἔφοδοι δὲ διὰ τὸ εὐθέως τοῦ οἰκείου ἅπτεσθαι πράγματος· μελετῶνται δὲ αὗται ἐν μὲν τοῖς ἁπλοῖς ὅροις, ὡς ἐπὶ τοῦ μαινομένου καὶ τοῦ τύραννον ἀποκτείναντος, εἶτα σωφρονήσαντος, καὶ γέρας αἰτοῦντος· μὴ λαμβάνων γὰρ οὗτος τὸ γέρας δύναταί που ἐσχηματισμένως λέγειν, ὅτι ἐπεὶ τὴν πόλιν εὐεργέτησα καὶ τὴν δωρεὰν οὐ λαμβάνω, [11] ἀποθανεῖν εἰμι ἄξιος· ὅπερ οὐ βούλεται μάλιστα ἐν τοῖς διπλοῖς ὅροις, ὡς ἐπὶ τῶν δύο τῶν ἀνελόντων τὸν τύραννον, ὧν ὁ μὲν ἐδίωξε, θάτερος δὲ ἀπαντήσας φεύγοντα ἀπὸ τῆς ἀκροπόλεως ἐφόνευσε· καὶ ἀμφότεροι περὶ τῆς δωρεᾶς ἐρίζουσι· δύνανται γάρ που καὶ οὗτοι τυχὸν μὴ τὴν δωρεὰν λαμβάνοντες ἐσχηματισμένως λέγειν, ὅτι εὐεργετήσαντες καὶ τὴν δωρεὰν μὴ λαβόντες ἀποθανεῖν ἐσμεν ἄξιοι, ὅπερ οὐ βούλονται.

δ'. Ὁ Κέφαλος [12] καὶ Ἀριστοφῶν ῥήτορες· τούτων ἑκάτερος τὸ μὲν οἰκεῖον ἀπὸ τῶν ἐγκωμιαστικῶν ἐπαινεῖ τόπων· τὸ δὲ τοῦ ἑτέρου ἀπὸ τοῦ ψόγου διαβάλλει· κρινόμενοι δηλονότι περὶ καλοῦ βίου γέρως, καὶ περὶ τούτου ἀμφισβητοῦντες ἀλλήλοις καὶ δοκιμαζόμενοι.

ε'. Παρακολουθεῖ ἡ ἀνωτέρω λεγομένη ὕλη τόποις, τὸ ἐπιτήδειον ἢ ἀνεπιτήδειον, ἢ εὐχερὲς ἢ δυσχερές· χρόνοις τὸ εὔκαιρον ἢ ἄκαιρον· πράγμασι τὸ εὔκολον ἢ δύσκολον· τρόποις τὸ ἁπλοῦν ἢ περίεργον καὶ ἐπὶ τοῖς λοιποῖς ὁμοίως.

10 Mon. εἰσόδους. 11 Par. οἱ λαμβάνω. Mon. ἐλάμβανον.
12 Litteras δ'. et ε'. Mon. om.

ΕΡΜΟΓΕΝΟΥΣ
ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ ΠΕΡΙ ΙΔΕΩΝ.
ΤΟΜΟΣ ά.

Cap. I.

ά. Τὸ ἑξῆς [1] οὕτως· τῷ ῥήτορι εἴπερ ἄλλο τι τῶν ἀναγκαιοτάτων ἐστὶ γινώσκειν, τὰς ἰδέας οἶμαι τοῦ λόγου εἶναι ἀναγκαιοτάτας γινώσκειν· κατὰ κοινοῦ γὰρ ἄμφω τό τε ἀναγκαιότατον καὶ τὸ γινώσκειν.

β. Τὸ χρήσιμον τοῦ βιβλίου εὐθὺς ἐκ προοιμίων ἐμφαίνει, διαῤῥήδην ἀναγκαιότατον καὶ τὸ γινώσκειν [2] αὐτὸ τοῖς τὴν ῥητορικὴν μετιοῦσι γνησίως βοῶν, ἰδέα δέ ἐστι ποιότης [3] λόγου, τοῖς ὑποκειμένοις ἁρμόδιος προσώ-

1 Prolegomena quae sunt in codd. vide Vol. V. p. 437. Ven. praemissis brevibus prolegomenis incipit: *Εἴπερ ἄλλο τι τῷ ῥήτορι καὶ τὰς ἰδέας οἶμαι τοῦ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν. Τὸ χρήσιμον* κ. τ. λ. Sch. min. *Ὡς οὐκ ἄλλο τι ῥήτορι τῶν ἀναγκαιοτάτων ἐστὶ, τὸ τὰς ἰδέας εἰδέναι. Σημείωσαι, ὅτι δοξαστικῶς προέταξε τὸν σκοπόν. Σημείωσαι, ὅτι τὰ ὄντα ἢ δοξαστικῶς ἢ ἐπιστημονικῶς. Ὅπη ποτὲ ἔχουσιν· ἀπὸ τοῦ τίς ἡ φύσις αὐτῶν,* [αὐτῶν Par. 2. om.] *Καλῶς διὰ τὸ ἡδύ· ἀκριβῶς διὰ τὸ ἰσχυρόν. Τὸ ἀκριβῶς πρόσκειται· ἐστὶ γὰρ λόγος καλῶς μὲν τῷ κάλλει της συνθέσεως συγκείμενος, οὐ μὴν ἀκριβῶς τὴν τέχνην.* 2 *καὶ τὸ γινώσκειν* Ven. et Par. 2. om. 3 Eadem definitio in Par. 1. et 2. universo libro praeponitur, sed in fine legitur ita: *κατά τε ἔννοιαν καὶ λέξιν ὅλης τῆς ἁρμονίας.* Par. 2. h. l. iisdem, quibus Mon., verbis eam repetit.

ποις τε καὶ πράγμασιν κατά γε ἔννοιαν καὶ λέξιν καὶ τὴν ὅλην τῆς ἁρμονίας διαπλοκήν· ἰδέα δὲ εἴδους διαφέρει, ὥσπερ γένος εἴδους καὶ ὅλον μέρους· τὸ μὲν γὰρ εἶδος περιληπτικόν ἐστι τῶν ἰδεῶν, αἱ δὲ ἰδέαι ὑπὸ τὸ εἶδος ἀνάγονται, ἀδύνατον γὰρ δικανικὸν ἢ συμβουλευτικὸν ἢ πανηγυρικὸν εἶδος λόγου συστῆναι χωρὶς πλειόνων ἰδεῶν μίξεως. [4] Ἰστέον δὲ, ὅτι τὸ χρήσιμον καὶ τὸν σκοπὸν ἐν ἀρχῇ τῆς πραγματείας ὑπέφηνε· τῆς γὰρ ἐπιγραφῆς ὁμολογουμένης οὔσης καὶ τῆς τάξεως καὶ τῆς εἰς τὰ μέρη τομῆς, λῆρος ἦν τὸ περὶ τοῦ γνησίου πολυπραγμονεῖν. διὸ καὶ ταῦτα παρεὶς διδάσκει, τί τὸ χρήσιμον, καὶ τίς ὁ σκοπός. Ἐνταῦθα καὶ πολλαὶ ζητήσεις ἀναφύονται, τῶν μὲν τὴν αἰτίαν βουλομένων μαθεῖν, δι' ἣν τὸ χρήσιμον προέταξε τοῦ σκοποῦ, τῶν δὲ φασκόντων ἀνόητον εἶναι τὴν ὑποκειμένην πραγματείαν, εἴπερ ἀλόγως τὰ ὅλα διαγινώσκεται. χωρὶς γὰρ ταύτης τοῦτο ποιεῖν τῇ αἰσθήσει δυνατόν. καὶ πόνων οὐ δεόμεθα πρὸς τὴν κατάλυσιν, ἀλλ' ἐκ ταύτης ἡμῖν τῆς ἀντιλογίας ἡ περὶ τῆς τάξεως περιγίνεται λύσις· διὰ γὰρ τοὺς ἐπιφυομένους δοξαστικῶς μόνον προτάξας τὸν σκοπὸν ἦλθεν ἐπὶ τὸ χρήσιμον, ἀρίστῃ διδασκαλίᾳ χρησάμενος, ἐπειδὴ γὰρ τὰς σημασίας τῶν ὀνομάτων ἢ δοξαστικῶς ἢ κατὰ ἐπιστημονικὴν δεχόμεθα γνῶσιν, προέθηκε μὲν τέως δοξαστικῶς τὸν σκοπόν· ἐπήγαγε δὲ τὸ χρήσιμον, ἵνα καὶ τὴν τάξιν ἐῤῥωμένην [5] φυλάξῃ καὶ τῶν ἐναντιουμένων ἀφέλῃ τὰς βλασφημίας· ἐπεί τοί γε μετὰ τὴν ἀναίρεσιν τῶν διαβολῶν αὖθις τὸν σκοπὸν ἀκριβῶς κατὰ τὴν ἐπιστημονικὴν παραδίδωσι γνῶσιν. Τοῦτο δὲ κατὰ τὸν Ἑρμίνου λόγον καὶ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ἑρμηνείας φαίνεται πεποιηκώς, προθέμενος γὰρ θέσθαι, τί ὄνομα καὶ ῥῆμα, τί δὲ ἀπόφασις καὶ κατάφασις καὶ ἀπό-

4 Quae sequuntur usque ad litt. é, Ven. om, 5 Mon, ἐρωμένου.

φανσις καὶ λόγος, εἰς ἕτερα μετετράπη, τὸ χρήσιμον ἐκ τῆς μεταβολῆς ἐμφαίνειν βουλόμενος. ἀλλ' εἰ μὲν ὁ φιλόσοφος ἐξέστη τοῦ προκειμένου κατὰ τὸν Ἑρμίνου λόγον οὐκ ἔχω λέγειν· ἐπιφέρουσι γάρ τινες τὴν Ἀλεξάνδρου καὶ Πορφυρίου λύσιν, ἥτις ἐστὶ καὶ ἀκριβὴς, πλὴν φαίνεται καὶ αὐτὸς περὶ ἄλλων τινῶν πρότερον διαλαβὼν, εἶθ' οὕτως ὁρισάμενος τὸ ὄνομα καὶ τὸ ῥῆμα, περὶ ὧν ἐν ἀρχῇ τῆς πραγματείας λέγειν προέθετο, τὸν αὐτὸν τοίνυν καὶ ὁ τεχνικὸς τρόπον διὰ μὲν τοὺς ἀντιλέγοντας δοξαστικῶς προέταξε τὸν σκοπόν· μετὰ δὲ τὴν τοῦ χρησίμου γνῶσιν ἀκριβῶς αὐτὸν παραδίδωσι· καὶ τοῦτο σαφῶς ἐξ αὐτῆς τῆς λέξεώς ἐστιν ἰδεῖν, ὅπως μὲν ἐν ἀρχῇ δοξαστικῶς μόνον προστίθησι τὸν σκοπὸν, ὅπως δὲ πάλιν ἐπάγει τὸ χρήσιμον καὶ τὸν περὶ αὐτοῦ πλατύνει λόγον. πῇ μὲν κατὰ τὸ θεωρεῖν, πῇ δὲ κατὰ τὸ δημιουργεῖν· εἴτε γὰρ θέλοις, φησὶν, εἰδέναι κρίνειν τοὺς τῶν ἀρχαίων χαρακτῆρας καὶ νεωτέρων μὴ μόνον καλῶς ἂν ἔχοιεν, ἀλλ' ἤδη που καὶ τὴν ἐπὶ θατέρου γνῶσιν, εἴτε βούλοιο δημιουργεῖν καὶ λόγου ἐργάτης γενέσθαι, μὴ τῶν τυχόντων, ἀλλὰ παραπλησίων τοῖς τῶν ἀρχαίων, τό γε τῆς ἐπιστήμης ταύτης ἀναγκαιότατον, εἰ μέλλοι μὴ σφόδρα τοῦ ἀκριβοῦς τις ἀπενεχθήσεσθαι·[6]

γ'. Ὡς ἓν ἀνθ' ἑνὸς εἰπεῖν τοιοῦτόν ἐστιν, ὁποῖαί τινές εἰσιν καὶ ὅπως γίνονται, οἷον ἡ σεμνότης τοιάδε ἐστὶ καὶ οὕτως ἔχουσα καὶ ἐκ τῶνδε καὶ ἐκ τῶνδε τοῦ λόγου μερῶν συνίσταται. ἄλλως·[7] ὅτι οὕτως δεῖ ἔχειν ἑκάστην, εἰ μέλλοι τεχνικῶς συγκεῖσθαι· τὴν γάρ τοι

6 Sequitur in Parr. Ἀντὶ τοῦ· ὥσπερ τὰ ἄλλα μέρη τῆς ῥητορικῆς, οὕτω καὶ τῶν ἰδεῶν τὸ μάθημα ἀνάγκη ἐστὶ τῷ ῥήτορι μαθεῖν. Τὸ εἴπερ ἀντὶ τοῦ ὡς, ἢ ἀντὶ τοῦ ἐπειδήπερ. — Λέγων τῶν ἀναγκαιοτάτων εἶναι τὴν τῶν ἰδεῶν γνῶσιν τὸ χρήσιμον αὐτῶν προανεκήρυξεν. 7 Post ἄλλως Mon. et Par. 2. habent οἷον. Par. 1. om.

σαφήνειαν φέρε ἁπλουστάτην εἶναι δεῖ. ὅπως δὲ γίνεται διὰ τῆς καθαρότητος καὶ εὐκρινείας, ἄλλως· ὅποι ποτὲ ἔχουσι, πότερον ἀκριβῶς καὶ ἐντέχνως ἢ οὔ.

δ'. Ἐκ ποίων, φησὶ, τόπων, καὶ τίνα τὰ χαρακτηρίζοντα ἑκάστου τούτων; οἷον, ὅτι ἡ σαφήνεια φέρε ἁπλουστάτη ἐστὶ κατά τε λέξιν καὶ νόημα οὐδὲν ἔχουσα περισκελές τε καὶ ἐμπερίβολον, γίνεται δὲ διὰ τῆς καθαρότητος καὶ εὐκρινείας, τὸ ὅπη τε ἔχουσι καὶ ὅπως γίνονται, καὶ οὐδὲν ἕτερον σημαίνει, ἢ τὰ κατὰ μέρος καὶ τὰς μίξεις αὐτῶν, ὥστε τὸ μὲν ὅλον ἀπαγγεῖλαι καὶ τοῖς περὶ τὴν τέχνην δεινοῖς οὐχ οἷόν τε διὰ τὴν παρεπομένην ἀνάγκην, ἀλλ' ἐκεῖνο φραζέτω τις ἡμῖν, εἰ [7*] τὸ κατὰ μέρος καὶ τὰ ποιοῦντα τὸ ὅλον δύναταί τις καταλαβεῖν ἄνευ τέχνης καὶ τῆς ὑποκειμένης πραγματείας.

ε'. Τὸ ἑξῆς, καὶ γὰρ οὐκ ἄνευ τῆς περὶ ταῦτα ἐπιστήμης ἦγουν τῶν ἰδεῶν γένοιτ' ἂν τὸ εἰδέναι τὰ τῶν ἄλλων κρίνειν, εἴτε καλῶς ἂν ἔχοι εἴτε μή, εἴτε τινὸς ἀρχαίου εἴτε νεωτέρου· εὐλόγως [8] δὲ σφόδρα τὸ ἀκριβῶς προστέθεικεν, ἐνδέχεται γὰρ καλῶς μὲν ἔχειν τόνδε τινὰ τὸν λόγον [9] τῷ τῆς συνθήκης ἤτοι τῆς συνθέσεως κάλλει διαπρέποντα, μὴ μέντοι πρὸς ἀκρίβειαν εἰργάσθαι τῆς τέχνης.

ς'. Γενναίους [10] φησὶ λόγους τοὺς μὴ χαμαιπετεῖς μηδὲ εἰκῇ συγκειμένους καὶ εὐκαταφρονήτους.

7* Mon. εἰς, scr. εἰ. 8 Ven. "Οπη ποτὲ ἔχουσι, καὶ ὅπως γίγνονται, ἐκ ποίων συνίστανται τόπων, καὶ τίνα τὰ χαρακτηρίζοντα ἕκαστον τόπον, καθότι τε καλῶς ἂν ἔχοι καὶ ἀκριβῶς. Εὐλόγως σφόδρα τὰ ἀκριβῶς. 9 τὸν λόγον Par. 1. om. Ven. τῷ τῆς συνθέσεως κάλλει. Mon. τῷ τῆς συνθήκης ἤτοι τῆς συνθέσεως καὶ κάλλει. Parr. καὶ om. 10 Ven. praemittit: καλῶν τε καὶ γενναίων. Sch. min. γενναίων· ἰσχυρῶν. Ἐπιστήμης ταύτης· ἐπιστήμην εἰπὼν κατεχρήσατο· τέχνη γὰρ εἴρηται τὸ περὶ ἰδεῶν, οὐκ ἐπιστήμη. Ὁ ζῆλος· τουτέσιν ἡ μίμησις, μετὰ ψιλῆς δὲ ἐμπειρίας τῆς ἄνευ τέχνης γινομένης, τουτέστιν

ζ. Καλῶς τὸ μὴ πόῤῥω· οὐ γὰρ οἷόν τε τὸν κρίνοντα πρὸς ἀκρίβειαν πᾶσαν τῶν τε τοῦ δέοντος ἐννοιῶν καὶ τῆς τοιᾶσδε τῶν ὀνομάτων στοχάζεσθαι συνθέσεως, πολλὰ γὰρ τοιῶσδε παρὰ τῶν ἀρχαίων [11] εἰρημένα πολυτρόπως οἱ μετ' αὐτοὺς ἐξεδέξαντο, διόπερ ἀκριβῶς προσκειται τὸ μὴ σφόδρα· ἀγαπητὸν γὰρ ἐγγὺς βαλόντα φανῆναι τῆς ὀρθῆς κρίσεως.

ή. Διονύσιος [12] μὲν ἐν τῷ πρώτῳ περὶ μιμήσεως ὁρίζεται τὴν μίμησιν οὕτως· „μίμησίς ἐστιν ἐνέργεια διὰ τῶν θεωρημάτων ἐκματτομένη τὸ παράδειγμα.“ ὡς δὲ οἱ μεταγενέστεροι λέγουσιν, λόγος [13] ἢ πρᾶξις ὁμοίωσιν εὖ ἔχουσαν τοῦ παραδείγματος περιέχουσα· ζῆλος δέ ἐστιν ἐνέργεια ψυχῆς πρὸς θαῦμα τοῦ δοκοῦντος εἶναι καλοῦ κινουμένη· ὁ δὲ νοῦς· ὁ πρὸς τοὺς ἀρχαίους ζῆλος, φησὶν, τουτέστιν ἡ μίμησις, μετὰ ψιλῆς δὲ ἐμπειρίας τῆς ἄνευ τέχνης γινομένης τουτέστιν ἀναγνώσεως μόνης· καλῶς δὲ τὴν ἐμπειρίαν ἄλογον τριβὴν εἶπε, τὸ μὲν γὰρ

ἀναγνώσεως μόνης. Πρὸς ἐκείνους· ὁ πρὸς τοὺς ἀρχαίους λέγει. Τοῦ ὀρθοῦ· τοῦ πρέποντος, τοῦ καθήκοντος. Σφάλλοι μᾶλλον· ὁ μὲν γὰρ μὴ ἀξὺς τὴν φύσιν ἀγαπᾷ κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα ἀτρέμας ἧσθαι καὶ ἄλλων μῦθον ἀκούειν· ὁ δὲ τῷ τάχει τῆς φύσεως πεποιθὼς, καὶ μόνην αὐτὴν πρὸς ἕκαστα τῶν ἐγχειρουμένων ἀποχρῆν οἰόμενος, τόν τε παρὰ τῆς τέχνης χαλινὸν ἀνεχόμενος οὐδαμῶς, καταγέλαστος πολλαχῆ τοῖς ἐπιστήμοσι γίνεται. Περὶ ταῦτα· τὰς ἰδέας φησίν. Ἐπιστήμης· ἐπιστασίας καὶ σκέψεως. Ζηλοῦν· μιμεῖσθαι. Μετρίως· μέσως. Ἁμάρτοι· ἀποτυγχάνοι. Σκοποῦ· ἀντὶ τοῦ οὐκ ἐκ φύσεως γινομένη, ἀλλ' ἐκ μελέτης καὶ ἀσκήσεως. 11 Ven. ἀρχαιοτέρων. 12 Ven. litt. ζ. omissa. Ἡ γάρ τοι μίμησις καὶ ὁ ζῆλος. Διονύσιος κ. τ. λ. usque ad καλοῦ κινουμένη. Εἰ μέλλοι μὴ σφόδρα πόῤῥω τοῦ ἀκριβοῦς τις ἀπενεχθήσεσθαι· καλῶς τὸ μὴ πόῤῥω τοῦ ἀκριβοῦς etc. litt. ζ, qua finita pergit: Μετὰ μὲν ἐμπειρίας ψιλῆς καί τινος ἀλόγου τριβῆς· καλῶς τὴν ἐμπειρίαν κ. τ. λ. 13 λόγος Mon. om.

ὅτι γινώσκει, τὸ δὲ ὅτι [14] παντελῶς ἀμαθής ἐστιν, οὗπερ [15] ὁ κατὰ τὴν τέχνην εὑρίσκει λόγος· καὶ γὰρ ὁ θεῖος Πλάτων φησίν· ἐγὼ γὰρ τέχνην [16] οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα.

ϑ'. Εἰ δυσχερῶς αἱ γενναῖαι φύσεις, ὅταν ἀτεχνεῖς ὦσι, τυγχάνουσι τοῦ σκοποῦ [17] τοῦ ὀρθοῦ, κἂν πολλάκις ἀντιλάβωνται τῆς αἰσθήσεως, τί δράσουσιν οἱ νωθεῖς καὶ πείρᾳ μόνον καταλαβόντες τὴν αἴσθησιν· πλὴν ἵνα καί τι μᾶλλον ἐπιῤῥώσωμεν τὰς ἀντιθέσεις αὐτῶν, συγχωρήσωμεν μὴ πείρᾳ καταλαβεῖν τὴν αἴσθησιν, ἀλλ' ἐμπειρίᾳ, καὶ πάλιν αὖ μηδὲ ἐμποδίζεσθαι παρὰ [18] τῆς φύσεως. ἦν γὰρ ἐνστῆναι τῷ βουλομένῳ πρὸς αὐτὸ τοῦτο, καὶ λέγειν ὡς ἐπισφαλές ἐστι τὸ τὴν αἴσθησιν ἐκ πρώτης ὄψεως τῇ πείρᾳ λαβεῖν, κἂν ᾖ βεβλαμμένη παρὰ τῆς φύσεως· ἀλλὰ ταῦτα συγχωροῦμεν· ἔστω καταλαβεῖν ἐμπειρίᾳ τὴν αἴσθησιν, καὶ μηδὲν εἶναι τὸ βλάπτον αὐτήν, ἀλλ' οὐδὲν ὁ τοιοῦτος διενέγκοι χωρὶς τέχνης ἀλόγως φερόμενος τῶν τῇ πείρᾳ καταλαβόντων τὴν αἴσθησιν καὶ βλαπτομένων παρὰ τῆς φύσεως· τοὐναντίον γὰρ αὐτὸν σφάλλοι, φησὶ, τὰ τῆς φύσεως πλεονεκτήματα, καὶ ἑξῆς· καὶ ἁπλῶς εἰπεῖν ὅσον συμβάλλεται φύσις, ὅταν ἔχῃ τὸν λόγον ῥυθμίζοντα καὶ κυβερνῶσαν τὴν τέχνην, τοσοῦτον βλάπτει χωρὶς τούτων προσγινομένη, περιγίνεται [19] γὰρ οὐδὲν τῶν χρησίμων [20] τῷ νομίζοντι

---

14 Ven. διότι. 15 Ven. ὅπερ ὁ κατὰ τὴν τέχνην ἂν εἰρίσκει λόγος. Mon. οὗ πρὸς ὃ κατὰ τ. τ. δ. λέγων. recepi lectionem ex Par. 1. 2. 16 τέχνην Mon. om. — Gorg. c. 19. p. 465. A. Post ἄλογον πρᾶγμα Ven. omissa litt. ϑ'. pergit: Τοὐναντίον γὰρ ἴσως ἂν αὐτὸν καὶ σφάλλοι μᾶλλον τὰ τῆς φύσεως πλεονεκτήματα· ὁ μὲν γὰρ μὴ ὀξὺς κ. τ. λ. ut Vol. V. p. 440. v. 11—17. 17 σκοποῦ Mon. et Par. 2. om. est in Par. 1. 18 Par. 1. ὑπό. Mon. et Par. 2. παρά. 19 Mon. παραγράφεται. Par. 2. περιγράφεται. Par. 1. παραγίνεται, scr. περιγίνεται. 20 Par. τῶν

χωρὶς ἐπιστήμης προΐχειν, ἀλλὰ πάσχει ταὐτὸν τοῖς ἀλόγοις. καθάπερ γὰρ ἵππος ταχὺς [21] ἄνευ τοῦ διοικοῦντος ἀτάκτως φερόμενος θεῖ μὲν ταχέως, ἀλλὰ σφαλερῶς καὶ τὴν μέσην ἀφεὶς ὁδὸν καὶ τετριμμένην [22] εἰς ἀβάτους καὶ κρημνώδεις ἀφίησι τόπους, οὕτω καὶ ἡ γενναία φύσις χωρὶς λόγου καὶ τέχνης ὅποι καὶ τύχοι φέρεται πεπλανημένη τῆδε κἀκεῖσε, καὶ μηδὲν δυναμένη τῶν προσηκόντων ποιεῖν· ἀλλ' οὐδὲν πρὸς ἔπος φασί· μένει γὰρ τὸ διαπορηθὲν, καὶ περιττὸν τὸ πονεῖν περὶ τὴν ὑποκειμένην πραγματείαν, φασὶν, ὅπου γε τὸ τέλειον αἰσθήσει καὶ μόνῃ καταλαμβάνεται, καὶ τοῦτο μὲν ἀληθῶς· οὐδὲν γὰρ ἔχει πλέον ὁ τὴν τέχνην ἠσκημένος τοῦ μὴ οὕτως ἔχοντος περὶ τὴν τελείαν κατάληψιν· ἄμφω γὰρ τὸ ὅλον αἰσθήσει γινώσκουσιν· ἀλλ' ὁ μὲν ἀναλόγως ἔχει περὶ τὰ τοιαῦτα, καὶ τὴν περὶ ταῦτα διοίκησιν ἀγνοεῖ, διὸ καὶ τὴν ἀρχὴν οὐκ ἐφικνεῖται τοῦ δέοντος, ὁ δὲ περὶ τὰ κατὰ μέρος ἐμπείρως ἔχων ὃ δ' ἂν βουληθείη μετὰ λόγου καὶ τέχνης ποιεῖ καὶ τὴν ἀρχὴν οὐ διαμαρτάνει τοῦ προσήκοντος· καὶ τοῦτο δῆλον ἡμῖν ὁ τεχνικὸς ἐν ἀρχῇ τῆς πραγματείας πεποίηκε· τὰ γὰρ ποιοῦντα, φησὶ, τὰς ἰδέας καὶ κατὰ μέρος σπουδή μοι διδάσκειν καὶ τὰς μίξεις αὐτῶν ὁρᾶν. [23]

ιά. Ἀπορήσειεν [24] ἄν τις, διὰ τί τὰ παρὰ τῆς φύσεως ἀγαθὰ ἐν ἄλλοις ὠνόμασεν· ἐν ἡμῖν γὰρ δηλονότι καὶ ἡ φύσις καὶ τὰ παρὰ τῆς φύσεως δῶρα, ὅπως ἂν ἕκαστα διακείμενα τυγχάνοι. φαμὲν οὖν, ὅτι ἐν ἄλλοις εἶπε τὰ τῆς φύσεως, διότι οὐκ ἐν ἡμῖν προηγουμένως τὸ κῦρος αὐτῶν· οὐ γὰρ ἂν ἑκών τις ἕλοιτο τὴν νωθῆ τε καὶ ἀπρονόητον ἑκάστων φύσιν, ἢ τὴν ὀξεῖαν καὶ πρὸς

σχημάτων ἢ τῶν χρησίμων, 21 Mon, παχὺς ἄνευ τοῦ διηκοῦντος, 22 Mon. τετρομένην. 23 Litt. *l*, vide Vol. V. p. 440. v. 21, — p. 441. v. 2. 24 Ven, praemittit: Εἰ δὲ μὴ ἄλλο γε μαθητόν ἐστι καὶ διδακτὸν, οὐκ ἐξ ἄλλοις, ἐφ' ἡμῖν δὲ ὄν.

πάντα χωρεῖν ἕτοιμον, ἀλλὰ δῆλον, ὅτι ἥ τε παρὰ τῶν προτέρων βίων ἀξία καὶ ἡ τοιάδε τῶν προτέρων ἕξις, ἄλλα τε πρὸς τούτοις αἴτια θεῖά τε καὶ ἀνθρώπινα χορηγὰ τῆς διαφόρου φύσεως ἑκάστῳ τυγχάνει. διὸ τὰ μὲν παρὰ τῆς φύσεως ἐν ἄλλοις εἶπεν, ἐφ' ἡμῖν δὲ τὰ τῆς μαθήσεως· προαίρεσις γὰρ καὶ ὁρμὴ βελτίστη, τῆς [25] φύσεως ὑπουργούσης, τῶν καλλίστων ἁπάντων ἡμῖν πρυτανεύονται τὰς μαθήσεις· ἔτι γε μὴν καὶ Διονύσιος πρὸς τῷ τέλει τοῦ τετάρτου βιβλίου τῶν [26] περὶ μιμήσεως προαιρέσεώς τε καὶ δυνάμεώς [27] φησι τὴν κυριωτάτην εἶναι μοῖραν ἐν τῇ φύσει, ἣν οὐκ ἐφ' ἡμῖν εἶναι, [28] οἵαν ἀξι-

---

25 τῆς Ven. om. 26 Mon. τῷ. Parr. τῶν. Ven. τοῦ. 27 Ven. περὶ προαιρέσεώς τε καὶ δυνάμεως τῆς περὶ λόγον διεξιὼν ἔφη· τῆς μὲν δυνάμεως τὴν κυριωτάτην. 28 Ven. ἐστιν. Sch. min. Τὰ τῆς φύσεως ἐν ἄλλοις εἶπεν, διότι ἐκ θεοῦ οὐκ ἀπὸ σπουδῆς, ὡς (ὡς ex Par. 2. addidi) τὰ τῆς τέχνης. Πλείονι γάρ· ἀντὶ τοῦ πάνυ πλειόνως. Εὖ γε Ἑρμόγενες τὸ χρήσιμον πάλιν. Ἐργάσαιτο· τὸ μὲν γὰρ λέγειν ἡ φύσις, τὸ δ' εὖ λέγειν ἡ τέχνη δίδωσιν ἡ περὶ τῆς ἰδέας. Διδακτόν· οὐκ ἐν τῇ φύσει, ἀλλ' ἐν τῇ ἡμετέρᾳ προαιρέσει. Οὐκ ἐν ἄλλοις· οὐκ ἐν ἑτέροις, ἀλλ' ἐν μόνοις ἡμῖν τοῖς λογικοῖς, ἢ οὐκ ἐν ἑτέρων ἐξουσίᾳ, ἀλλ' ἐν τῇ ἡμετέρᾳ προαιρέσει καὶ σπουδῇ. Κατ' ὀρθόν· κατὰ τὸν ἀκριβῆ κανόνα. Παρέλθοιεν· ἀπὸ μεταφορᾶς τῶν δρομέων, τῶν ἐν τῷ παριέναι νικώντων. Τοῖς δὲ ἄμφω· τοῖς δὲ βουλομένοις καὶ γράφειν καὶ κρίνειν πολὺ πλέον, Ῥᾴδιον αὐτόν· τὸν περὶ ἰδεῶν δηλονότι λόγον. Καλῶν τε καὶ γινναίων· ὡραίων καὶ ἰσχυρῶν. Ἁπλῶς· καθόλου, ἀδιστάκτως. Post litt. ιβ', sequitur in Par. inter sch. maj. Τὸ τάχα, εἰ καὶ ἐνδοιασμοῦ ἐστιν ἐπίρρημα, ἀλλ' οὖν ἐπὶ βεβαιώσεως εἴληπται τῷ τεχνικῷ· δῆλον γὰρ, ὅτι τῆς εὐφυΐας κρείττων ἡ τέχνη· τοῦτο καὶ ὁ θεολόγος ἐμιμήσατο πολλάκις, ἀντὶ τῶν βεβαιωτικῶν ἐνδοιαστικοῖς χρησάμενος, ὡς ἔχει τό· καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους· ὁ μέντοι Ὅμηρος ἀεὶ τῷ τάχα ἐπὶ τοῦ ταχέως μόνον χρῆται, ὡς τὸ·

Τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων. [Il. T. 131.]

οὔμεν ἔχειν· τῆς δὲ προαιρέσεως οὐδὲν μέρος ἐστὶν, οὗ μὴ τὴν ἐξουσίαν ἡμεῖς ἔχομεν· καὶ ἔοικεν ὁ τεχνογράφος ἐπιμελῶς ἐκείνοις ἐντετυχηκὼς καὶ αὐτὸς οὐκ ἐφ' ἡμῖν ὠνομακέναι τὴν φύσιν.

ιβ'. Ἐκ τοῦ [29] κατὰ σοφιστῶν Ἰσοκράτους ἔγνωμεν, ὅτι τῆς ῥητορικῆς τὸ μέν ἐστι διδακτὸν, τὸ δὲ ἀδίδακτον, οἷον ἡ περί τι ἐπιτηδειότης προσοῦσά τινι ἐκ φύσεως, οὐκ ἂν γάρ τις ἐκ μιμήσεως τοῦτο προσλάβοι, εἰ μὴ τῷ διδασκάλῳ παραπλησίως ἔχοι φύσεως, τὸ χαριέντως λέγειν τυχὸν ἢ τὸ συντόμως, περὶ ὧν φησιν ὁ Ἰσοκράτης δεῖν τὸν διδάσκαλον παράδειγμα ἑαυτὸν καθιστάναι· φασὶ γὰρ οἱ φιλόσοφοι πρὸς τὸ ἦθος τῆς ψυχῆς μεταμορφοῦσθαι καὶ χαρακτηρίζεσθαι τοὺς λόγους· οἷον εἰ τραχὺς τὸ ἦθος, καὶ ὁ λόγος τοιοῦτος· εἰ χαρίεις, καὶ ὁ λόγος τοιοῦτος. τοῦτο οὖν οὐ διδακτὸν, ἀλλὰ φυσικόν.

ιγ'. Ἀναγκαία, φησὶ, τῶν ἰδεῶν ἡ γνῶσις καὶ τῷ λέγοντι καὶ τῷ κρίνοντι· πολὺ δὲ μᾶλλον ἀναγκαιοτέρα τῷ ἀμφότερα ἐπιτηδεύοντι, καὶ τὸ λέγειν καὶ τὸ κρίνειν.

ιέ. Ἱκανῶς παραστήσας τὸ χρήσιμον καὶ δείξας ἀναγκαιότατον τὸν περὶ τῶν ἰδεῶν λόγον καὶ τοῖς ἐργάζεσθαι ταῦτα καὶ τοῖς εἰδέναι κρίνειν βουλομένοις ἐπὶ τὴν κοινὴν ἀνατρέχει δόξαν, καί φησιν, μὴ δεῖν θαυμάζειν, εἰ μὴ ῥᾴδιον αὐτὸν μηδ' οἷον ἁπλῆς τινος πραγματείας ὄντα εὑρίσκομεν· ἐπεὶ μηδὲ ἄλλο τι τῶν χρηστῶν ἐκ τοῦ ῥᾴστου πέφυκε περιγίνεσθαι, εἰ δὲ χαλεπὰ τὰ καλὰ, πόσον μᾶλλον ὁ λόγος, καθ' ὃν καὶ μόνον τῶν ἀλόγων διενηνόχαμεν.

ις'. Εἰ γὰρ ἐν θνητοῖς [30] τοῦτο μόνον λογικὸν, εἰ-

29 Litt. ιβ'. ιγ'. Ven. om. Litt. ιδ'.| vide Vol. V. p. 441. v. 8—15. 30 Ven. litt. ιέ. omissa: Λόγον δὲ καλῶν τε καὶ γενναίων εἰ μέλλοι τι χρηστότερον ἀνθρώποις οὖσι καὶ ζώοις λογικοῖς γενήσεσθαι. Mon. ἐν θνητοῖς — — ἁρμοδιωτέρα. per lacunam om.

κότως αὐτῷ καὶ ἡ τοῦ λόγου ἄσκησις πάντων ἐστὶν ἁρμοδιωτέρα, ἑκάστου γὰρ κατὰ [31] φύσιν πρὸς τὴν οἰκείαν ἐπείγεται σωτηρίαν, σώζει δὲ ἕκαστον ἡ τελειότης· ἑκάστου δὲ ἀνθρώπου τελειότης οὐδὲν ἕτερον ἢ λόγος· πάντων ἄρα κρείττων ἀνθρώποις ἡ περὶ λόγους ἄσκησις.

ιζ. Τῶν ἰδεῶν λέγει, [32] καλεῖται γὰρ τὰ αὐτὰ εἴδη καὶ ἰδέαι, ὡς ἐν τῷ περὶ στάσεων· εἴδους γὰρ ἕνεκα προβλημάτων ἀντὶ τοῦ ἰδέας.

ιή. Εἰ γὰρ ἐν θνητοῖς, φησὶ, μόνος ὁ ἄνθρωπος λογικὸς, καὶ ἡ τοῦ λόγου ἄσκησις πάντων αὐτῷ ἄρα ἐστὶν ἁρμοδιώτερον.

ιθ'. Εἰ γὰρ καὶ ἐκ πλειόνων, [33] φησὶν, ἰδεῶν κ. τ. λ. Vol. V. p. 442. v. 3—8. προσηγορίας. [34] ἐκ τούτων δὲ ἁπάντων κατασκευάσας τὸ χρήσιμον καὶ τὰς τῶν ἀντιλεγόντων διαβολὰς ἀρκούντως ἐκκαθάρας ὑπ' αὐτὸν ἔρχεται τὸν σκοπὸν, ἔνθα καὶ ζήτησιν ἀπ' αὐτῆς τῆς λέξεως ἀναφαίνεται· τί [35] δή ποτε τὰ πρῶτα τοῦ σκοποῦ κατὰ ἀναίρεσιν λαβὼν ἐπήγαγεν κατὰ θέσιν τὰ ἑπόμενα. καὶ μὴν τοὐναντίον ἔδει [36] ποιεῖν, καὶ τὴν μὲν οἰκείαν προαίρεσιν κατὰ θέσιν ἐμφαίνειν, ἐκεῖνα δὲ τιθέναι κατὰ ἀναίρεσιν, περὶ ὧν διδάσκειν οὐκ ἤθελεν. ἀλλ' ἴσως καὶ κατ' αὐτὸ τοῦτο θαυμάσαις ἂν αὐτὸν, εἰ καὶ μὴ τὴν ὀρθῶς ἔχουσαν λάβοις ἐξήγησιν. καὶ γὰρ διὰ τοὺς πρὸ αὐτοῦ κακῶς μεταχειρισαμένους τὸν περὶ τῶν ἰδεῶν λόγον κατὰ ἀναίρεσιν εὐθὺς ἔλαβε τὸν σκοπὸν, ἐντεῦθεν ἡμῖν παραστῆσαι βουλόμενος, ὅτι τὴν μὲν ἐκείνων φεύγειν κακίαν οἱ τῶν καθόλου βραχέα φροντίσαντες τὴν

---

31 Ven. κατὰ πρὸς τὴν φύσιν. 32 τῶν ἰδεῶν λέγει καλεῖται γὰρ Mon. per lacunam om. 33 καὶ ἐκ πλειόνων φησὶν Mon. per lacunam om. Ven. litt. ιζ'. et ιή. omissa. Νῦν ἐστιν ἡμῖν οὐ περὶ τῆς Πλάτωνος ἢ Δημοσθένους ἰδέας ὁ λόγος. εἰ γὰρ καὶ ἐκ πλειόνων ἰδεῶν ἐκ. τ. συνεστ. οἱ λόγοι. 34 Post προσηγορίας Ven. transit ad litt. κ. 35 Mon. τό. 36 Mon. εἴδη.

πᾶσαν ἔθεντο σπουδὴν ἑνὸς ἑκάστου διδάσκειν τοὺς τύπους, ὃ τὴν ἀρχὴν ὁ τεχνικὸς ἀποσειόμενός φησι, μὴ περὶ τῆς Πλάτωνος ἰδέας ἢ Δημοσθένους ἢ τοῦ δεῖνος εἶναι τὸν λόγον, ἀλλ' ἕκαστον αὐτὸ πρότερον δεῖξαι, τί σεμνότης καὶ πῶς γίνεται, καὶ ποία ἡ τραχύτης καὶ τὰ λοιπὰ τῶν λόγων εἴδη· καὶ οὗτος μὲν ὁ λόγος οὐ πόρρω τῆς ἀληθείας· λέγει γὰρ παρακατιών, ὡς οὐδεὶς τῶν παλαιοτέρων ἀκριβές τι περὶ τούτων φαίνεται πραγματευσάμενος, ὅσοι δὲ καὶ προσήψαντο, τεταραγμένως· ἀλλὰ καὶ οὗτος μέν, καθὰ δεδηλώκαμεν, ὁ λόγος ἐφάπτεται τῆς ἀληθείας, πλὴν ῥηθήσεται καὶ ἕτερος κατά γε τὴν ἐμὴν κρίσιν τοῦ προλεχθέντος ἐρρωμενέστερος. ἀνεῖλε γὰρ εὐθὺς ἐκ τοῦ σκοποῦ τὰ παρὰ τοῖς πολλοῖς γνώριμα καὶ ὧν ἀντιλαμβάνεται πρῶτον ἡ αἴσθησις, οὐ γὰρ περὶ τῆς Πλάτωνος ἢ Δημοσθενικῆς ἢ τοῦ δεῖνός φησιν ἰδέας ἡμῖν, ἀλλὰ διδάξει, τί σεμνότης, καὶ τί ἀφέλεια, καὶ νῦν μὲν ἐκ τοῦ παρατυχόντος τίθησιν τὰ παραδείγματα, τὴν γὰρ τάξιν καὶ τὴν ἀκολουθίαν ἐπ' αὐτῆς φυλάττει τῆς διδασκαλίας.

κ'. Πρὸς [37] τῷ τέλει τοῦ περὶ ἰδεῶν ἐν τῷ δευτέρῳ βιβλίῳ, ἐν ᾧ περὶ τῶν χαρακτήρων ἑκάστου τῶν ἀρχαίων διαλαμβάνεται, [38] καὶ ἰδίᾳ περὶ ἑκάστου τῶν ἀρίστων ῥητόρων τε καὶ συγγραφέων διεξέρχεται.

κά. Πῶς, φησὶν, ἃ νῦν ἀπηγόρευσε, περὶ τούτων μικρὸν ὕστερον ἐπαγγέλλεται λέγειν· καὶ τοῦτο δοκεῖ πως εἶναι τῶν ἀλύτων· εἰ μή τις πρὸς τὸν τρόπον ἀποβλέψει τῆς διδασκαλίας· ὁ μὲν γὰρ σκοπὸς αὐτῷ περὶ τῆς ἁπλῶς σεμνότητος εἰπεῖν, ὁ δὲ τῆς διδασκαλίας καταναγκάζει τρόπος εἰς τύπον ἀρχαῖον κατενεχθῆναι· οὐ γὰρ ἂν οὕτως ὁ περὶ τῆς σεμνότητος σταίη λόγος διὰ κενῆς, διὸ καὶ

37 Ven. πρὸς δὲ τῷ τέλει τοῦ περὶ ἰδεῶν δευτέρου βιβλίου καὶ ἰδίᾳ περὶ ἑκάστου — διεξέρχεται. tum transit ad litt. κβ'.
38 Par. διαλαμβάνει.

περὶ τούτων διδάσκειν ἐπαγγέλλεται· καὶ τοῦτο μὲν ἐντεῦθεν ἀπελυσάμεθα.

κβ'. Ὁποῖον [39] μέν, ὅτι μεγέθους τῷ λόγῳ περιποιητικὴ, ὅπως δὲ γίνεται, διὰ ποίων ἐννοιῶν, μεθόδων, λέξεων, σχημάτων καὶ τῶν λοιπῶν. Ἰστέον δὲ, ὅτι ἄλλο μὲν εἶδος, καὶ ἄλλο ἰδέα, ὡς ἄνω ἔφαμεν· τοῖς δὲ ὀνόμασι διαφόρως κέχρηται, ποτὲ μὲν εἴδη τὰς ἰδέας καλῶν, ποτὲ δὲ ἰδέας τὰ εἴδη· ἰδέαι δὲ λόγων αἱ γενικώταταί εἰσιν ἑπτὰ. σαφήνεια, μέγεθος, κάλλος, [40] γοργότης, ἦθος, ἀλήθεια, δεινότης· αἱ δὲ τρεῖς διαιροῦνται εἰς ἑτέρας δώδεκα, ὡς εἶναι τὰς πάσας ἑκκαίδεκα· ἑκάστη δὲ τούτων εἰς ὀκτὼ διαιρεῖται, ἔννοιαν, μέθοδον, λέξιν, σχῆμα, κῶλον, συνθήκην, ἀνάπαυσιν, ῥυθμόν. [41]

κγ'. Ἰστέον, ὅτι ἡ σεμνότης καὶ ἡ τραχύτης καὶ ἡ ἀφέλεια, ὧν ἐνταῦθα μέμνηται, γενικαὶ οὔκ εἰσιν ἰδέαι· ἀλλ' εἰς ἕτερον ἀνάγονται, ὡς αὐτὸς ὑποκατιὼν διδάξει· [42] ἡ μὲν γὰρ σεμνότης καὶ ἡ τραχύτης ἀνάγονται ὑπὸ τὴν ἰδέαν, ἣ καλεῖται [43] μέγεθος, ἡ δὲ ἀφέλεια ὑπὸ τὸ ἦθος.

κδ'. Τοῦτο δοκεῖ πως εἶναι τῶν ἀπόρων· αὐτὸς γὰρ

---

39 Ven. Ὁποῖόν τί ἐστι σεμνότης δεῖξαι καὶ ὅπως γίγνεται· ὁποῖον μὲν κ. τ. λ. 40 Sqq. γοργότης, ἦθ. ἀλ. δεινότης Ven. om. Post δεινότης Mon. repetit κάλλος. 41 Sequitur schema in Ven. Ἰδέαι ζ'. Μερικώτεραι ιδ'.

Ἀδιαίρετοι δ'.

ἀλήθεια, γοργότης, δεινότης, κάλλος.

Διαιρούμεναι ιγ'.

α. σαφήνεια, β. μέγεθος, γ. ἦθος.

(α. καθαρότης, εὐκρίνεια.) (β. σεμνότης, τραχύτης, σφοδρότης, λαμπρότης, σμικρότης.) (γ. βαρύτης, ἐπιείκεια, ἀφέλεια [γλυκύτης, δριμύτης καὶ ὀξύτης.]) 42 Sq. in Mon. ἡ μὲν γὰρ σεμνότης δὲ ἀνάγονται ὑποκατιὼν διδάξει· ἡ μὲν γὰρ σεμνότης καὶ κ. τ. λ. Par. 2. ἡ μὲν γὰρ καὶ ἡ σεμνότης καὶ ἡ τρ. 43 Mon. ἣ καλεῖ. Par. 2. ἣν καλεῖ. Par. 1. ἣ καλεῖται.

τοῖς ἑαυτοῦ, φασὶ, περιπετὴς γίνεται λόγοις, καὶ οἷς ἐγκαλεῖ τοῖς πρὸ αὐτοῦ, τούτοις ἐπὶ τοῦ παρόντος φαίνεται χρώμενος· λέγει γὰρ ἕνεκα τῶν κατ᾽ ἄνδρα εὐδοκιμούντων ταύτης δεῖσθαι τῆς πραγματείας· ἔπειτα συντρέχει πάλιν αὐτοῖς πανταχῇ τἀναντία τῆς οἰκείας προαιρέσεως ἀποφηνάμενος. καὶ πρῶτον μὲν ἔφη περὶ Πλάτωνος ἢ Δημοσθένους, μὴ εἶναι ἰδέας τὸν λόγον· ἔπειτα καὶ περὶ αὐτῶν τούτων, φησὶν, ἐν ὑστέρῳ λελέξεται, καὶ τὸ μὲν ἐκ τοῦ τρόπου τῆς διδασκαλίας ἀπελυσάμεθα, τῶν κατ᾽ ἄνδρα εὐδοκιμούντων εἶναι τὴν ὑποκειμένην πραγματείαν, καὶ αὐτὸς ἀνεῖλε τῶν προλαβόντων καταμεμψάμενος, οἳ περὶ ταῦτα τὴν πᾶσαν ἐσχήκασι σπουδὴν, τῶν καθόλου βραχέα φροντίσαντες. ἀλλ᾽ ὅρα μήπω δύο σκοποὺς εἶναι βούλεται, καὶ μηδεὶς πρὸς τὸ λεχθὲν ἐκὼν [44] ταράξει· τί γὰρ τὸ κωλύον δύο πραγμάτων ὑποκειμένων εἶναι τοσαῦτα καὶ τὰ τέλη· οὐ γὰρ ἑνὸς πράγματος εἶναι δύο τέλη λέγων, μήποτ᾽ εἰς τοσοῦτον μανείην· ἀλλὰ τὸν μὲν ἕνα σκοπὸν εἶναί φημι περὶ τῶν ὅλων, τὸν δ᾽ ἕτερον περὶ τῶν κατ᾽ ἄνδρα ποιούντων· ὃς ὑποβέβηκε τῷ προτέρῳ καὶ πρὸς αὐτὸν ἀφορᾷ, περὶ οὗ καὶ ἡ πᾶσα τῆς πραγματείας ἀνήκει διοίκησις· ὅταν οὖν λέγῃ περὶ σεμνότητος καὶ τραχύτητος, περὶ τῶν τοιούτων σχημάτων τὰς καθόλου ἰδέας διδάσκει, ὅταν δὲ τοὺς κατ᾽ ἄνδρα [45] περὶ τῶν τελῶν· τῶν δὲ πρὸ αὐτοῦ φαίνεται [46] καταμεμψάμενος, ὡς κακῶς τὴν τῶν ποιούντων πραγματευσαμένους μεταχείρισιν· [47] εἰ δέ τις ἡμᾶς μὴ λέγειν τἀληθὲς, ἀλλὰ φενακίζειν ἐκ τούτων ὑπολαμβάνει τῶν λόγων, εἰς μνήμην ἐλθοι τῶν προλαβόντων· οὐ γὰρ [48] μόνον πρὸς τὸ θεω-

44 Mon. ἐκὸ ταράξει. Par. 1. ἐκὼν ταράξει. Par. 2. ἐκταράξει. 45 Par. 1. ad marg. γρ. περὶ τῶν κατ᾽ ἄνδρα. 46 φαίνεται Par. 1. om. 47 Par. διαχείρισιν. Mon. μεταχείρησιν. 48 γὰρ Mon. om. in Par. 2. γὰρ et sq. πρὸς manu secunda inserta sunt. Schol. min. αὐτὸ ἕκαστον· τὸ εἶδος

ρεῖν, ἀλλ' ἤδη που καὶ πρὸς τὸ δημιουργεῖν χρησιμώτατον ἔφαμεν τὸν περὶ τῶν ἰδεῶν λόγον· ἐργαζόμεθα δὲ καὶ κρίνομεν τοὺς τελείους δηλονότι χαρακτῆρας, ὥστε δύο σκοπῶν εὑρισκομένων καὶ τοῦ μὲν φερομένου πρὸς τὰ τέλη, τοῦ δὲ πρὸς τὰ ποιοῦντα προσηκόντως ὁ τεχνικὸς πρὸς ἑκάτερον ἀποδέδωκεν· ἔστι μὲν γὰρ ὁ πᾶς αὐτῷ σκοπὸς περὶ τῶν ποιούντων [49] διαλαβεῖν, ἀλλ' ἐπεὶ τὸ τέλος οὐκ ἐν τούτοις ὑπέφηνε καὶ τὸ μὴ πάνυ σπουδαζόμενον περιέλαβεν· ὃ κατορθοῦνται ἐκ τῆς περὶ τῶν ποιούντων ἐπιστήμης. [50]

κζ'. Τὸ [51] μὲν τοῦ τοιούτου τοῦ Δημοσθενικοῦ λόγου φησὶ, μέρη δὲ βουλευτικὸν, [52] πανηγυρικὸν ἢ μικτὸν, τὰ ἐν προοιμίοις ἢ [53] ἀντιθέσεσιν ἢ διηγήσεσιν εἰρημένα, εἶδος δὲ δικανικὸν, συμβουλευτικὸν, πανηγυρικὸν, ἢ μικτόν. [54]

κή. Τοῦ τοιούτου τοῦ Δημοσθένους λόγου ἀνάγκη, φησὶ, τό τε ὅλον εἶδος σκοπεῖν, οἷον ὅτι δικανικὸς ὁ περὶ τοῦ στεφάνου λόγος ὢν, πανηγυρικῆς ἐστιν ἰδέας καὶ τὰ μέρη· μέρη δέ ἐστι σεμνότης, λαμπρότης· ἐξ ὧν ὁ λόγος συνέστηκεν.

κθ'. Τὸ μὲν [55] ὅθεν ἐκ ποίων εἰδῶν κεκίνηται τῆς

αὐτό. Τῶν κατ' ἄνδρα· καθ' ἕνα. Ἕνεκεν ἐκείνων λέγω τῶν εὐδοκιμησάντων καθ' ἕνα ἕκαστον, τουτέστιν εἷς ἕκαστος. Προχειρισαμένους· προβαλομένους. Μάλιστα τῶν ἄλλων· πλέων. 49 Mor. h. l. et in fine paragraphi: περὶ τῶν τοιούτων. Par. 1. 2. ποιούντων. 50 Litt. κγ'. κδ'. Ven. om. Litt. κέ. κς'. vide Vol. V. p. 442. v. 25 — p. 444. v. 8. 51 Ven. litt. κς'. omissa: Ἀνάγκη τά τε μέρη καθ' ἕκαστον καὶ τὸ ὅλον εἶδος τοῦ τοιούτου δεικνύντας. 52 Par. Ven. βουλευτικὸν, πανηγ. ἢ μικτὸν om. 53 Mon. δέ. 54. Sequitur in Par.: Τὸ ἐκ τούτων συνεστηκὸς τῶν μερῶν ἤγουν λέξεων ἐννοίας καὶ τῶν λοιπῶν, καὶ ἄλλως μέρη τὰς ἰδέας λέγει, σαφήνειαν, μέγεθος καὶ τὰ λοιπά· εἴδη δὲ τοὺς ἐκ τούτων γινομένους χαρακτῆρας, Πλατωνικὸν, Δημοσθενικὸν καὶ τοὺς ἑξῆς. 55 Ven. litt. κή. omissa:

ῥητορικῆς, τὸ δὲ ἐξ ὧν ποίαις τισὶν ἰδέαις κέκραται· τὸ δὲ ὁποῖον ἠθικὸν ἢ πραγματικὸν, ἢ παθητικὸν, [56] καὶ δι' οὗ τοιοῦτον· ἀντὶ τῶν τίνων μιγέντων ἢ κραθέντων ὁ παθητικὸς ἢ ἠθικὸς γέγονε λόγος.

λά. Ἀντὶ τοῦ ἁρμόττων μᾶλλον ποιηταῖς, εἰσὶ γὰρ ἰδέαι, αἷς ἐάν τις ἐπὶ πολὺ χρήσεται, ποιητικότερον ἐργάζεται τὸν λόγον· εἰ γὰρ καὶ μὴ μεταχρῆται, ἀλλ' ἥ γε καὶ διάνοια καὶ ὁ χαρακτὴρ ποιητικὸς, καὶ ἐπειδή εἰσιν ἰδέαι λέξεις ἀπαιτοῦσαι [57] ποιητικὰς, ὡς ἡ γλυκύτης.

λγ'. Μηδεὶς, φησὶν, ἐπιτιμήσῃ μήτε τῇ μεθόδῳ ταύτῃ, μήτε τῇ κρίσει, πρὶν ἅπασιν ὁμιλήσῃ [58] τοῖς ῥηθησομένοις· ἐκεῖσε γὰρ σαφῶς καὶ τὸν τρόπον οἴσεται τῆς διδασκαλίας, ὃν ἐπὶ τοῦ παρόντος λέγειν ἀδύνατον· πῶς γὰρ οἷόν τε τὴν πᾶσαν τοῦ βίου δύναμιν ἐν τῇ προθεωρίᾳ μαθεῖν· διὸ περὶ μὲν τοῦ τρόπου τῆς διδασκαλίας ἐν τοῖς ἑφεξῆς ὑπερέθετο, καθὰ καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου πεποίηκεν· εὐθὺς γὰρ ἐν τοῖς προοιμίοις εὔνουν ἑαυτὸν εἶναι φήσας, οὐχ ὅσα ποιεῖ τὴν εὔνοιαν διεξῆλθε· τάχα γὰρ τὸν πάντα λόγον εἰς τοῦτο κατανάλωσε, τῆς πολιτείας μεμνημένος, καὶ ὅσα περὶ τὴν πόλιν ἐξειργάσατο, καὶ πολλὴν εὐθὺς ἐκ τῆς εἰσβολῆς τοῦ βιβλίου [59] τοῖς ἐντυγχάνουσιν ἐνέβαλε σπουδήν· δῆλον γὰρ, ὡς προθύμως ἀνθέξονται τῆς πραγματείας, ἅτε μηδὲν ἐχούσης κατὰ τὴν τοῦ γράψαντος ἐπαγγελίαν

---

[n] Ὅθεν τε καὶ ἐξ ὧν συνέστηκεν, ὁποῖόν τέ ἐστι. 56 Ven., omissis sequentibus, transit ad litt. λ'. καὶ πῶς μιγνυμένου αὐτοῦ τότε μὲν ποιητικὸς, τότε δὲ ὡς ποιητικὸς κ. τ. λ. Vol. V. p. 444. v. 9 — p. 446. v. 25. 57 Par. 1. ἀπαιτοῦσι. — Litt. λβ'. vide Vol. V. p. 447. v. 1 — 3. 58 Par. ὁμιλήσει. Par. add. Μηδεὶς ἐπιτιμήσειεν· ἀξίωσις κατὰ προϋπόσχεσιν· καὶ μέθοδον μὲν εἶπε, τὸ δι' ἑνὸς τὰς πάντων ῥητόρων καὶ ποιητῶν καὶ συγγραφέων ἰδέας δηλῶσαι· κρίσιν δὲ τὴν τοῦ Δημοσθένους ἐπιλογήν. 59 Mon. εἰσβολῆς βι. Par. 2. εἰσβ. τοῦ βιβλίου.

εἰ σαφὲς ἢ τὴν ἀρχὴν ἀνευκρίνητον· τὸν αὐτὸν οὖν τρόπον καὶ ὁ τεχνικὸς ὑπερέθετο μὲν ἐν τοῖς ἐφεξῆς περὶ τοῦ τρόπου τῆς διδασκαλίας· ἓν δὲ μόνον ἔλαβε, λέγω δὴ τὴν εὐκρίνειαν, [60] ὅπως ἐκ ταύτης ἐφελκύσεται τοὺς ἀκροατάς.

λδ'. Ἀσύντακτον εἶναι δοκεῖ τοῦτο· δεῖ οὖν τὸ ὅτι νοεῖν αἰτιολογικὸν οὕτως· ὁ τοίνυν Δημοσθένης, ἐπειδὴ τὸ κεφάλαιον ἦν τῶν πολιτικῶν λόγων ἠκριβωκὼς, τουτέστι τὸ καταποικίλλειν [61] τὸν λόγον, καὶ μιγνύναι τὰ εἴδη, τὸ μὲν ὅπως ἐμίγνυ καὶ συνέπλεκεν οὐ χαλεπόν ἐστιν εὑρεῖν· ἐξ οἵων μέντοι ἀρχῶν προϊὼν τοιούτους ἀπειργάζετο τοὺς λόγους, τοῦτο δυσχερὲς εὑρεῖν, [62] ἄμεινον δὲ καθ' ὑπέρβατον συντάξαι· τὸ μὲν τοίνυν εὑρεῖν, ὡς ὁ Δημοσθένης ἠκριβωκὼς, ὅ τί περ ἦν κεφάλαιον τῶν πολιτικῶν λόγων, διὰ πάντων ἥκει ταῖς μίξεσι, τάχα ἂν οὐ τῶν [63] σφόδρα γένοιτο χαλεπῶν· μίγνυσι δὲ παντα-

---

60 Par. addit: Εὐκρίνειαν οὐ τὴν ἰδέαν λέγει, ἀλλὰ τὴν τοῦ ἰδίου συγγράμματος· ὅθεν γὰρ οἱ παλαιότεροι τεχνογράφοι ἀσαφῶς περὶ τῶν ἰδεῶν εἶπον, τοσούτῳ μάλιστα οὗτος ἀκριβῶς. 61 Par. 2. τὸ κατὰ ποικίλλειν λόγον. 62 εὑρεῖν Mon. om. est in Par. 2. 63 Mon. οὕτω σφόδρα γένηται. Par. addit: διὰ πάντων τῶν εἰδῶν, ὅ ἐστι τῶν ἰδεῶν, πανταχοῦ δὲ πανηγυρικοῦ, δικανικοῦ, συμβουλευτικοῦ· κἂν τοῖς τρισὶ γὰρ τούτοις χρῆται τῇ μίξει πασῶν τῶν ἰδεῶν. Τὸ διὰ πάντων ἥκειν πανταχοῦ τινὲς μὲν οὕτως ἡρμήνευσαν, ὅτι διὰ πασῶν τῶν ἰδεῶν ἥκει καὶ μίγνυσιν αὐτὰς ἐν τοῖς τρισὶν εἴδεσιν· ἔστι δὲ καὶ οὕτω γνῶναι, ὅτι Δημοσθένης ταῖς μίξεσι πάντων ἥκει πανταχοῦ, ἤγουν πάντας τοὺς ἑαυτοῦ λόγους ἀλλήλοις μίγνυσι, καὶ ἐν πᾶσι τούτοις διὰ πάντων ἥκει τῶν εἰδῶν ταῖς μίξεσι· καὶ ὅτι καλῶς ἔχει τοῦτο, καὶ αὐτὸς μαρτυρεῖ ἐχομένως, μήθ' ὅτε συμβουλεύει φάσκων καὶ τὰ ἑξῆς. Τὰς μίξεις ἐνταῦθα λέγει, οἷον βαλὼν τὴν λαμπρότητα τυχὸν εἰς τὴν τραχύτητα καὶ παραβολὴν, καὶ τὰς λοιπὰς ἰδέας, καὶ μίξας αὐτὰς, καὶ ποιήσας ἕνα λόγον χαλεπὸν εὑρεῖν τὸν τοιοῦτον λόγον καὶ εἰπεῖν, ὥσπερ οὐδ' ἐπὶ τῶν ζωγράφων, βαλόντος τινὸς τὸ φαιὸν καὶ λευκὸν, καὶ

χοῦ εἴδη, ὡς ἐν τοῖς Φιλιππικοῖς κατηγορεῖ τῶν προδοτῶν, καὶ ψέγει τὸν Φίλιππον, ἐγκωμιάζει δὲ τοὺς προγόνους, ὡς ἐν τῷ τρίτῳ τῶν Ὀλυνθιακῶν. [64]

λς'. Μετὰ τὸν τρόπον τῆς διδασκαλίας συνίστησι τὸ παράδειγμα καί φησι κεφάλαιον εἶναι τῶν πολιτικῶν λόγων τὸν Δημοσθένην. καὶ λίαν ἠκριβωκέναι τὴν περὶ τούτων διοίκησιν, ἀλλ' ὅτι μὲν διὰ πάντων ἥκει παντα-χοῦ ταῖς μίξεσι, καὶ συμβουλεύων μὲν οὐ πάντη χωρίζει τοῦ δικανικοῦ τε καὶ πανηγυρικοῦ τὸν λόγον αὐτοῦ, καὶ πάλιν αὖ ἐπὶ τῶν ἄλλων οὐκ ἀφίσταται τῶν λοιπῶν· τάχα ἂν οὐ τῶν σφόδρα, φησὶ, γένει χαλεπῶν τοῖς οὐχ ἁπλῶς αὐτὸν μετιοῦσιν· δι' ἣν δὲ αἰτίαν τὰ ποιοῦντα μιγνύμενα διαφόρως ἀλλοιοτέρους ποιεῖ τοὺς λόγους, χαλεπὸν οὐ μόνον εὑρεῖν, ἀλλὰ καὶ εὑρόντα εἰπεῖν καὶ δεῖξαί τι σαφὲς περὶ αὐτῶν· ἐπεί τοι καὶ τὴν ἔκλειψιν τῆς σελήνης καὶ ὁ τυχὼν, εἰ βούλοιτο, μόνον θεάσεται· τί δὲ τὸ αἴτιον καὶ πόθεν ἐγένετο ἐπιστήμονος εὑρεῖν καὶ διδάξαι σαφῶς· ὅτι δὲ παγχάλεπον καὶ τὸ ἐπινοῆσαι καὶ τὸ εὑρεθὲν εἰπεῖν καὶ παραστῆσαι μετὰ εὐκρινείας, δεδηλώκασιν οἱ πρὸ αὐτοῦ μηδὲν ἀκριβὲς περὶ τούτων πραγματευσάμενοι.

λζ'. Στοιχείοις, οἷον ἀρχαίοις τύποις ἀπὸ μεταφορᾶς τῶν τεσσάρων στοιχείων, πυρὸς, ἀερὸς, γῆς, ὕδατος, ἐξ ὧν πᾶν σῶμα συνίσταται. [65]

τοιάνδε καὶ τοιάνδε χρῶμα δύναται εὑρεῖν ὄνομα, ὅτῳ ἂν αὐτὸ καλέσῃς. Schol. min. Ἡμᾶς διὰ ταῦτα· μετὰ τὸ εὐτυχεῖν δηλονότι. Ὅτι περ κεφάλαιον· τὸ ὅτι περ ἀντὶ τοῦ ὅπερ ἦν. Πανηγυρικὸν ἐνταῦθα τὸ σύμμικτον λέγει, τὸ μετὰ τοῦ δικανικοῦ ἢ συμβουλευτικοῦ μεγάλων πραγμάτων ἀφήγησιν ἔχον. 64 Ven. litt. λά—λδ'. omissis: Τὸ μὲν ὡς διὰ πάντων ἥκει παντα-χοῦ ταῖς μίξεσι· καὶ γὰρ ἐν Φιλ. litt. λέ. quam vide Vol. V. p. 447. v. 9—16. 65 Litt. λή—μά. recepit Joannes Sicel. Litt. λή. vide Vol. V. p. 447. v. 17—p. 448. v. 7.

λθ'. Καλῶς τὸ ἀκριβές.[66] Οἶδε γὰρ καὶ Βασιλικὸν γεγραφότα πρὸ αὐτοῦ περὶ ἰδεῶν, οὐ μέντοι σὺν εὐκρινείᾳ καὶ τάξει τῇ ἀρίστῃ, ἥπερ διαφερόντως αὐτὸς φαίνεται κεχρημένος.

μ'. Πρῶτον μέν, φησὶν, ὀλίγοι τετολμήκασιν ἐπὶ τὴν τοιαύτην ἐλθεῖν ἐγχείρησιν,[67] ὅσοι δὲ καὶ προσήψαντο, συγκεχυμένως τοῦτο πεποιήκασι καὶ τοσοῦτον ἀπέχουσι τοῦ διδάσκειν ἑτέρους, ὥστε τὴν ἀρχὴν ἑαυτοῖς ἀπιστοῦσιν, εἰ δεόντως ὅλως εἰρήκασιν.

μά. Τῷ εἰπεῖν ἥψαντο ἐσήμανεν, ὅτι οὐ τελείως εἰρήκασιν· οὐ γὰρ ἀφώρισαν καὶ ἐπεσημήναντο,[68] ὅτι τότε τὸ σχῆμα σεμνότητος τυχόν ἐστιν ἢ ἄλλης ἰδέας, ἀλλ' ἀναμὶξ πάντα τεθείκασιν ἀτάκτως.

μβ'. Εἰς[69] τοὺς ὑπομνηματίσαντας τῶν Δημοσθενικῶν λόγων ἐνίους ἀποτείνεται[70] καὶ τὰς περὶ αὐτῶν θεωρίας φιλοτιμότερον ἐπεξεργασαμένους Βασιλικόν τε καὶ Ζήνωνα καὶ τοὺς ὁμοίους.[71]

μγ'. Τινὲς, φησὶν, περὶ τῶν Δημοσθένους λόγων γράψαντες οὐ περὶ σεμνότητος καὶ τῶν ἄλλων ἰδεῶν καθολικῶς διελέχθησαν, ἀλλὰ περὶ τῶν παρ' αὐτῷ σχημάτων ἐθεώρησαν, ἃ μέρη εἰσὶν ἀναγόμενα εἰς τὰς ἰδέας· ἑκάστης γὰρ ἰδέας ἴδιά ἐστιν σχήματα.

μδ'. Οἱ ἐπιτυχόντες, φησὶν, εἰς αὐτούς, καὶ δόξαντές τι λέγειν, εἰς τὸ[72] κατὰ μέρος κατεγένοντο τῶν καθ-

---

66 Mon. καὶ τὸ ἀκριβὲς, ἦγουν τὸ ὄνομα βασιλικόν. Ven. litt. λς'—λή. omissis: Οὐδὲ γάρ ἐστιν ὅστις πρὸ ἡμῶν ἀκριβές τι περὶ τούτων πραγματευσάμενος φαίνεται· καλῶς τὸ ἀ. ο. γ. κ. Β. πρὸ αὐτοῦ γεγραφότα. etiam Sicel. πρὸ αὐτοῦ γεγρ. 67 Mon. Par. 2. Sicel. ἐγχείρησιν. Par. 1. ἐγχείρισιν. 68 Sicel. ἐσημήναντο. 69. Ven. litt. μ'. et μά. omissa: Πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ οἱ δόξαντές τι λέγειν περὶ τ' ἀνδρός. 70 Mon. ἀπὸ θεωρίας, omisso τείνεται καὶ τὰς περὶ αὐτῶν. restitui ex Par. 1. 2. 71 Mon. ἐνίους. Par. 1. 2. Ven. ὁμοίους. 72 Mon. τό. Par. 2. τά.

ὁλου βραχέα φροντίσαντες, οἷον περὶ σεμνότητος ἀφελείας.

μέ. Μεταφορικὴ [73] ἡ λέξις οὖσα, κυριώτατα γὰρ [74] καὶ πρώτως ἐπὶ τῶν τοῦ κόσμου στοιχείων εἴρηται, δευτέρως δὲ ἐπὶ τῶν γραμμάτων, [75] ἐκεῖνά τε γὰρ ἀρχὴ παντὸς τοῦ σωματικοῦ καὶ ταῦτα συλλαβῶν καὶ λέξεων· εἰκότως οὖν καὶ [76] τὰς ἰδέας στοιχεῖα καὶ ἀρχὰς τοῦ ἀρίστου τῶν πολιτικῶν λόγων φησίν.

μζ. Τὸ ὁποῖα, οἵαν ἔχει φύσιν ἑκάστη τῶν ἰδεῶν, γλυκεῖαν, αὐστηρὰν, ἀφελῆ, δεινὴν, τὸ δὲ ὅπως γίνεται, διὰ ποίων κατασκευάζεται τόπων, τὸ δὲ τί δύναται, τί τὸ ἀπὸ τῆς μίξεως τῶνδε ἢ τῶνδε τῶν ἰδεῶν ἀποτέλεσμα.

μή. Σκοπός ἐστιν τῷ τεχνικῷ ἁπάσας καθ' ἑαυτὰς

---

73 Ven. litt. μγ'. μδ'. omissa: Τὰ γάρ τοι τοῦ Δημοσθενικοῦ λόγου καθαπερεὶ στοιχεῖα· μέχρι τοῦ· καὶ τί δύναται. Μεταφ. γὰρ ἡ λέξις οὖσα κυριώτατα· καὶ πρ. 74 Mon. γὰρ κυριωτέρα. Par. 2. γὰρ κυριωτάτη καὶ πρ. Par. 1. κυριώτατα γάρ. 75 Par. 1. πραγμάτων. Schol. min. Ἃ δὴ καί· ἃ στοιχεῖά φησιν. Ὅσα ἐμὲ γινώσκειν· ὅσα ἐγὼ ἀνέγνων. Τὸ κατὰ μέρος ἐπὶ τὸ νόημα καὶ λέξιν σχῆμα καὶ τὰ λοιπὰ μόρια τῶν ὀκτὼ, οἷς ἑκάστη ἰδέα γίνεται καὶ θεωρεῖται. Περὶ αὐτῆς σεμνότητος· τουτέστι σεμνότητος, λαμπρότητος καὶ τῶν λοιπῶν, ἢ περὶ ὧν προείπομεν μορίων. Καὶ τούτου· τοῦ Δημοσθένους. Τῶν μερῶν· τῶν σχημάτων τῆς συνθήκης καὶ τῶν ἄλλων. Ἐν μέτροις· Ἔμμετρα, οἷα τὰ Ἰσοκράτους καὶ Δημοσθένους καὶ τοῦ θεολόγου· ποιητικὰ, οἷα τὰ Ὁμήρου καὶ Ἡσιόδου. Καταλογάδην γράφειν ἐστὶ τὸ μήτε πάντη μέτρων φροντίζειν, ὡς Ὅμηρος τυχὸν, μήτε ὡς ποιητικῶς γράφειν, ἀλλὰ ἀπαραφυλάκτως καὶ πάντη ἀπαρατηρήτῳ χαρακτῆρι. Ποῖα δὲ λέγει μέτρα καὶ ποῖαν ποίησιν, καὶ τίνες οἱ χρησάμενοι τούτοις, εἴρηται ὑμῖν πρὸ ὀλίγου. ibid. τὸν πεζὸν λόγον λέγει. 76 καὶ Mon. om. est in Par. et Ven. idem litt. μς'. omissa, transit ad litt. μζ'. Τὸ δὲ ὁποῖα. Litt. μς'. vide Vol. V. p. 448. v. 12—15.

πρότερον παραστῆσαι [77] τὰς ἰδέας, ὁπόσαι τέ εἰσι καὶ ὁποῖαι καὶ ὅπως γίνονται, τὸν δὲ Δημοσθενικὸν χάριν παραδείγματος ἔλαβε τύπον· οὐδὲ γάρ τις οὕτω φαίνεται διαποικίλας τὸν λόγον. [78]

ν'. Οὐκ [1] ἰδία, φησὶν, ἑκάστη τῶν ἰδεῶν ἐπιτετήδευται καὶ μεμελέτηται παρὰ τῷ ῥήτορι, ἀλλ' ἡ πασῶν ἅμα ἀκριβεστάτη καὶ ἐν τῷ δέοντι παρ' αὐτῷ μίξις τὸν κάλλιστον τῶν πολιτικῶν ἀπεργάζεται λόγων· ὅθεν καὶ Διονύσιος ἐν τῷ πρώτῳ χαρακτήρων κράτιστον εἶναί φησιν [2] ἐν πολιτικοῖς λόγοις τὸν Δημοσθενικόν.

νά. Ἄρχεται μετὰ τὴν ἐκκάθαρσιν τῶν λυπούντων ἀποφαντικῶς τῆς διδασκαλίας· τοῦτο γὰρ ἀνδρὸς μάλα [3] τεχνίτου, τὸ μηδαμῶς κατὰ τοὺς προειρημένους ἀπιστεῖν ἑαυτῷ περὶ ὧν ἂν βούληται λέγειν· ὅρα γὰρ, ὅπως ἀξιωματικῶς μηδὲν ἐνδοιάσας προέθετο μὲν κατὰ τὸν πρῶτον σκοπὸν, τὸν πολιτικὸν καὶ τέλειον [4] λόγον, ὃν κατ'

---

77 Mon. καταστῆσαι. 78 Mon. τοὺς λόγους. Par. 2. διὰ ποικίλλας τοὺς λόγους. Litt. μθ'. vide Vol. V. p. 445. v. 15—21.

1 Ven. litt. μή. μθ'. omissa: Εἰ μέλλοι τις ὡς ἓν ἅπαντα ἀκούσασθαι τάδε· οὐ γὰρ ἰδεῶν ἑκάστη ἐπιτετήδ. 2 Ven. χαρακτήρων h. l. repetit. 3 Mon. μᾶλλον. 4 καὶ τέλειον Mon. om. Schol. min. Ταῦτα καὶ εὑρεῖν· τὰ στοιχεῖα καὶ τὰς μίξεις ἑκάστης ἰδέας. Καθ' ἣν προὐθέμεθα· ἀντὶ τοῦ, οὐχ ὥσπερ ἐκεῖνοι καὶ περὶ τῶν μερῶν διδάξαντες καὶ ἀσαφῶς καὶ τεταραγμένως περὶ αὐτῶν διαλαβόντες. Τὰς ἀρχάς· οἷον ἔννοιαν, μέθοδον καὶ τὰ λοιπά. Κἀνταῦθα δώσει· τὸ κἀνταῦθα Ἑρμογένους ἐστίν· εἶπε δὲ τοῦτο διὰ τὸ τὸν Δημοσθένην ἐκεῖσε φάναι· τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει. Κριτὴς δέ· ὡς ἐκεῖ παρὰ Δημοσθένει. Φημὶ τοίνυν· εἰ μέλλοι τις, φησὶν, νοεῖν ἕνα λόγον ἐκ τῶν ἑπτὰ ἰδεῶν μιγνυμένων πρὸς ἀλλήλας ἀποτελούμενον. Τάδε σαφήνεια· ἡ ἀπαρίθμησις τῶν ἰδεῶν. Τούτων δὲ τῶν ἰδεῶν αἱ μὲν ἐφ' ἑαυτῶν. Τουτέστιν ἄτομοι, ἀδιαίρετοι μένουσιν ἐφ' ἑαυτῶν ἀλήθεια, γοργότης, δεινότης, κάλλος. Τούτων· ὡς ἡ σεμνότης καὶ ἡ παρυβολή· οὐ γὰρ συμπλέκονται

ἐξαίρετον ἐκάλεσε Δημοσθενικόν· ἔπειτα διὰ τὴν ἀνάγκην ἐπὶ τὰ ποιοῦντα κατέφυγεν, ἃ δεῖ λαμβάνειν, ὡς ἓν καὶ μὴ κατὰ παράθεσιν, ἀλλὰ συμπεπλεγμένα καὶ δι' ἀλλήλων ἥκοντα· τοιοῦτος γὰρ ὁ Δημοσθενικὸς λόγος.

νβ'. Αἱ μὲν [5] γὰρ ἑνὶ τῶν ὀκτὼ μερῶν ἀλλήλαις κοινωνοῦσιν, αἱ δὲ πλείοσιν, ὡς ἡ καθαρότης τῇ εὐκρινείᾳ, λέξει, κώλοις, συνθήκῃ κοινωνεῖ· καὶ ἡ τραχύτης τῇ σφοδρότητι κατὰ πλείονα.

νγ'. Τοῦτό φησιν, ὅτι εὑρίσκονται ἰδέαι κοινωνοῦσαι ἀλλήλαις, κατὰ ἔννοιαν τυχὸν μόνην, ἢ καὶ σχῆμα μόνον· αἱ δὲ καὶ κατὰ ἔννοιαν καὶ κατὰ σχῆμα· κατὰ ἔννοιαν μὲν κοινωνεῖ τραχύτης τῇ ἀκμῇ· αἱ γὰρ ἐπιτιμήσεις, ὡς αὐτός φησιν, οὖσαι τραχύτητος ἴδιαι, ποιοῦσι καὶ τὴν ἀκμήν, ὅτε καὶ κώλῳ καὶ σχήματι μακρῷ καὶ λαμπρῷ ἐξαγγελθεῖεν αἱ ἔννοιαι· κατὰ σχῆμα δὲ κοινωνεῖ, φησὶν, ἀφέλεια τῇ καθαρότητι, οἷον „Σαννίων [6] ἐστὶ δή πού τις" καὶ τὰ ἑξῆς· καὶ γὰρ καθαρὸν τοῦτο καὶ ἀφελές· κατὰ ἔννοιαν δὲ καὶ κατὰ σχῆμα κοινωνεῖ ἡ ἀκμὴ τῇ σφοδρότητι.

νδ'. Ὃ λέγει τοιοῦτόν ἐστιν· ἡ καθαρότης τῇ σεμνότητι κοινωνεῖ σχήμασι, κώλοις, ἀναπαύσει, τοῖς δὲ κεχώρισται· ὥστε τὰ μέρη τὰ ὀκτὼ διαφορὰς καλεῖ· [7] λέγει οὖν, ὅτι κατὰ ἓν μέρος ἢ δύο μέρη κοινωνεῖ ἰδέα, τοῖς δὲ ἄλλοις κεχώρισται, ὥστε τὰ μέρη τὰ ὀκτὼ δια-

---

ἀλλήλαις, ἀλλὰ ἀρκοῦσιν ἑαυταῖς εἰς σύστασιν. Ἐφ' ἑαυτῶν· ἀντὶ τοῦ ἰδικαί. 5. Ven. omissa litt. νά. Τούτων δὲ τῶν ἰδεῶν αἱ μὲν ἐφ' ἑαυτῶν εἰσιν, ὡς αἱ ἀδιαίρετοι, ἀλήθεια, γοργότης, δεινότης, κάλλος· αἱ δὲ ἔχουσιν ὑφ' ἑαυτὰς, ὡς αἱ διαιρούμεναι, σαφήνεια, μέγεθος, ἦθος, αἱ δὲ κοινωνοῦσιν ἀλλήλαις μέρει τινὶ ἢ καὶ μέρεσιν· αἱ μὲν γάρ. 6 Dem. in Mid, p. 533. 7 Mon, καλεῖ, ὡς μικρὸν ὕστερον λέγει κατὰ ἓν μέρος κ. τ. λ. Par. 2. λέγει οὖν, ὅτι κατὰ ἓν μ. — — τὰ ὀκτὼ διαφορὰς καλεῖ, quae lectio est Par. 1,, omittit.

φορὰς καλεῖ, ὡς μικρὸν ὕστερον εἰσόμεθα· ἢ οὕτως κατὰ διαφοράν τινα· ἐπειδὴ τὴν τραχύτητα λέγει τυχὸν κοινωνεῖν σφοδρότητι κατὰ ἔννοιαν, οὐ μέντοι καθάπαξ· ἡ μὲν γὰρ κατὰ μειζόνων γίνεται προσώπων, ἡ δὲ σφοδρότης κατὰ ἐλαττόνων· κοινωνοῦσα οὖν κατὰ διαφοράν τινα, ἐννοίᾳ, μεθόδῳ, κεχώρισται σχήμασι, κώλοις.

νέ. Ἕνια γὰρ τῶν παρακολουθημάτων, εἰ τύχοι ταύτης τῆς ἰδέας, καὶ ἕτερα παρέπεται· καὶ κατὰ τοῦτο συμφερομένη διέστηκεν ἑτέροις τρόποις, ὡς προϊόντες ἀποδείξομεν, καὶ συμβαίνει κατὰ διαφορὰν αὐτὰς κοινωνεῖν· οἷς γὰρ, εἰ τύχοι, συμφέρεται μιᾷ τῶν ἰδεῶν, τούτοις ἀπὸ τῆς ἑτέρας χωρίζεται.

νϛ΄. Περὶ μὲν τῶν ἰδιωμάτων ἑκάστης ἰδέας ἐπὶ τοῦ παρόντος ὑπερέθετο λέγειν, ἀναγκαῖον ἡγησάμενος περὶ τῶν κοινῶν πρῶτον εἰπεῖν, ἐξ ὧν πᾶς πέφυκε γίνεσθαι λόγος· τάχα γὰρ ἂν ἡ τούτων διδασκαλία συντελέσει πρὸς ῥᾳδίαν τῶν κατὰ μέρος κατάληψιν· ὅτε καὶ τὰς ὑποβεβηκυίας τισὶ τῶν προειρημένων ἰδεῶν προθέντες, ἐξ ὧν πεφύκασι γίνεσθαι, λέγοιμεν, ὥστε προλαμβάνειν δεῖ τὴν τῶν κοινῶν διδασκαλίαν· εὐμαρέστερον γάρ πως ὁ ταῦτα καταλαβὼν παρακολουθήσει τοῖς ὑπολοίποις.

ά. Αἱ μὲν γὰρ τῶν [8] ἰδεῶν μονοειδεῖς ἔχουσι τὰς ἐννοίας, ὡς ἡ καθαρότης, αἱ δὲ καὶ μέχρι τριῶν καὶ τεττάρων προέρχονται τόπων, ὡς ἡ σεμνότης καὶ εἴ τινες ἕτεραι ταύτῃ ὅμοιαι, ὡς αἱ ἱστορικαί· καὶ γὰρ αὗται διὰ τὸν χρόνον πλησιάζουσι ταῖς μυθικαῖς, ὡς καὶ Θουκυδίδης φησί· καὶ ὅσαι τὰ ταῖς αἰσθήσεσιν ἡδέα [9] ἐκφράζουσιν, ὄψει, ἀκοῇ, ὀσφρήσει, γεύσει, ἁφῇ, ὡς Ὅμηρος· [10]

---

8 αἱ μὲν γὰρ τῶν Mon. per lacunam om. Ven. praemittit: Ἅπας τοίνυν λόγος ἔννοιαν ἔχει πάντως τινὰ, ἢ ἐννοίας. Litt. νγ΄—ς΄. om. 9 Mon. ἰδέαις. 10 Il. Ξ. 347.

Τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
Λωτόν τ' ἐρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον.

καὶ Σαπφὼ [11]

Ἀμφὶ δ' ὕδωρ
Ψυχρὸν κελαδεῖ δι' ὄοδων
Μαλίνων.

καὶ

Οἷον [12] τὸ γλυκύμαλον [13] ἐρεύθεται ἄκρῳ ἐπ' ὄσδῳ;
Ἄκρον ἐπ' ἀκροτάτῳ, λελάθοντο δὲ μαλοδροπῆες. [14]
Οὐ μὰν ἐκλελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐφικέσθαι.

καὶ Θεόκριτος

Ἁδὺ [15] δὲ τοῦ [16] θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτῆν. [17]

καὶ

Ὡς μέλι τοι [18] γλυκὺ τοῦτο [19] κατὰ βρόχθοιο γένοιτο.

β'. Ἡ ἔννοια ἐνεργοῦσα ποιήσει τὴν μέθοδον· ἡ γὰρ ἔννοια ἀναλογοῦσα τῇ ψυχῇ, ὅταν μὲν ἠρεμῇ καὶ μένῃ καθ' ἑαυτὴν, οὐδὲν ἀποτελεῖ· κινουμένη δὲ ποιεῖ τι, καὶ τοῦτο καλεῖται μέθοδος· ἡ περὶ τὴν ἔννοιαν, καὶ οὐ μόνον ἡ ἔννοια ψυχῆς τάξιν ἐπέχει, καὶ ἡ μέθοδος τῆς κινήσεως, ἀλλ' ἰδία καὶ ἡ λέξις τοῦ σώματος· ὥσπερ γὰρ οὐ δυνατὸν ἐνεργεῖν τὴν ψυχὴν ἄνευ σώματος, οὕτως καὶ τὴν ἔννοιαν οὐχ οἷόν τε χωρὶς λέξεως· ἀναλο-

---

11 Mon. σάμφους. Fragm. IV. ed. Gaisf. Codd. δὲ ὕδωρ. 12 Sapph. Fragm. XLVI. ὡς γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὔσδῳ. cfr. Schneidewin ad Ibyci Rheg. rell. p. 119. 13 Mon. Par. 1. γλυκὺ μᾶλλον εὑρίσκεται. Par. 2. μᾶλλον εὑρέθεται. Ven. μᾶλον ἐρεύθεται. 14 Abest haec vox a lexicis; Mon. et Parr. μελαδροπῆες. Ven. μαλοδροπῆες. Etymol. δρεπεῖς. ubi Hesych. δρεπτεῖς. vide Steph. Thes. s. v. δρέπω. p. 3424. ed. Valpy. 15 Id. VIII. 78. Mon. ἃ δὴ δέ. Par. 1. ἁδύ. omisso sq. δέ. 16 Mon. et Par. 1. τό. Ven. τῶ. Par. 2. τῶ θέριος. 17 Mon. αἰθριοκήτη. Parr. et Ven. αἰθριοκοίτη. 18 Theocr. Id. III. 54. Mon. μέλιτος. Ven. μέλιτι. Par. μέλι τοι. 19 τοῦτο Par. 1. om.

γεῖ γὰρ ἡ λέξις τῷ σώματι, καὶ ὥσπερ ἐν τῷ σώματί εἰσιν αἱ μορφαὶ, οὕτως ἐν τῇ λέξει τὰ σχήματα· καὶ δὴ πάσας τὰς τοῦ σώματος ἰδιότητας εὕροις ἂν ἐπὶ τῆς λέξεως, ὥσπερ καὶ τὰς τῆς ψυχῆς ἐπὶ τῆς ἐννοίας· ἔστι μὲν γὰρ αὐτῇ σχήματα, καθάπερ ἐπὶ τῶν σωμάτων αἱ μορφαὶ, μαὶ μακρὰ καὶ βραχέα κῶλα, τάξιν τοῦ μεγέθους ἐπέχοντα, καὶ [20] σύνθεσις ὁμωνύμως κ. τ. λ. Vol. V. p. 449. v. 24—27. Οὕτως κατὰ πάντα παραπλήσιος ὢν [21] ὁ περὶ τῶν ἰδεῶν λόγος τῷ προτεθέντι [22] πολλαχῶς ὑφ' ἡμῶν παραδείγματι τούτῳ μόνον διέστηκε, τῷ μὴ κατ' ἀνάγκην ἐκ τῆς λέξεως συγκαθέλκεσθαι τὴν διάνοιαν, ὥσπερ ἐκ τοῦ σώματος τὴν ψυχήν· αὕτη γὰρ πάντα ποιεῖ τῇ ἰδίᾳ βουλήσει καταδουλοῦσα τὸ σῶμα· ἐπειδὰν δὲ μὴ δυνηθῇ, συγκαταφέρεται καὶ αὕτη πρὸς τὴν ἐκείνου κρᾶσιν· πρόδηλον γὰρ, ὡς τὸ ἡττώμενον κυβερνᾶται τῇ βουλήσει τοῦ κρατήσαντος, καὶ πολλαὶ μὲν αἱρέσεις φέρονται φιλοσόφων πρὸς τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος λόγον· οἱ μὲν γὰρ Στωϊκοὶ λέγουσι μὴ εἶναι ψυχὴν, [23] ἀλλ' ἐκ τῆς κράσεως τῶν στοιχείων ἀποτελεῖσθαι τὴν γένεσιν· ὅταν μὲν γὰρ πλεονάσῃ τὸ θερμὸν, ποιεῖ τὸν λέοντα, ὅθεν, φασὶ, [24] καὶ θυμικός ἐστιν· ὅταν δὲ κατὰ λόγον καὶ σχεδὸν ἐξ ἴσου συνέλθῃ, ποιεῖ τὸν ἄνθρωπον· ταύτης τῆς δόξης προστάτης ἐγένετο καὶ Γαληνός· ἕτερον δὲ πάλιν ἄλλας τερατολογίας καὶ λήρους εἰρήκασιν· τὸ γὰρ τοιόνδε σῶμα, φασὶ, πρὸς τὴν οἰκείαν κατασκευὴν τοιαύτην ἐπιλεξάμενον λαμβάνει καὶ τὴν φυχήν· οἱ δὲ περὶ Πλάτωνα [25] τῆς προτέρας δόξης εἰσὶν, ἣν καὶ προτεθείκαμεν, καὶ δοκεῖ μᾶλλον ἔχειν καλῶς· ἡ γὰρ ψυχὴ τὴν ἀρχὴν ἐνοικήσασα τῷ σώ-

20 Mon. κατά. 21 παραπλήσιος ὢν — — — διέστηκε τῷ μὴ κατ' ἀνάγκην Par. 1. om. 22 Mon. τῶν προτεθέντων π. ὑ. ἡ, παραδείγματα. 23 Mon. ψυχρόν, Parr. ψυχήν. 24 Codd. h. l. et paullo post φησί. 25 Mon. ἡ δὲ περιπλάτεια.

ματι βιάζεται μὲν αὐτὸ δουλαγωγεῖν· ἐκνικηθεῖσα [26] δὲ καταφέρεται καὶ μοχθηρὰν ἀναλαμβάνει προαίρεσιν· ἐπὶ δὲ τῆς ἐννοίας οὐχ οὕτως, ἀλλὰ πρὸς τὴν ἰδίαν αὐτῇ [27] βούλησιν οὕτω ποιεῖται τὴν πᾶσαν τοῦ λόγου μεταχείρισιν. [28]

γ'. Σύνθεσίς ἐστιν ἡ τῶν λέξεων ἁρμονία· ἀνάπαυσις δὲ ἡ πλήρωσις καὶ τὸ ἀπαρτίσαι τὴν διάνοιαν, ὅπερ ἐν τῇ ἀναγνώσει ἐστὶν ἡ στιγμή· ῥυθμός δέ ἐστιν ἡ ποιὰ ἀπήχησις· ἵνα δὲ σαφέστερον διαλάβωμεν, ἔννοια μέν ἐστιν ἐκεῖνο αὐτὸ τὸ νόημα, τὸ ὁρμηθὲν ἀπὸ τῆς ψυχῆς, τυχὸν τὸ διανοηθῆναι Ἑρμογένη ἐκθέσθαι, τί ἐστι φύσις ἑκάστης τῶν τρισκαίδεκα στάσεων· μέθοδος [29] ἡ ἐπεξεργασία καὶ μεταχείρισις τοῦ τοιοῦδε νοήματος, καὶ πρὸς τὸ τοιόνδε ἢ τοιόνδε ἐπινόημα μετάβασις καὶ ὑπαλ-

---

26 Mon. ἐκοικηθεῖσα. Parr. ἐκνικηθεῖσα. 27 Mon. αὐτοῦ.

28 Mon. μεταχείρησιν. Par. 1. μεταχείρισιν. Par. 2. διαχείρησιν. μετα

29 Parr. add. Μέθοδον καλεῖ τὸ τῆς ἐννοίας σχῆμα· ἰστέον, ὅτι ἄλλοι τεχνογράφοι τρία φασὶν, οὐχὶ ὀκτώ· γνώμην, οἷον τὸν νοῦν, σχῆμα, τουτέστι τὸν τύπον τοῦ λόγου, ἀπαγγελίαν, δι' ἧς ἀπαγγέλλεται τὰ πράγματα. Schol. min. μέθοδον τὴν οἰκονομίαν, τὸ πῶς δεῖ ἐκβάλλειν τὰ νοήματα, ἢ κατ' εὐθεῖαν ἢ κατὰ γενικὴν, ἢ τὰ καθεξῆς. Καὶ λέξιν· συνυπακουστέον τὸ ἔχει, ἵν' ᾖ καὶ λέξιν ἔχει. Ἢ τούτοις· ἐχρῆν ταύταις εἰπεῖν, ἀλλ' ὡς πράγματα ἔλαβε τὴν ἔννοιαν καὶ τὴν μέθοδον, ἤγουν τὴν μεταχείρισιν καὶ κίνησιν τῆς ἐννοίας, καὶ τεχνολογίαν, καὶ τοιάνδε ἢ τοιάνδε μεταμόρφωσιν. Ἰδιότητα· ἢ μακρά ἐστιν ἢ βραχεῖα, ἢ σεμνὴ ἢ τραχεῖα. Συνθέσεις· αἱ τῶν λέξεων ἁρμογαί. Ἀναπαύσεις· ἔνθα καταλήγει τὸ κῶλον καὶ τὸ κόμμα. Συνιστάμενον· ὃ γὰρ τοιῶσδε ἢ τοιόσδε ἦχος ἐν τοῖς λοιποῖς ἑπτὰ θεωρεῖται. Ἀναπεπαῦσθαι· ποτὲ μὲν εἰς δισυλλαβίαν, ποτὲ δὲ εἰς τρισυλλαβίαν. Τὸν ῥυθμόν· ἢ λεῖον, ἢ σφοδρὸν, ἢ τραχύν. Ἔστω γάρ· ὅτι ἡ γλυκύτης ἐπίτασίς ἐστιν ἀφελείας, ἡ δὲ ἀφέλεια ἀνάγεται ὑπὸ τὸ ἦθος, ὡς καὶ αὐτὸς ὕστερόν φησι.

λαγή· λόγος δέ ἐστιν εἴτουν ἡ λέξις, αἱ συλλαβαὶ, αἱ περιπλεκόμεναι τῇ τε πρώτῃ ἐννοίᾳ, τῇ τε ταύτης μεθόδῳ καὶ τοιᾷδε μεταχειρίσει· σχῆμα δὲ τοῦτό ἐστιν ἐν λέξει, ὅπερ ἐν τῇ ἐννοίᾳ μέθοδος· ἐκείνη γὰρ τὴν ἔννοιαν τοιάνδε παρίστησιν ἐν τῇ μεταχειρίσει, καὶ τοῦτο τὴν λέξιν τοιάνδε ἢ τοιάνδε ποιεῖ ἀμειβομένην [30] κατὰ πνεῦμα τυχὸν ἐκφέρεσθαι ἢ κατὰ ἀντίθετον ἢ κατὰ περίοδον. κῶλον δὲ καὶ κόμμα τί ἐστι, πολλάκις μὲν ἔμαθες, ἀλλὰ μὴν καὶ ἐν τῷ περὶ πνεύματος, ὅπερ ἐστὶ τέταρτον κεφάλαιον τοῦ τετάρτου τόμου τῶν περὶ εὑρέσεως· συνθήκη δέ ἐστιν ἡ ποιὰ σύνθεσις καὶ ἁρμολογία τοῦ λόγου· ἀνάπαυσις δέ ἐστιν ἡ κατάληξις τοῦ λόγου ἤτουν τῶν κώλων ἢ κομμάτων, οἷς ἐκφέρεται. Ῥυθμὸς δέ ἐστιν ὁ ποιὸς κ. τ. λ. Vol. V. p. 450. v. 3. — p. 452. v. 8.

ε. Ἐπεὶ τὸ λεγόμενον ἔδοξεν ἀσαφὲς εἶναι, βούλεται διὰ παραδείγματος αὐτὸ σαφηνίσαι· οὐ γὰρ ἕτερος ὑπελείπετο τρόπος αὐτῷ πρὸς ἀπόδειξιν τοῦ τε πράγματος ἀγνοουμένου καὶ τοῦ ὀνόματος· ἔτι δὲ καὶ κωλύοντος ἑτέρου λόγου τὰ παρακολουθήματα λαβεῖν πρὸς τὸ παραστῆσαι τοῦ ζητουμένου τὴν φύσιν· τάχα γὰρ ἐνταῦθα τὴν πᾶσαν πραγματείαν κατηνάλωσεν, εἴπερ ὅλως ἐκ τούτων ἐπεχείρησε διασαφηνίσαι τὸ λεχθέν· τὴν γὰρ πᾶσαν περὶ ταῦτα ποιεῖται σπουδήν· εἰ δ' ἐκ τῶν παρακολουθημάτων οὐκ ἠδύνατο τοῦτο ποιεῖν, ἀλλὰ μὴν οὐδὲ ἐκ τοῦ ὀνόματος· ὅταν γὰρ ἀγνοῆται τὸ πρᾶγμα, περὶ οὗ ὁ λόγος, ἀμφισβητηθήσεται δηλαδὴ καὶ τὸ ὄνομα. τί λοιπὸν, ἢ καταφυγεῖν ἐπὶ τὰς παραδειγματικὰς πίστεις; καὶ δὴ λαβὼν τὴν γλυκύτητα μέρος οὖσαν τοῦ παντὸς λόγου, παρίστησιν ἡμῖν ἐκ ταύτης τὸ προειρημένον, ἀλλ' οὐκ οἶδα, πῶς ἂν καλέσοιμεν παράδειγμα τὸ μήτε ὅμοιον ὁμοίῳ μήτε γνώριμον γνωρίμῳ ἢ [31] ἀγνοουμένῳ· καὶ

30 Mon. ἀμειβόμενοι, scripsi ἀμειβομένην. 31 γνωρίμῳ ἢ abest a Mon. et Par. 2., recepi ex Par. 1.

γὰρ καὶ μερικὸν ὂν ἐκ τοῦ ζητουμένου ληφθὲν ἐτέθη πρὸς ἀπόδειξιν, καὶ αὐτὸ τὴν ἀρχὴν ἀμφισβητούμενον ὂν, οὐκοῦν δεῖγμα μᾶλλον καὶ οὐ παράδειγμα τὸ τοιοῦτον, ἅ τε ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ληφθέν· ἀλλὰ νῦν ἢ καταχρηστικῶς οὕτως ἐκάλεσεν, ἢ κατὰ ἕτερον ἴσως λόγον· εἰδὼς γὰρ μάλιστα περὶ τοῦτο [32] καταφερομένους ἡμᾶς, ἐχρήσατο τῷ ὀνόματι τοῦ παραδείγματος· ἐπεί τοι καὶ τὴν γλυκύτητα δια μόνον τοῦτο τέθεικε· μυθικὴ γὰρ οὖσα μᾶλλον καὶ συγγενὴς κατά τι τῇ ποιητικῇ προκαλεῖται τοὺς ἐντυγχάνοντας, προθυμότερον αὐτῆς ἀντιλαμβάνεσθαι διὰ τὸ ἡδὺ καὶ τὸ ἀνειμένον τῆς συνθήκης· φιλεῖ γὰρ ἔχειν μάλιστα τάς τε ἐννοίας μυθικὰς καὶ ἀφελεῖς, ὡς ἐν τῷ περὶ αὐτῆς δειχθήσεται λόγῳ.

ς'. Ὡς [33] Δημοσθένης ἐν πολλοῖς τῶν ἰδιωτικῶν ἀπ' αὐτῶν ψιλῶν ἀρχόμενος τῶν πραγμάτων, καὶ ἐν τῷ κατὰ Σπουδίου κ. τ. λ. Vol. V. p. 452. v. 11. — p. 453. v. 12. Καὶ ὡς ἐν τῷ πρώτῳ Φιλιππικῶν τὸν περὶ τῶν θεωρικῶν λόγον οὐ προηγουμένως, [35] ἀλλὰ μετὰ ταῦτα ἐκίνησεν, ὑποβάλλων μετὰ τὸ εἰπεῖν περὶ χρημάτων καὶ ἄλλων τινῶν. ἰστέον δὲ, ὅτι τὸ σὺν ἀφηγήσει συνεξιέναι καὶ προηγουμένως, ἀλλὰ μὴ ἐξ ὑποβολῆς ἤ πως ἑτέρως, οὐ περὶ τῆς καθόλου μεθόδου ἔφη ὁ Ἑρμογένης· ἦ γὰρ οὐ ψευδὴς μόνον, ἀλλὰ καὶ ἠλίθιος ἔδοξεν ἂν ὁ λόγος αὐτῶν, ἀλλὰ μέθοδον εἶπε τὰ τοιαῦτα μόνης τῆς ἐννοίας

---

32 Mon. τούτων. 33 Ven. litteris β' — έ. omissis: Τὸ προηγουμένως καὶ σὺν ἀφηγήσει αὐτὰς διεξιέναι, ὡς Δημοσθ. κ. τ. λ. 34 Ven. post οἴουτε ψεύδεσθαι transit ad litt. ή. Καὶ ὅση δριμεῖα. 35 ἀλλὰ μετὰ ταῦτα ἐκίνησεν — — — ἀλλὰ μὴ ἐξ ὑποβολῆς Par. 1. om. In Mon. ipso confusio est: post ἄλλων τινῶν enim infertur: ἰστέον δὲ, ἐκίνησεν, ὑποβάλλων μετὰ τὸ εἰπεῖν περὶ χρημ. καὶ ἄλλων τινῶν, ὅτι τὸ κ. τ. λ. Justum ordinem habet Par. 2.

τῆς γλυκύτητος, ὃ ἐστιν ἀληθές τε καὶ ἀκριβὲς, ὁμοίως δὲ καὶ λέξις καὶ τὰ λοιπὰ μόρια[36] μόνης ἴσθι τὸν τεχνικὸν λέγειν τῆς γλυκύτητος, οὐ τὰ καθόλου.

ζ. Μέθοδον καλεῖ τὸ τῆς ἐννοίας σχῆμα· προηγουμένως δὲ εἴποι ἄν τις, ὅταν αὐτὸ τὸ πρᾶγμα ψιλὸν ἀφηγῆται καὶ ἀπ' αὐτοῦ ἄρχηται, μηδὲν ἔξωθεν ἐφελκόμενος, ὡς ἐν τῷ κατὰ Κόνωνος,[37] „ὑβρισθεὶς, ὦ ἄνδρες, καὶ παθὼν ὑπὸ Κόνωνος τοιαῦτα·" καὶ ἐν τῷ πρὸς Σπουδίαν.[38] „ἀδελφὰς ἔχομεν, ὦ ἄνδρες, γυναῖκας ἐγὼ καὶ Σπουδίας οὑτωσί·" τοῦτο γάρ ἐστι προηγουμένως, ἐπειδὴ ὁ περὶ τοῦ ὑποκειμένου πράγματος λόγος προηγεῖται καὶ ἐν ἀρχῇ τέτακται· ἄλλ' οὐχ ἕπεταί τινι τῶν ἔξωθεν· ὑποβολὴ δέ ἐστιν, ὅταν ἕτερόν τι προτάξαντες ὑποβάλλωμεν καὶ ἐπενέγκωμεν, ὃ βουλόμεθα, ὡς ἐν πρώτῳ Φιλιππικῶν Δημοσθένης τὸν περὶ θεωρικῶν λόγον οὐ προηγουμένως, ἀλλὰ μετὰ ταῦτα ἐκίνησεν, ὑποβαλὼν μετὰ τὸ εἰπεῖν περὶ χρημάτων καὶ ἄλλων τινῶν.

ή. Λέξις[39] δριμεῖά ἐστιν ἡ μὴ[40] κυρίως μὲν ἐπί τινος κειμένη, κατὰ δέ τινα μεταφορὰν ἐναργῶς δοκοῦσα τοῦ προκειμένου ἅπτεσθαι,[41] ὡς παρὰ Ξενοφῶντι μὲν ἐν κυνηγετικῷ ἡ φιλανθρωπία ἐπὶ κοινῶν κειμένη[42] διὰ τὸ σφόδρα φιλοσύνηθες τοῦ ζώου,[43] παρὰ δὲ Εὐριπίδῃ ἡ φιλανδρία ἐπὶ ψόγου πρὸς Ἑρμιόνην ὑπ' Ἀνδρομάχης εἰρημένη·[44]

Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
Ζήτει παρελθεῖν.

καὶ

---

36 Mon. μόνως. 37 in Con. init. 38 in Spud. init. 39 Litt. ή. exstat apud Sicel. 40 Mon. μέν. Sch. min. Αἴ τε τῆς καθαρότητος· ὡς αἱ Λυσίου καὶ Ἰσοκράτους σχεδὸν πᾶσαι μαθήσῃ καὶ ἐν καθαρότητι, ἥ ἐστι μία τῶν ὑποβεβηκότων τῇ σαφηνείᾳ. 41 ἅπτεσθαι Mon. Par. om. recepi ex Ven. Sicel. 42 Sicel. κειμένη ἐπὶ κυνῶν. 43 Sicel. addit: ἐν τοῖς ἀνθρώποις. 44 Androm. 228.

καὶ παρὰ τῶν νεωτέρων τινὶ, τὸ ἱπποδάμοιο χαλινοῦ,[45] ἐναργέστατα ἐπὶ τοῦ χαλινοῖ εἰρημένον, καὶ παρὰ Δημοσθένει· „ἐγὼ δὲ οὐ δέδοικα, εἰ ζῇ ἢ τέθνηκε Φίλιππος, ἀλλ' εἰ τῆς[46] πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι."

ϑ'. Λέξις δριμεῖά ἐστιν ἡ ὥσπερ ἐμφαντικὴ καὶ νοῦν δηλοῦσα ἕτερον, παρ' ὃν σημαίνει, ὡς ἐν τῇ Εὐριπίδου Ἀνδρομάχῃ,

Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
Ζήτει παρελθεῖν.

οὐ γὰρ σημαίνει ἡ λέξις τὸ τὸν ἄνδρα φιλεῖν, ἀλλὰ τὴν ἀκολασίαν καὶ τὸ μοιχεύεσθαι.

ί. Δριμεῖα λέξις ἐστὶν, οἷον τὸ φίλανδρος· τοῦτο γὰρ ἐν μὲν τῇ συνηθείᾳ[48] τὴν σώφρονα δηλοῖ, παρὰ δὲ Εὐριπίδῃ τὴν διαβεβλημένην· ἡ γὰρ δριμεῖα λέξις τὰ ἐν τῇ συνηθείᾳ λεγόμενα ϑέλει μετατρέπειν ἐπὶ ἑτέρων σημαινομένων, κυρίως μέντοι λεγομένων, ὡς ἔχει παρὰ Ξενοφῶντι[49] φιλάνθρωποι κύνες.

ιά. Διῃρημένη μὲν,[50] ὡς τὸ, κατὰ μῆρ' ἐκάη,[51] καὶ, κατὰ ταῦρον ἐδηδώς,[52] καὶ, διά τε σκόλοπας καὶ τάφρον ἔβησαν· πλατεῖα δὲ, ὡς τὸ, βοόωσι, Πηληϊάδεω.

ιβ'. Διαίρεσίς ἐστιν, ὅταν λέξις περισπωμένη εἰς δύο διαιρῆται, πυλῶν πυλέων· ἐν δὲ τῷ περὶ σεμνότητος πλατεῖαν εἶναι λέγει λέξιν ὁ τεχνικὸς τὴν διὰ τοῦ α καὶ η καὶ ω. διανοίγει[53] γὰρ τὸ στόμα ἡ ταῦτα ἔχουσα λέξις

45 Mon. ἱπποδαμιοχαλινοῦ. 46 Codd. τὸ τῆς πόλ. Dem. de fals. leg. p. 434. τὸ om. 47 Sicel. τυραννεῖσθαι. idem addit, quod exstat inter schol. min. Parr. Λέξις δριμεῖά ἐστιν ἡ ἐμφαντικὴ καὶ μεταφορικὴ, ὥσπερ λέγει φιλανθρώπους τοὺς κύνας καὶ φιλάνδρους τὰς πόρνας γυναῖκας [γυναῖκας Par. om.] 48 Mon. Par. 1. συννοίᾳ. Par. 2. συνη. quod magis placet. 49 de venat. III. 9. 50 Ven. Τῆς ποιητικῆς ἡ μὴ διῃρημένη μηδὲ πλατεῖα φύσει. 51 Il. *A*. 464. 52 Il. *P*. 542. 53 Mon. διάνοια.

καὶ ὄγκον ποιεῖ καὶ πλείονα χρόνον ἐπέχει· οὐ βούλεται οὖν τὴν ἐκ τούτων συνισταμένην ἁρμόττειν γλυκύτητα,[54] ἀλλὰ τὴν διὰ μακρῶν μὲν συλλαβῶν, οὐ μέντοι φύσει, ἀλλὰ θέσει, ὡς ἔχει τὸ Πάτροκλε, τὸ γὰρ α μακρὸν γίνεται διὰ τοῦ τ καὶ ρ. τὸ δὲ ο διὰ τοῦ κ καὶ λ.

ιγ'. Ἁρμόττει, φησὶ, ταύτῃ καὶ ἡ ποιητικὴ λέξις πλὴν τῆς διῃρημένης,[55] τῆς βοώσι καὶ τῆς φύσει πλατείας, ὡς ἔχει τὸ Πηληϊάδεω.

ιδ'. Χωρὶς ἐπεμβολῆς,[56] ἤγουν μεταξυλογίας· ἐπεμβολὴ γάρ ἐστι τὸ μεταξὺ τῆς ἀκολουθίας τοῦ διηγήματος ἔξωθέν τι ἐπεμβάλλειν,[57] οἷον κ. τ. λ. Vol. V. p. 453. v. 24. — p. 454. v. 5.

ιέ. Ἔστι[58] μὲν ἱκανὸς σφόδρα ὁ λόγος ὁ περὶ κόμματος[59] καὶ κώλου καὶ περιόδου, ἀναγκαῖον δὲ διὰ τὸ τοῖς λεγομένοις δύνασθαι παρακολουθεῖν βραχέα περὶ αὐτῶν εἰπεῖν· ὡς γὰρ πρὸς εἰδότας ὁ τεχνογράφος διαλέγεται· ἔστι τοίνυν κόμμα μὲν λόγος διάνοιαν δηλῶν ἐν δύο ἢ τρισὶ λέξεσιν, ὡς τὸ, μηδὲν ἄγαν, γνῶθι σαυτὸν, τὸ δὲ τέλειον κόμμα ἐπῳδῷ μετρεῖται, ὃς ἔχει συλλαβὰς ὀκτώ· κῶλον δέ ἐστι μόριον λόγου συγκείμενον

---

54 Mon. Par. 2. γλυκύτητα. 55 Par. ad marg. γρ. καὶ μὴ διῃρημένη, οἷον ἐὰν ἡ φωνὴ ᾖ μεγάλη, οἷόν ἐστι τὸ βοᾷ, βοῶν. ἡ δὲ διῃρημένη, ἵνα μὴ ὦσι χασμῳδίαι ἐν ταῖς λέξεσιν, ἢ μὴ κατὰ διαίρεσιν γινόμεναι, ὡς τὸ βοᾷ, ποιέων καὶ τὰ παραπλήσια. 56 Sch. min. ἵνα μὴ ἐπεμβάλῃς μεταξὺ τοῦ κώλου καὶ τῆς ἐννοίας ἕτερόν τι. 57 Par. 1. ἐπεμβαλεῖν. Mon. Par. 2. ἐπεμβάλλειν. 58 Ven. litt. ιβ' — ιδ'. omissis: Αἵ τε τῆς καθαρότητος ἅπασαι, ὡς αἱ Λυσίου καὶ Ἰσοκράτους πᾶσαι, κῶλα δὲ τὰ ὀλίγῳ τῶν κομματικῶν μείζονα, ἢ καὶ τὰ κομματικὰ αὐτά. 59 Sch. min. τὰ κομματικά· τὸ ἀθανάτων ἐπ' αἴνων ἀρετὴν ἐπαινέσομαι. Τὰ τοῦ λόγου μέρη· οἷον ἀγαθὸν ἄνθρωπος· ἀγαθὸν μία λέξις, καὶ τὸ ἄνθρωπος ἑτέρα· οὐ μὴν ἡ παντάπασι χασμῳδίας ἔχουσα. Ἡ ἀνειμένη· ἢ ἔχουσα χασμῳδίας ὀλίγας.

ἐξ ὀνομάτων πλειόνων,[60] τελειοῦν τὴν ἐπὶ μέρους διάνοιαν, ὡς τὸ „ἀντὶ πολλῶν, ὦ Ἀθηναῖοι·“[61] μέτρον δὲ αὐτοῦ ἑκκαίδεκα συλλαβαί· τὸ δὲ σχοινοτενὲς καὶ μέχρι εἴκοσι προέρχεται συλλαβῶν· περίοδος δέ ἐστι μόριον συγκείμενον ἐκ κώλων δύο ἢ καὶ πλειόνων, ἀρχὴν ἔχον καὶ κατάληξιν τελειοῦσαν τὴν διάνοιαν,[62] ὡς τὸ, „ἄνδρες δικασταὶ, μάλιστα μὲν ἕνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν.“

ις'. Ἡ κεχηνυῖα καὶ συγκρουσμῶν πλήρης· εἰ γὰρ πάντη διεστηκυῖαν λάβωμεν, διεσπασμένη εὑρεθήσεται καὶ ἄῤῥυθμος.[63]

ιζ. Διεστηκυῖά ἐστιν ἡ λελυμένη καὶ κεχηνυῖα· κεχηνέναι δέ φαμεν λέξιν, ὅταν μὴ συμφώνοις συμπλέκηται τὰ φωνήεντα· οὐ τοσοῦτον οὖν αὕτη θέλγει, ὡς ἡ κεκραμένη φωνήεσι καὶ συμφώνοις· τινὲς δὲ καὶ τὴν συγκρουσμὸν συμφώνων ἔχουσαν ἀλλοτρίαν γλυκύτητος ὡς ἀπόκροτον εἶναί φασιν.

ιή. Βάσεις[64] λέγει τοὺς μετρικοὺς πόδας, οἷς ἐπιβέβηκεν ὁ λόγος, ὥσπερ τὰ ζῶα τοῖς ποσί· βάσις δὲ

60 Mon. iterum infert: ἢ τρισὶ λέξεσιν, ὡς τὸ μηδὲν ἄγαν. 61 Ol. I. init. 62 τὴν διάνοιαν Mon. om. recepi ex Ven. et Parr. — Dem. in Lept. in. 63 Mon. ἄρυθμος. v. 15. συμπλέκεται. et v. 16. θέλει, scr. θέλγει. 64 Ven. litt. ις'. ιζ. omissis: Οὐ μήν γε πάντη διεστηκυῖα ἢ κεχηνυῖα καὶ συγκρουσμῶν πλήρης· κατὰ δὲ τὰς βάσεις ἡ δακτυλική. Sequentia communia habet cum Par. [usque ad: Θέσις δέ ἐστι μέρος ποδὸς τὴν ὁρμὴν κάτω λαμβάνον, quae verba Par. om.] Βάσις καλεῖται ἡ κατάμιξις τῶν κώλων, ἢ καὶ ἀνάπαυσις λέγεται, μεταφορικὴ δέ ἐστιν ἡ λέξις ἀπὸ τῶν χορευτῶν. τὴν γὰρ ἐν χοροῖς βάσιν ὁρίζονται οὕτως οἱ μουσικοί· βάσις ἐστὶν ἄρσεως καὶ θέσεως ποδῶν σημείωσις· ἄρσις δέ ἐστι μέρος ποδῶν τὴν ὁρμὴν ἄνω λαμβάνον (Par. καταλαμβ.) Θέσις δέ ἐστι μέρος ποδὸς τὴν ὁρμὴν κάτω λαμβάνον.

ἐστιν ἡ σύνταξις τῶν ποδῶν· τὸ μὲν γὰρ ἡρωϊκὸν κατὰ πόδας μετρεῖται, ἐπειδὴ ἐξ ἰσοχρόνων ποδῶν συνέστηκε, δακτύλου τυχὸν καὶ σπονδείου.

ιθ'. Ἀνάπαυσις [65] μέν ἐστιν ἡ κατάληξις τῶν κώλων, βεβηκυῖα δὲ ἡ εἰς πλείους καταλήγουσα μετὰ τὸ πληροῦν τὴν διάνοιαν καὶ τὸ πλὴν αὐτὸς αὐτῷ.

κ'. Ἀπὸ γὰρ τῆς τοιᾶσδε συνθήκης τῆς λέξεως καὶ τῆς [1] καταλήξεως τῶν κώλων ὁ τοιόσδε συνίσταται ῥυθμός· ῥυθμὸς δέ ἐστι χρόνος διῃρημένος ὑπὸ λέξεως [2] ἢ κινήσεως τινα τάξιν ὡρισμένην λόγῳ, ὡς δὲ Ἀριστόξενος καὶ Ἡφαιστίων φασὶ, χρόνων τάξις· χρόνος δέ ἐστι μόριον ποδὸς ἢ φωνῆς μέτρον ἐλάχιστον, ἢ μέτρον τι [3]

Βάσις ἐστὶ καὶ ἡ συνάγουσα τὴν πρότασιν καὶ τὴν ἀπόδοσιν, ὡς δι' ἣν δυστυχοῦσιν ἀπαιδείαν αἱ νῆσοι. Ζήτει τὸ ἔσχατον κεφάλαιον τοῦ πρώτου περὶ εὑρέσεως τόμου, ἐν ᾧ διέξεισιν ὁ τεχνικὸς περὶ παντὸς προοιμίου· ἄρσιν δὲ καὶ θέσιν ποδῶν τὴν ἐν τῷ ἄρχεσθαι καὶ λήγειν τῶν χορευόντων ὁρμὴν λέγει, καὶ πόδας οὐ τὰ μέτρα, ἀλλὰ τοὺς τῶν χορευτῶν πόδας· εἰώθασι γάρ τι λέγειν ἐν τῷ ἄρχεσθαι, περιϊέναι, καὶ ἐν τῷ ἵστασθαι τῆς χορείας ἔξωθεν ὡς ἐπιφώνημα· τὸ αἴρειν οὖν τὸν πόδα, εἶτα τιθέναι, ἄρσιν καὶ θέσιν ὠνόμασαν· δακτυλικὸν δὲ μέτρον ἐστὶν ἐκ μακρᾶς καὶ βραχειῶν ὡς ἥλιος· ἀναπαιστικὸν δὲ τὸ ἐναντίον αὐτῷ, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, οἷον Ἑλένη. 65 Ven. ἀνάπαυσις δέ. Ante litt. κ'. idem: Ὁ δὲ ῥυθμὸς ὥσπερ εἶδός τι ἐπακολουθεῖ τῇ τε συνθέσει τῇ ποιᾷ καὶ τῇ ἀναπαύσει.

1 καὶ τῆς καταλήξ. τῶν κώλων Ven. om. 2 Ven. inserit: ἢ μέλους. 3 τι Mon. om. Post κινήσεως Ven. transit ad litt. κδ'. Sch. min. Ῥυθμὸν λέγει τοὺς δακτύλους καὶ τοὺς ἄλλους πόδας. Ἀνάπαυσις δέ· ὅταν τὰ κῶλα ἀπαρτίζῃ τὴν ἔννοιαν καὶ καταλήγῃ εἰς μακρὰς λέξεις καὶ μακροκαταλήκτους, ὁποῖά ἐστι τὰ τῆς σεμνότητος. Ἡ βεβηκυῖα· ἡ εἰς μακρὰν μᾶλλον καὶ βεβηκυῖαν καταλήγουσα σύστασιν. ib. ἡ εἰς μακρὰν μᾶλλον καὶ βεβηκυῖαν καταλήγουσα σύστασιν. ib. ἡ εἰς βάσιν λήγουσα καὶ πόδα τέλειον· τοιαύτην δὲ καὶ τὴν τῆς σεμνότητος εἶναι βούλεται, ὡς δι-

κινήσεως, καὶ ὥσπερ ἐκ χειρῶν τυχὸν καὶ ποδῶν μερῶν ὄντων καὶ τῶν ἄλλων ὁ ἄνθρωπος συνίσταται, ὅς ἐστιν εἶδος, οὕτως ἐκ συνθήκης καὶ ἀναπαύσεως γίνεται ὁ ῥυθμός, ἐκ μερῶν ὄντων ἐκείνων, αὐτὸς ὥσπερ εἶδος ὤν· διαιρεῖται δὲ εἰς ἄρσιν καὶ θέσιν· καὶ ὁ μὲν Διονύσιος τὸ βάθος αὐτοῦ διερευνήσας ἐκ τῶν λέξεων λέγει γίνεσθαι τὸν ῥυθμόν· ὁ δὲ τεχνικὸς παρακολουθῶν τῇ τε συνθήκῃ καὶ τῇ ἀναπαύσει ἄλλο τι λέγει ὄντα παρὰ ταῦτα. δεῖ δέ, καθὰ δεδηλώκαμεν, τὴν βάσιν εἶναι σταθερὰν, εἰ [4] καὶ οἱ περὶ Διονύσιον οὐ μόνον τὴν βάσιν εἶναι θέλουσιν, ἀλλὰ καὶ πᾶσαν συλλαβήν· δι' ἣν δὲ αἰτίαν ὁ τεχνικὸς τὴν βάσιν εἰς μακρὰν βούλεται καταλήγειν, ἐν τῷ περὶ ἀναπαύσεως λελέξεται λόγῳ.

κά. Ἰστέον, ὅτι οἱ ἄλλοι τεχνογράφοι τρία φασὶν, [5] οὐχὶ ὀκτὼ, γνώμην, οἷον τὸν νοῦν, σχῆμα, τουτέστι τὸν τύπον τοῦ λόγου, ἀπαγγελίαν, δι' ἧς ἀπαγγέλλεται τὰ πράγματα.

κβ. Ἀντὶ τοῦ [6] ταῦτά εἰσι πᾶσαι αἱ ἰδέαι· διὰ τού-

δάξει. ib. ἡ καταλήγουσα εἰς μακρόν. Ὁ δὲ ῥυθμός· ῥυθμὸν λέγει τὴν ἐκ τῶν λέξεων ἀπήχησιν τῆς φωνῆς, ὥσπερ ἐπὶ τῆς οἰκίας ἀπὸ λίθων συνίσταται ὁ ῥυθμὸς τοῦ οἴκου. Παρὰ τὴν συνθήκην· τὸ γὰρ εἶδος τῆς αἰτίας. 4 Par. εἰ δὲ καί. 5 τρία φασὶν Par. om. Parr. ἰστέον, ὅτι οἱ ἄλλοι κ. τ. λ. et h. l. et supra ante litt. γ'. ponunt. 6 τοῦ Par. om. Sch. min. Ὅσον ἐμφῆναι· ἀλλὰ διὰ τοῦτο ἐλάβομεν τὴν γλυκύτητα εἰς παράδειγμα νῦν, ἵνα δείξωμεν, ἐκ τίνος γίνεται πᾶν εἶδος λόγου. Λόγων εἶδος· μία γὰρ ἑκάστη ἰδέα διὰ τούτων τῶν ὀκτὼ μορίων ἀκριβοῦται· εἶδος γὰρ νῦν τὰς ἰδέας ὠνόμασε. Ταύτῃ· τοῦτον τὸν τρόπον. Διὰ πάντων· τοῦτο λέγει, ὅτι οὐ δυνατὸν εἱρεθῆναι μίαν ἰδέαν ἐκ πασῶν τῶν ὀκτὼ μερῶν αὐτῆς συνισταμένην χωρὶς μόνου τοῦ Δημοσθένους. Ἐξαίρω· ἔξω τίθημι, ἐκβάλλω. ἀντὶ τοῦ· ἐκβάλλω μόνον τὸν Δημοσθένην. Μέρει μέν τινι· τοῦτο λέγει, ὅτι ὁ Δημοσθένης μόνῃ τῇ περιβολῇ ἐχρήσατο πλείονι τῶν λοιπῶν ἰδεῶν. ib. μέρος καὶ εἶδος τὸ αὐτὸ λέγει.

των, φησὶ, τῶν λεχθέντων ἅπαντα εἴδη τῶν λόγων θεωρεῖται καὶ γίνεται, φημὶ δὴ ἐννοίας, μεθόδου, λέξεως καὶ ἑξῆς· δοκοῦσι δέ πως εἶναι ταῦτα μήπω σαφῆ· καὶ τοῦτο ὁ τεχνικὸς συγχωρεῖ· πλὴν ὑπερτίθεται διὰ παραδειγμάτων αὐτὰ σαφηνίσαι, καὶ μάλα εἰκότως· ἐπ᾽ ἄκρον γὰρ μηκυνομένης τῆς διδασκαλίας τοὐναντίον ἀσαφέστερος ὁ λόγος ἐγένετο. ἄλλως τε καὶ νῦν ἐφ᾽ ἑκάστου λέγειν παραδείγματος περιττὸν, ὅπου γε καὶ περὶ γλυκύτητος ἐπὶ τοῦ παρόντος οὐ πρόκειται ζητεῖν· ὕστερον γὰρ ἀκριβέστερον λελέξεται καὶ περὶ αὐτῆς. χάριν δὲ παραδείγματος αὐτὴν τέθεικεν, ὅπως ἐξ αὐτῆς εὐμαθέστερον ὁρμώμενοι καὶ τοῖς ἑξῆς ῥᾷστα παρακολουθήσωμεν.

κγ'. Πανταχοῦ ὁ Ἑρμογένης φεύγει τὰς παρεκβάσεις, καὶ τῇ περὶ τῶν στάσεων πραγματείᾳ τοῦτο δηλοῖ· σαφήνειαν γὰρ οὐ πέφυκε ποιεῖν ἀταξία.

κδ'. Εἶδος[7] μὲν πάλιν καταχρηστικώτερον τὰς ἰδέας φησίν· ἀδύνατον δέ φησιν διὰ πάντων τῶν τῆς ἰδέας τύπων ἕνα συστῆναι λόγον· ἀτερπὴς[8] γὰρ ἡ τοιαύτη σύνθεσις, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ.

κε. Ὁ νοῦς οὕτως·[9] οὐ δυνατὸν εὑρεῖν παρά τινι τῶν παλαιῶν μιᾶς ἰδέας οἰκεῖον δημιουργηθέντα λόγον ἀκριβῶς διὰ τῶν προειρημένων ὀκτώ· οὐ γὰρ ἅμα πᾶσιν, ἀλλὰ τοῖς πλείοσι καὶ οἰκείοις ἑκάστης ἰδέας ἐχρήσαντο· ὁ μέντοι Δημοσθένης οὐχ ὁμοίως τοῖς ἄλλοις τοῖς τῆς μιᾶς ἰδέας οἰκείοις μέρεσιν ἐπλεόνασε τῇ περιβολῇ, ἀλλὰ πάσαις μεμιγμένως ἐχρήσατο.

κς'. Ὡς εἶναι γένος τὸ μέγεθος, καὶ οὐκ εἶδος· διαιρεῖται γὰρ εἰς περιβολὴν τραχύτητος καὶ ἄλλας ἰδέας, ἀλλ᾽ οὐ διὰ τοῦτό ἐστι γένος, ἀλλ᾽ ἐπειδὴ ἡ περιβολὴ

7 Ven. Ἀκριβῶς μὲν διὰ πάντων ἑνὸς εἴδους εἰργασμένον λόγον· ἕως τοῦ ἀδύνατον εὑρεῖν. 8 Ven, εἰκότως ἀπρεπὴς ἡ τοιαύτη. 9 οὕτως Mon. om. recepi ex Parr. in Par. 2. ὁ νοῦς δὲ οὕτως.

ὑφ' ἑαυτὴν ἀναγομένη ὁλόκληρόν τί ἐστιν εἶδος, καὶ μέρος δὲ καλεῖ τὴν περιβολήν, ἐπειδὴ οὐ τέμνεται εἰς ἄλλην ἰδέαν, ἀλλ' ἔστιν [10] ἄτομόν τι, ὡς Σωκράτης τυχὸν ἢ καὶ Ἀλκιβιάδης· εἶτα ἐπειδὴ ἐν τοῖς ἀνωτέρω μέρεσιν ἐκάλεσε τὰ ὀκτώ, ἐξ ὧν ἑκάστη ἰδέα γίνεται, οἷον ἔννοιαν, μέθοδον καὶ τὰ ἑξῆς, διὰ τοῦτο ἐπιδιορθούμενος εἶπε· μᾶλλον δὲ εἴδη· εἶδος γάρ ἐστιν ᾧ ὑποτέτακται τὰ ἄτομα, οἷον ἄνθρωπος· ὥστε γένος τὸ μέγεθος, εἴδη δὲ περιβολή, τραχύτης. μέρη δὲ τὰ ὀκτώ, ἐξ ὧν αἱ ἰδέαι γίνονται.

κζ'. Μέρος τὴν περιβολὴν λέγει, ἥ τις ἀνάγεται ὑπὸ τὴν δευτέραν ἰδέαν, ἣν καλεῖ μέγεθος· μέρος μὲν οὖν λέγει αὐτὴν, ἵνα νοήσωμεν εἶδος μὲν εἶναι τὸ μέγεθος, [11] γένος δὲ τὸν πολιτικὸν λόγον· μέρη δὲ σεμνότητα, περιβολὴν, τραχύτητα καὶ τὰς ἄλλας, αἳ ἀνάγονται ὑπὸ τὸ μέγεθος· κατὰ γὰρ αὐτὸν διαιρεῖται τὰ μὲν γένη εἰς εἴδη, τὰ δὲ εἴδη, ἃ καὶ καλεῖ ὅλα ἐν τῷ περὶ τῶν στάσεων, εἰς μέρη· ἀλλ' ἐπειδὴ οἱ φιλόσοφοι μέρος λέγουσιν ἐκεῖνο, ὃ μὴ καθ' ἑαυτὸ συνίσταται χωρὶς ἑτέρου, μηδὲ ἀρκεῖ ἑαυτῷ πρὸς σύστασιν, οἷον κεφαλὴ, χεὶρ, ποῦς· οὐδὲ τὴν περιβολὴν ἐφ' ἑαυτῆς οὖσαν καὶ ἀρκοῦσαν ἑαυτῇ, ὡς ὑποκατιὼν ἐρεῖ, διὰ τοῦτο ἐπιδιορθούμενος λέγει, μᾶλλον δὲ εἴδει, ὁλόκληρον γὰρ τὸ εἶδος.

κή. Ἀμφιβόλως [12] μὲν ἐξενήνοχεν τὸ χωρίον, ἐὰν δὲ γνῶμεν, τί διαφέρει μέρος εἴδους, ἀκριβῶς εἰσόμεθα, [13] πῶς τὸ αὐτὸ καὶ μέρος καὶ εἶδος ἐκδέξασθαι δύναται· τὸ μὲν οὖν μέρος τοῦ ὅλου χωρισθὲν αὐτό τε ἀτελές ἐστιν καὶ τὸ λειπόμενον κολούει τῆς οἰκείας τελειότητος· οἷον ὅλον

---

10 ἀλλ' ἔστιν Mon. per lacunam om. 11 Sch. min. Ἐν τῶν ὑπὸ τὸ μέγεθος εἰδῶν ἡ περιβολὴ καὶ τελευταῖον. 12 Ven. litt. κέ.—κζ'. omissis: Ἀλλὰ μέρει μέν τινι, μᾶλλον δὲ εἴδει μιᾶς πλείονι χρησάμενος τῶν λοιπῶν. 13 Ven. γνωσόμεθα.

μέν [14] ἐστιν ὁ ἄνθρωπος, μέρη δὲ αὐτοῦ κεφαλή, χεῖρες, πόδες, τὸ δὲ εἶδος διαστὰν τοῦ γένους, ἐκείνῳ δὲ οὐκ ἐμποδίζει πρὸς τελειότητα, καὶ αὐτὸ ἐφ' ἑαυτοῦ γινόμενον πλῆρές τι καὶ τέλειον ἀναφαίνεται, [15] οἷον γένος μὲν τὸ ζῶον, εἴδη δὲ αὐτοῦ, βοῦς, ἵππος, ἄνθρωπος· ἡ τσίννν περιβολὴ κυρίως μὲν ἂν εἶδος εἴη τοῦ μεγέθους· ὑπὸ γὰρ τὸ μέγεθος ὡς γένος ἀνάγεται σὺν ταῖς ἄλλαις πέντε ταῖς προειρημέναις. εἰ δὲ ὡς ὅλον τι λάβοιμεν τὸ μέγεθος, πᾶσαι γὰρ αἱ ὑπ' αὐτὸ μεγέθους εἰσὶ ποιητικαὶ, μέρος ἐροῦμεν καταχρηστικῶς τὴν περιβολήν.

κθ'. Ταύτῃ, φησὶ, τῇ περιβολῇ, ἥ τις πολλοστὸν [16] μέρος ἢ εἶδος, οὐ γὰρ διαφέρεται περὶ τούτων ὁ τεχνικὸς, πλείονι χρησάμενος. τῶν λοιπῶν ἐξ ἴσου χρῆται τοῖς ἄλλοις, ἑκάστῳ τὸ κατὰ ἀξίαν νείμας, οἱονεὶ ἑκάστῃ ἰδέᾳ χρησάμενος, ὡς προσῆκον ἦν. καὶ τὸ κατ' ἀξίαν αὐτῇ ἀπονείμας, οἷα διαιτητὴς ἄριστος.

λ'. Οἷον ἐννοίᾳ, ἀναπαύσει, τοῖς τοιούτοις· τὰ μεγέθη φησὶ τοῦ λόγου τοῖς ῥηθεῖσι μορίοις καθαιρῶν καὶ ὑποβιβάζων, τὰ δὲ λεπτὰ καὶ μικρὰ διὰ τῶν αὐτῶν τούτων ἐπαίρων καὶ μεγαλύνων καὶ ὑψῶν καὶ καταμιγνὺς ἕκαστα τῶν ἄλλων· οἷά τις ἄριστος τέκτων ἀκριβεῖ τῷ κανόνι χρώμενος ἓν μονοειδὲς ἀπηκρίβωσε κάλλος λόγου· τῷ ὄντι γὰρ κακία λόγου νῦν μὲν ὑψηλῶς καὶ ἀξιωματικῶς διεξιέ-

---

14 Ven. μέν τί ἐστιν. 15 Parr. Ven. ἀναφαίνεται. Mon. ἀναφέρεται. 16 Sch. min. ὀλίγον. Τούτῳ γάρ· μέρεσι τῶν ἰδεῶν ἢ εἴδεσι· προεῖπε γὰρ, ὅτι εἰσί τινες γενικαὶ ἰδέαι, εἰς εἴδη διαιρούμεναι. Καταποικίλλων οὕτω· ἀντὶ τοῦ τὰ δοκοῦντα διεστάναι καὶ μὴ οἰκεῖα μιγνὺς, ἁρμόττοντα δείξας ἀλλήλοις. Πλεονάζειν· πλεονασμὸν λέγει ἐνταῦθα οὐ τὸ πλῆθος τῶν ὀκτὼ μορίων τῆς ἰδέας, ἀλλὰ τὴν λύσιν, οἷον τιθεῖ τῆς τραχύτητος τὴν λέξιν καὶ τὰ σχήματα, καὶ δύο ὄντα μόνα ἰσχυρότατά εἰσι παρὰ τὰ λοιπὰ πάντως, καὶ κοινωνοῦσιν αἱ ἰδέαι κατὰ τὰ μόρια ἀλλήλαις· γίνεται δὲ ἑκάστη ἰσχυρὰ οὐκ ἐκ τῶν κοινῶν, ἀλλ' ἐκ τῶν ἰδίων.

ναι, νῦν δὲ ὑπτίως καὶ ταπεινῶς, ὅπερ διέδρα Δημοσθένης, οἰκείως κιρνῶν [17] τὰ μὴ οἰκεῖα καὶ ἁρμόττων αὐτὰ ἑαυτοῖς, καὶ σπεύσας τὸ ὅλον εἶναι τοιοῦτον· τίνι δὲ τρόπῳ; τῇ μίξει καὶ κράσει τῶν ἰδεῶν· ὥστε ἐξ ἁπάντων τῶν καλῶν ἓν τοῦτο κάλλιστον εἶδος ἀπεργάσασθαι λόγων, τὸ Δημοσθενικόν. [18]

λγ'. Κυριωτάτους [19] φησὶν εἶναι τόπους ἑκάστης ἰδέας, καθ' οὓς μηδεμιᾷ τῶν λοιπῶν κοινωνοῦσα εὑρίσκεται· ἐκεῖνοι γὰρ αὐτὴν καὶ χαρακτηρίζειν ὅτι μάλιστα δύνανται· χρὴ τοίνυν τὸν βουλόμενον ἀκριβῶς ἰδέαν τινὰ λόγων διαπλέξαι, τοὺς μὲν ἐπικοίνους αὐτῆς παραιτεῖσθαι τρόπους, ὡς ἄλλοσε ἄγοντας, ἀνιχνεύειν δὲ τοὺς κυριωτάτους καὶ τῇ χρήσει τούτων πλεονάζειν· οἷον ἡ σφοδρότης τῇ τραχύτητι κατὰ μὲν ἐννοίας τινὰς καὶ λέξεις καὶ μεθόδους, συνθήκην τε καὶ ἀνάπαυσιν κοινωνεῖ, σχήμασι δὲ καὶ κώλοις πάντη διέστηκεν. Ὁ τοίνυν ἐναργῆ σφοδρότητα βουλόμενος ἐργάσασθαι σχήμασι καὶ κώλοις σφοδροῖς πλεοναζέτω καὶ κυριώτατα [20] τεύξεται τοῦ σκοποῦ.

λδ'. Ἐπειδὴ τὸ πλεονάζειν καὶ ἐν πλήθει ἐστὶ καὶ ἐν δυνάμει, κυριωτερόν φησιν εἶναι τὸ πλεονάζειν [21] κατὰ δύναμιν· ἔστι γὰρ καὶ τοῖς πλείοσι χρήσασθαι, λέγω δὴ τῶν ποιούντων ἑκάστην ἰδέαν, οἷον μεθόδοις, σχήμασι, συνθήκῃ, ἀναπαύσει καὶ τοῖς τοιούτοις, ἀλλ' οὐ τὸν τοιοῦτον ἀποδέχεται πλεονασμόν, ἀλλ' ὅταν τοῖς κυριωτά-

---

17 Mon. κινῶν. Parr. κιρνῶν. 18 Ven. κθ'. et λ'. omissis ita: τὰ δ' αὖ λεπτὰ καὶ μικρὰ διὰ τῶν αὐτῶν τοίτων ἐγείρων. Καὶ γὰρ Ἰσ. Vol. V. p. 455. v. 10—18. ubi litt. λά et λβ'. 19 Ven. praemittit: Τὸ τοῖς κυριωτάτοις ἰδέας ἑκάστης μάλιστα χρῆσθαι. Κυριωτάτους φησὶν (Mon. Par. 2. φασίν). 20 Mon. κυριωτάτου. 21 Sch. min. οἷον ὁ μὲν κατὰ γοργότητα τυχὸν μόνην, ὁ δὲ κατὰ σαφήνειαν. Ταῦτα παραλείπει· τὰ ἴδια δηλονότι. Ἄλλοις χρώμενος· τοῖς κοινοῖς. Κατ' ἐκεῖνα· τὰ κοινά.

τοις ἑκάστης ἰδέας χρησώμεθα· τοῦτο γὰρ μάλιστα καὶ τὴν ἰδέαν ἐμφαίνει, καὶ πλεονάζει καὶ τὰ κράτιστα τῶν λόγων ποιεῖ· εἰ δὲ ταῦτα, τουτέστι τὰ κυριώτατα, παραλίποι τις τοῖς ἄλλοις χρησάμενος ἅπασιν, εἰ καὶ πλεονάζει κατ᾽ ἐκεῖνα, ἀλλ᾽ οὖν ἧττων [22] τυγχάνει τοῦ εἴδους ὁ λόγος ἐκείνου, οὗπερ οὐκ ἦν οἰκεῖα οἷς ἐχρῆτο.[23]

λέ. Ὥσπερ τῶν προσώπων τὴν τάξιν ἡμᾶς ἐδίδαξεν ἐν τῷ περὶ τῶν στάσεων, καὶ τὰ μὲν ἰσχυρότερα προτάττει, τὰ δὲ ἀσθενέστερα ἐπάγει κατὰ δευτέραν καὶ τρίτην τάξιν, οὕτω κἀνταῦθα τοῖς ἰσχυροτέροις τὴν πρώτην τάξιν ἀποδιδοὺς τῶν ἄλλων ἕκαστον κατὰ τὴν ἰσχὺν ἐφεξῆς τάττει.

λς΄. Τοῖς συμβαλλομένοις [24] κατὰ τὸν τῆς δυνάμεως καὶ κυριωτέροις οὖσι κατὰ τὸν τοῦ πλεονασμοῦ λόγον, ἐκείνοις δηλαδὴ καὶ τὴν πρώτην ἀποδίδωσι τάξιν, ἅπερ ἔχουσιν ἰσχυροτέραν τὴν δύναμιν· ἐν γὰρ τοῖς φθάσασι κατὰ φυσικὴν ἀκολουθίαν τὴν ἀπαρίθμησιν ποιησάμενος ἐνταῦθα μετατίθησι τὴν τάξιν, ἅτε περὶ τῆς δυνάμεως τῶν ποιούντων διαλεγόμενος, μηδεὶς δὲ καταγνῷ, πρὶν ἂν ἀκριβῶς διασκοπήσῃ, τί τὸ κατανάγκασαν ἐν τῷ περὶ τῆς δυνάμεως λόγῳ μεταθεῖναι τὴν τάξιν· ζητήσας γὰρ ἐπιπόνως καὶ τὴν αἰτίαν εὑρὼν θαυμάσει τὸν τεχνικὸν, ὡς εὐκαίρως τὰ παρὰ τῇ φύσει πρωτεύοντα μετέθηκε κατεπειγούσης τῆς δυνάμεως· ἐπεί τοι καὶ τὴν ἀρχὴν οὐκ ἐνεχώρει κατά γε τὴν ἐμὴν κρίσιν ἄλλως ποιήσασθαι τὴν

22 Mon. ἥπτων. 23 Par. addit: Ἄλλη τις λόγου ἰδέα, ἔναρθρος δηλονότι, οὔτε σεμνότητος οὔτε λαμπρότητος, οὔτε ἄλλο τι τῶν τοιούτων ἰδεῶν λόγος δύναται εἶναι, οἷον ὁ μουσικὸς ῥυθμός· προσεκτέον δὲ, ὅτι ἰδέα καὶ εἶδος διαφέρουσιν, εἶδος μὲν γάρ ἐστι τὸ συμβουλευτικὸν ἢ πανηγυρικὸν ἢ δικανικὸν εἶδος τῆς ῥητορικῆς, ἰδέαι δὲ αἱ καθολικαὶ, δι᾽ ὧν ἕκαστον τῶν εἰδῶν τούτων ἀποτελεῖται, τουτέστι τοῦ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ, ἃς ἐνταῦθα διδάσκει ἡμᾶς. 24 Mon. συμβουλευομένοις.

ἀπαρίθμησιν, ἢ τοῦτον τὸν τρόπον τὸν βουληθέντα διαλαβεῖν περὶ τῆς τῶν ποιούντων δυνάμεως· τῶν γὰρ τεχνῶν αἱ μὲν τῇ αἰσθήσει μόνον δουλεύουσιν, αἱ δὲ τῷ λόγῳ· εἰσὶ δὲ πάλιν, αἳ διὰ τὸν λόγον φροντίζουσιν καὶ τῆς αἰσθήσεως· οἷον οἱ περὶ κιθάραν ἐσπουδακότες ἢ γραφικήν, ἢ τῆς ὀψοποιΐας ἀντιποιούμενοι, καθὰ Μίθαικος [25] καὶ Θεαρίων· οὗτοι τῇ αἰσθήσει δουλεύουσι, χαίρειν τοὺς λόγους ἐάσαντες· ἔνιοι δὲ καὶ τὴν αἴσθησιν αὐτὴν διαφθείρουσιν, [26] ἀλλοτρίως αὐτῇ προσφερόμενοι· τὴν γὰρ ἀνειμένην πάνυ δίαιταν καὶ τρυφὴν μὴ δυναμένη φέρειν ἡ αἴσθησις ταλαιπωρεῖ πολλάκις ἐκ τῆς ὑπερβαλλούσης ἀκρασίας κατενεχθεῖσα πρὸς νόσον· οἱ δὲ Περιπατητικοὶ τῶν λόγων φροντίσαντες καὶ μηδένα τῆς αἰσθήσεως ποιησάμενοι λόγον κινδυνεύουσιν ἐπὶ τοῦ παρόντος ὀνομάζεσθαι [27] σπάνει τῶν μετιόντων τὴν τοιαύτην φιλοσοφίαν διὰ τὴν περὶ τοὺς λόγους ταλαιπωρίαν· ἔργον γὰρ αὐτοῖς ἐστι σχεδὸν ἡ ἀσάφεια καὶ τὸ πολλὴν ἐμποιῆσαι σύγχυσιν, οἱ κατὰ ἀπορίαν λέγω τινὰ, μή ποτε τοσοῦτον μανείην, ἀλλ' ἑκοντὶ ὑποκαλύπτουσι τὰ νοήματα καὶ διαπλέκουσι τῶν ὀνομάτων τὴν ἑρμηνείαν, ὅθεν καὶ λυποῦσι τὴν ἀκοήν· μὴ προσδεχομένη γὰρ ῥᾳδίως, διὰ τὴν ἐπικειμένην κατὰ τὸν σοφώτατον Ἀριστοτέλη τῷ λέγειν νεφέλην, δυσχερῶς παραπέμπει τῇ ψυχῇ τὰ νοήματα· καὶ ὁ μὲν τῶν Περιπατητικῶν λόγος τὰ ὦτα μικροῦ διατιτρώσκων οὕτως εἰς τὰς ψυχὰς εἰσδύεται τῶν ἀκουόντων· οἱ δὲ Στωϊκοὶ καὶ τοῦ σώματος περιορᾷν [28] παρακελεύονται καὶ τὴν κόμην αὐχμηρὰν περιφέρειν καὶ

25 Par. 1. *Μίλθαικος*. Par. 2. *Μίθαικος* primum, jam per correct. *Μίθαλκος*. Mon. et Sicel. litt. *οέ*. *Μήθαικος*. — Plat. Gorg. p. 518. b. 26 Mon. *διαφέρουσιν*. Parr. *διαφθείρουσιν*. tum Mon. et Par. 1. *ἀλλοτρίως*. Par. 2. *ἀμέτρως*. 27 Par. 1. *λέγεσθαι*. 28 Mon. *περι παρακελεύονται*. Par. 1. *περιορᾶν διακελεύοντες*. Par. 2, *παρακελεύονται*.

περὶ τὴν ἐδωδὴν ταλαιπωρεῖν, ἀλλ᾽ [29] οὗτοι μὲν εἰκότως περιορῶσι τῶν τοιούτων, ἐπεὶ κἂν ἀποτύχωσι τῶν τοιούτων, [30] οὐδὲν αὐτοῖς ἐντεῦθεν περιγίνεται χαλεπόν· τὸν δὲ ῥήτορα πρὸς τὴν βούλησιν τοῦ ἀκροατοῦ χρὴ μεθοδεύειν τοὺς λόγους, ὅπως μηδὲν ἀνιαθῇ ὁ ἀκροατής, ὃς [31] περὶ τὴν αἴσθησιν ῥᾷστα προσδέχεται τὸ λεγόμενον· εἰ γὰρ διαπλέξαις [32] τὰ νοήματα, συνταράξει τὴν ἀκοὴν, βλάψει τὸ πᾶν, ἀποκνοῦντος τοῦ ἀκροατοῦ παρακολουθεῖν τῇ τοιαύτῃ τοῦ λόγου πλοκῇ, ὅθεν τὸν ῥήτορα μεθαρμόζεσθαι δεῖ πρὸς τὰς ἀκοὰς καὶ πάντα παραιτεῖσθαι τὰ λυποῦντα τὸν ἀκροατήν· ὅπου γε καὶ Πλάτων ὁ σοφώτατος, ᾧ πάρεργον ἦν τὸ φροντίσαι τῶν ἀκουόντων, πλείστην ἔθετο περὶ τοῦτο σπουδήν· διὰ τοῦτο τοίνυν ὁ τεχνικὸς [33] περὶ τῶν ποιούντων δύναμιν διαλεγόμενος πρώτην μὲν ἔταξε τὴν ἔννοιαν, ἔπειτα τὴν λέξιν, ἥτις κατὰ φύσιν τὴν τρίτην ἐπέχει τάξιν· πρωτεύει γὰρ αὐτῆς τὰ σχήματα τῆς ἐννοίας, λέγω δὴ τὴν μέθοδον· διὰ γὰρ τοὺς φιλοσόφους καὶ μάλιστα διὰ τὴν τοῦ Πλάτωνος δόξαν καὶ τὴν κίνησιν τῆς ἐννοίας ἐκάλεσε σχήματα, καθὰ καὶ ὁ σοφώτατος Πλάτων ἐν τῷ Τιμαίῳ τὸ πυραμοειδὲς καὶ ἕτερά τινα τοιαῦτα, περὶ ὧν λέγειν ἑτέροις προσήκει, κἀπὶ τοῦ παρόντος ἅμα περίεργον.

λζ. Δευτέραν τῇ λέξει τάξιν ἀποδέδωκεν, ἐπειδὴ ταύτην πρώτην ὁ ἀκροατὴς προσδέχεται καὶ οὐδὲν ἕτερον αὐτοῦ διαπορθμεύει τὴν ἔννοιαν· διὰ δὴ καὶ προὐτίμησεν αὐτὴν τῶν ἄλλων· ὃ γάρ ἐστι παρ᾽ αὐτῷ, τοῦτο καὶ τέθεικεν· ἔπειτα τὸ σχῆμα, λέγω δὴ τὸ τῆς λέξεως.

---

29 ἀλλ᾽ Mon. om. idem legit: οὗτοι μὲν φώτων περιορῶσι τῶν τοιούτων. Par. 1. ἀλλ᾽ οὗτοι μὲν εἰκότως ὑπερορῶσι τούτων. Par. 2. εἰκότως περιορῶσι τῶν τοιούτων. 30 τῶν τοιούτων Parr. om. 31 Mon. ὡς — — προσδέξεται. 32. Mon. διαπλέξει τὰ ν. συντάξει τὴν ἀκ. βλέψει τὸ πᾶν. 33 Mon. τεχνικὸς τῶν τοιούτων δυνάμει.

λή. Μέθοδος [34] μὲν οὖν ἐστι λόγος τὴν οἰκείαν τῆς ἰδέας λέξιν κατὰ τὸ προσῆκον ἑρμηνεύων, ὡς ἡ εἰρωνεία καὶ ἡ διαπόρησις· σχῆμα δέ ἐστι λόγος τὴν οἰκείαν τῆς ἰδέας λέξιν κατὰ τὸ προσῆκον διαπλέκων, ἢ ὡς ἕτεροι, λόγος μὴ κατὰ φύσιν τὸν νοῦν ἐκφέρων, μηδὲ ἐπ᾽ εὐθείας, ἀλλ᾽ ἐκτρέπων καὶ ἐξαλλάττων τὴν διάνοιαν τῇ φράσει κόσμου τινὸς ἢ χρείας ἕνεκα, ὡς ἐπανάληψις καὶ κλίμαξ· τὸ οὖν σχῆμα καὶ ἡ μέθοδος κοινωνοῦντα ἀλλήλοις κατὰ τὸ ἐναλλάττειν τὸ σύνηθες διαφέρουσι ταύτῃ, ὅτι ἡ μὲν μέθοδος ἐννοίας ἐστὶν ἐναλλαγή, τὸ δὲ σχῆμα τῆς λέξεως· καὶ ὅτι τὰ μὲν τῆς διανοίας σχήματα, κἂν ὑπαλλάξῃ τις αὐτὰ τοῖς ῥήμασιν, ὁμοίως μένει. δυνατὸν γὰρ τὸ κατὰ εἰρωνείαν, εἰ τύχοι, καὶ διαπόρησιν, αἵπερ εἰσὶ περὶ ἔννοιαν μέθοδοι, πολυτρόπως φράσαι· [35] τὰ δὲ τῆς λέξεως σχήματα, οἷον ἡ ἐπανάληψις καὶ ἡ κλίμαξ μεταπιπτούσης τῆς λέξεως οὐχ οἷά τέ ἐστι φυλάττεσθαι.

λθ΄. Ἐπειδὴ τὴν μέθοδον ἐν τοῖς προειρημένοις ἐν δευτέρᾳ τάξει ἔθηκε, φησὶ νῦν, ὅτι δυνάμει τετάρτην ἐπεχέτω τάξιν· ἀριθμῷ γάρ ἐστι δευτέρα· διὰ τί δὲ τετάρτην ἐπέχει τάξιν ἡ μέθοδος ἐν ταῖς ἄλλαις ἰδέαις; ἐπειδὴ δεινότητος ἴδιόν ἐστι τὸ τοιῶσδε ἢ τοιῶσδε μεθοδεύειν, οἷον γοργῶς, ἀλλὰ μὴ λαμπρῶς καὶ κατὰ ἐρώτησιν τυχὸν, ἀλλὰ μὴ κατὰ ἀπόφασιν. οὐ δεῖ δὲ τοῦτο ποιεῖν, ἐὰν μὴ πρότερον τὴν λέξιν ἐπενέγκωμεν

---

34 Ven. Τὸ σχῆμα δέ τρίτον λέγω τὸ τῆς λέξεως ἕως τοῦ· τέταρτον λέγω κατὰ δύναμιν. Schol. min. σχῆμά ἐστιν ἐναλλαγὴ λόγου. Τό γε τῆς ἐννοίας· σημείωσαι, πῶς δεῖ ἐξαλλάττειν τὴν ἔννοιαν. Μέθοδος· σημείωσαι, ὅτι ἡ μέθοδος οὐδὲν ἄλλο ἐστὶν, ἢ σχῆμα τῆς διανοίας. Περὶ δεινότητος· ἐκ τούτου δῆλον, ὅτι περὶ μόνης τῆς κατὰ τὴν δεινότητα μεθόδου ἐκεῖσε ὁ Ἑρμογένης τεχνολογεῖ, οὐ μὴν τῆς καθόλου. Ἐν τῇ ποιήσει· ἐν τῷ κομματικῷ κάλλει οὐ τελευταία τίθεται, ἀλλὰ πρώτη, καὶ ἐν τῇ ποιήσει. Θατέρου· τῆς συνθήκης καὶ τῆς ἀναπαύσεως. 35 Ven. μεταφράσαι.

τῇ ἐννοίᾳ καὶ τὸ σχῆμα τῆς λέξεως· εἰ γὰρ δεινώσομεν πρότερον, τῇ μεθόδῳ χρησάμενοι, οὐκέτι τυχὸν τὴν καθαρότητα ἀκριβῶς φυλάξομεν, ἐπειδὴ ἀλλότρια καθαρότης, δεινότης· αὐτίκα γοῦν φησιν αὐτὸς, ὅτι ἐν τῇ δεινότητι τὰ πρῶτα ἔξει ἡ μέθοδος.

μ΄. Ῥᾴδιον συνιδεῖν ἐκ τῶν προλαβόντων, δι' ἣν αἰτίαν τὸ σχῆμα τῆς λέξεως τῆς μεθόδου προέταξε· τὴν γὰρ λέξιν εὐθὺς προσδεξάμενος ὁ ἀκροατὴς ἐπιποθεῖ καὶ τὰ περὶ αὐτὴν σχήματα λαβεῖν.[36]

---

36 Sequitur in Parr. Μέθοδός ἐστι λόγος τὴν οἰκείαν τῆς ἰδέας ἔννοιαν κατὰ τὸ προσῆκον ἀπαγγέλλων, σχῆμα δὲ λέξεως ἐξάλλαξις καὶ σύνθεσις ἐπὶ τὸ κρεῖττον ἄνευ τρόπου· ἐν γὰρ τῷ περὶ μεθόδου δεινότητος περὶ τῆς πάντων τῶν μερῶν τοῦ λόγου λέγει μεθόδου καὶ οἰκονομίας. [Sqq. διὰ γὰρ — σύνταγμα sunt etiam in Ven.] Διὰ γὰρ τὸ πολυσχιδὲς τῆς μεθόδου ταύτης καὶ ἴδιον τὸ περὶ μεθόδου δεινότητος αὐτῷ γέγραπται σύνταγμα. Ὁ ῥυθμὸς πολυσήμαντός ἐστι· σημαίνει δὲ καὶ τὸ ὀρχεῖσθαι μετὰ ῥυθμοῦ καὶ τὸ κωμῳδεῖν τοιῶσδε, καὶ τὰ ὁμαλὰ ἢ τραχέα τῶν τόπων, καὶ τοὺς μετρικοὺς πόδας, σπονδείους ἢ ἀναπαίστους, καὶ τὴν ἀπήχησιν τῆς φράσεως τοῦ ῥήτορος, τὴν ἐκ τοιᾶσδε καὶ τοιᾶσδε τῶν λέξεων γινομένην, ἢ ὃ καλὸν, ἢ τραχὺ, ἤ τι τῶν τοιούτων. Τῆς μουσικῆς τρία γένη τὰ ἀνωτάτω· ἔμπνευστα τὰ διὰ φυσήματος καὶ πνεύματος μελῳδοῦντα, ὡς αἱ σάλπιγγες καὶ τὰ ὄργανα καὶ τὰ βούκινα· καὶ κρουστὰ, ὡς τὰ τύμπανα καὶ τὰ χειροκύμβαλα· ἔντατα, ὡς αἱ κιθάραι· ἓν ἕκαστον τῶν ῥηθέντων ῥυθμοὺς οἰκείους ἔχει διεγερτικοὺς ἢ πραϋντικοὺς τῶν παθῶν τῆς ψυχῆς, ὡς τὰ κατὰ τὸν Ἰσμηνίαν, ἐν τούτοις γὰρ πᾶσαν τὴν ἰσχὺν ἡ μουσικὴ ἔχει, διὸ καὶ πρῶτός ἐστιν ἐν αὐτοῖς ὁ ῥυθμός· λύει τοίνυν τὴν ἀντίθεσιν τῶν μουσικῶν ὁ τεχνικὸς τὴν λέγουσαν, πρώτους εἶναι τοὺς ῥυθμοὺς, φάσκων, ὅτι ἐν μὲν μουσικῇ τὸ πρῶτον ἔχουσιν, ἐν δὲ ῥητορικῇ οὐχ οὕτως· δείκνυσι δὲ το αὐτὸ κατὰ παράστασιν· λέγονται δὲ μουσικοὶ καὶ οἱ ποιηταὶ, ὅτι τὸ παλαιὸν δι' ὀργάνων ᾖδον τὰ μέτρα, καθὼς καὶ ἐπὶ τῶν ψαλμῶν τῶν ἡμετέρων ἐστὶ φανερόν· οἷά ἐστι τὰ τῶν καλουμένων μεσοχόρων κρούματα. Ven. litt. λθ΄. — μά. om.

μά. Ἴσως δὲ ζητήσειεν ἄν τις, τί δὴ τὰ κῶλα παρῆκεν ἐν τῇ κατὰ φύσιν ἀπαριθμήσει, εἶτα [37] ἀποδεδωκὼς τάξιν αὐτοῖς· ἀλλ᾽ ἔστιν ἐκεῖνο φάναι, ὅτι τὰ κατ᾽ ἀνάγκην παρακολουθοῦντα παρίησι, τὸ δὲ σχῆμα πεπερασμένον ἐστὶ, καθὰ καὶ ὁ στοιχειωτὴς βούλεται· σχῆμα γάρ ἐστι τὸ ὑπό τινος ἢ ὑπό τινων ὅρων περιεχόμενον· ἐνταῦθα δὲ περατοῦται ὑπὸ τῶν κώλων· διὰ δὴ καὶ παρῆκεν αὐτά· παρέπεται γὰρ κατὰ ἀνάγκην τοῖς σχήμασιν. ἀλλ᾽ εἰ τοῦτο, φησὶν, ἀληθὲς, πῶς τέθεικε τὸν ῥυθμὸν, ὃς παρακολουθεῖ τῇ συνθήκῃ καὶ ἀναπαύσει, καθὰ καὶ ἐν τοῖς προλαβοῦσι μεμαθήκαμεν; ὥσπερ γὰρ εἶδος ἐπακολουθεῖ τῇ τε συνθήκῃ ποιᾷ, καὶ τῇ ἀναπαύσει ἄλλο τι ὂν παρὰ ταῦτα, ἀλλ᾽ οὐκ ἄνευ λόγου τοῦτο πεποίηκεν, ἀντενέκειντο [38] γὰρ αὐτῷ τινες, οἳ καὶ πρωτεύειν ἐβούλοντο τὸν ῥυθμόν· διὸ καὶ ἠναγκάσθη μὲν μνημονεῦσαι ῥυθμοῦ· περὶ γὰρ κώλου οὐδεμία γέγονεν ἀμφισβήτησις. τάχα δὲ, φησὶν ὁ τεχνικὸς, ἀμφισβητήσειαν μουσικῶν παῖδες, μηδὲ τὴν ἔννοιαν συγχωροῦντες προτάττειν ἡμᾶς τοῦ ῥυθμοῦ· δύνασθαι γὰρ φήσουσι [39] τὸν ῥυθμὸν καὶ καθ᾽ ἑαυτὸν χωρὶς ὅλως ἐναρθρου φωνῆς· καὶ γὰρ τῷ ὄντι παρ᾽ ἐκείνοις κ. τ. λ. Vol. V. p. 457. v. 6—459. v. 8.

μγ. Ὡς ὁ Τιμόθεος, ὁ αὐλητὴς, [40] ἐκίνει πρὸς θυμὸν καὶ πρὸς ὅπλα τὸν Ἀλέξανδρον, καταφορικὸν δὲ ἀντὶ τοῦ ὑβριστικὸν, καταφορὰ γάρ ἐστιν ἡ ἐν κατηγορίᾳ τάσις.

μδ. Τὸ ἑξῆς καθόσον [41] ἐγχωρεῖ λέξει πεζῇ προς-

37 Mon. ἢ ἀποδεδωκώς. Par. 1. πέμπειν ἀποδέδωκε. Par. 2. εἶτα ἀποδεδωκώς, 38 Mon. ἀντέκοιντο γὰρ αὐτό. Par. 2. ἀντέκειντο. Par. 1. ἀντενέκειντο. 39 Mon. φησὶ. scr. φήσουσι. 40 Parr. αὐλήμασιν. sine ὁ. Sch. min. Ἑκάστης ἰδέας οἰκεῖοι· ῥυθμοὶ δηλονότι, ἤγουν πόδες. Λέξει πεζῇ· τῇ ῥητορικῇ. Περιᾴδειν· ψάλλειν καὶ λέγειν μουσικῶς. 41 Litt. μδ'. —μθ'. continentur etiam in commentario Joannis Sicel. sub

ἁρμόσαι τινὰ ῥυθμὸν χωρὶς τοῦ περιᾴδειν, τουτέστιν χωρὶς ᾠδῆς· αὕτη γὰρ τῇ ἐμμέτρῳ λέξει πρόσφορος.

μέ. Τοσοῦτον [42] ἰσχύει, φησὶ, καθ' ὅσον ἐγχωρεῖ λέξει πεζῇ χωρὶς τοῦ περιᾴδειν· [43] ἀλλ' ὅσον ἀνειμένως καὶ μαλθακῶς ὑποκρίνῃ, τοσούτῳ ἰσχυρότερον ποιήσεις τὸν ῥυθμόν· ἐπεὶ δειξάτωσαν ἡμῖν, εἰ [44] παρ' ἡμῖν συντόνως ἀναγινωσκομένου τοῦ λόγου τοσοῦτον ἰσχύουσιν, ὅσον κἂν τῇ ἄλλῃ μουσικῇ. [45]

μς'. Τουτέστι μέσοι ἢ τελευταῖοι, ἐκεῖ μὲν γὰρ τὸ ὅλον ἐν τούτοις, ἐπεὶ καὶ [46] ἡ πᾶσα περὶ αὐτοὺς σπουδὴ, καὶ τῇ ἀκοῇ μόνῃ προσφέρονται, τοῦ λογισμοῦ μὴ προσδεχομένου τὰς ἀσήμους φωνὰς καὶ [47] χάριν ἡδονῆς ἐπινενόηνται· ἐπὶ δὲ τῶν πεζῶν λόγων τῇ συνθήκῃ καὶ τῇ ἀναπαύσει παρακολουθοῦσιν, ἄλλο τι ὄντες παρὰ ταῦτα, καὶ οὐ χάριν ἡδονῆς, ἀλλ' ἕνεκεν τοῦ συμφέροντος παραλαμβάνονται. [48]

μζ'.

---

titulo: Συριανοῦ καὶ τῶν λοιπῶν. 42 Jo. Sicel. praemittit: ἄλλως. 43. Jo. Sicel. addit: ἐπεὶ καὶ τὰ Πινδάρου συντόμως ἀναγινώσκων οὐ τοσοῦτον τέρψεις, ὅσον ἐν τῷ περιᾴδειν. 44 Jo. Sicel. εἰ τοσοῦτον ἰσχύουσιν οἱ ῥυθμοὶ παρ' ἡμῖν συντ. κ. τ. λ. 45 Jo. Sicel. Εἰ δὲ μὴ τοσοῦτον δύναιντο, τετάξονται ἡμῖν, ὅπως ἂν καὶ δυνάμεως ἔχωσι, τουτέστι κ. τ. λ. Sch. min. Εἰπὼν ἄλλην ἐδήλωσε καὶ ἡ ῥητορικὴ, οὐκ ἔμμετρος δὲ, καθὼς ἡ τῶν ποιητῶν, ἀλλὰ ὡς τινος πεζοῦ λόγου γινομένη. Ἰστέον δὲ, ὅτι κατὰ αὐτὴν περίστασιν συνομολογεῖ καὶ ὁ Ἑρμογένης, ὅτι συμβάλλεται ὁ ῥυθμὸς, οὐ μὴν ὅσον ἐκεῖνοί φασιν. Τοιόνδε γίνεσθαι· ἢ γοργὸν, ἢ ὁμαλὸν, ἢ σεμνὸν ἢ τραχύν. Ἐκεῖνοι τίνες; οἱ μουσικοί· φασὶ δὲ, ὅτι καὶ καθ' ἕκαστον ὁ ῥυθμὸς τοῦ πανηγυρικοῦ λόγου πλέον δύναται θέλγειν. Ἐν κεφαλαίῳ· ἐν συντόμῳ. Τὰ τὰς ἰδέας ποιοῦντα· τῶν ὀκτὼ λέγει τὴν ἀνακεφαλαίωσιν, οἷον τὴν ἔννοιαν, τὴν λέξιν καὶ τὰ λοιπά· ib. ὅτι ἡ ἔννοια πρώτη, ἡ λέξις δευτέρα, τὸ σχῆμα τῆς λέξεως τρίτον κατὰ δύναμιν καὶ τὰ ἑξῆς. 46 Jo. Sicel. καὶ πᾶσα τοῖς μουσικοῖς περὶ αὐτοὺς ἡ σπουδή. 47 Jo. Sicel. αἳ. 48 Sequitur in Jo. Sicel. φημὶ γὰρ ἔστιν

μζ. Μὴ λεγέτωσαν, φησὶν, ὡς δεῖ κἂν πεζοῖς λόγοις πρωτεύειν αὐτοὺς, ἄλλην γὰρ ἐν τῇ μουσικῇ δύναμιν ἔχουσι, καὶ ὥσπερ ἐκεῖσε διὰ ταύτην προετάγησαν. κατὰ τὸν αὐτὸν ἀνάγκη κἀνταῦθα λόγον ὑστερίζειν αὐτούς· ἕκαστον γὰρ αὐτῶν, ὅπως ἔχει δυνάμεως, οὕτω τετάξεται, καὶ πρωτεύειν μὲν δεῖ πάντων τὴν [49] ἔννοιαν, ἅτε καὶ ἰσχυροτέραν καὶ τῇ φύσει προϋπάρχουσαν (πῶς γὰρ ὅλως συσταίη λόγων εἶδος, μὴ προϋπαρχούσης ἐννοίας;), μετὰ δὲ αὐτὴν ἡ λέξις, ἣν καὶ δέχεται πρῶτον ἀκροατής· [50] διὸ καὶ τὸ περὶ αὐτὴν σχῆμα τρίτον· τὸ γὰρ τῆς ἐννοίας ἐν τῷ περὶ τῆς δυνάμεως λόγῳ τετάξεται τέταρτον, κἂν ἐν τῇ δεινότητι τὴν πρώτην σχεδὸν ἀποφέρηται τάξιν, ἡ συνθήκη δὲ καὶ ἡ ἀνάπαυσις τελευταία· περὶ γὰρ κώλου καὶ κόμματος [51] ἢ ῥυθμοῦ λέγειν ἐν τῷ περὶ δυνάμεως λόγῳ [52] περίεργον· ἐξ ἀνάγκης γὰρ παρακολουθοῦσιν, [53] τὰ μὲν κῶλα ταῖς συνθήκαις, καὶ ὁ ῥυθμὸς τῇ ἀναπαύσει· πέρας μὲν γὰρ τῆς συνθήκης τὸ κῶλον, ὁ δὲ ῥυθμὸς ὥσπερ εἶδος ἐπακολουθεῖ [54] τῇ τε συνθήκῃ καὶ τῇ ἀναπαύσει, δι' ἃ δὴ [55] καὶ τελευταῖος τετάξεται, κἂν ἀμφισβητῶσιν οἱ περὶ τὴν μουσικὴν ἐσχολακότες· συνεισφέρουσι [56] μὲν γὰρ, φησὶν, καὶ οὗτοι πρὸς τὸ τοιόνδε γενέσθαι τὸν λόγον, ἀλλὰ μὴ τοι-

---

οὗ καὶ ὁ ῥυθμὸς πολὺ συνεισῆνεγκεν. Ἀλλ' οὐ τοσοῦτον, ὅσον οἱ μουσικοὶ λέγουσι· κατὰ ἀντιπαράστασιν δὲ ἡ λύσις ἡ διὰ τῶν ἐμμέσων πρόεισιν ἐναντίων. Συριανοῦ καὶ τῶν λοιπῶν εἰς τὸ αὐτό· περὶ τῶν ῥυθμῶν λέγει, ὅτι μὴ λεγέτωσαν οἱ μουσικοὶ, ὡς δεῖ κἂν τοῖς πεζοῖς λόγοις πρωτεύειν τοὺς ῥυθμούς, ἐπεὶ καὶ καθ' ἕκαστον τοῦ λυρικοῦ λόγου πλέον δύνανται θέλγειν, ἄλλην γὰρ κ. τ. λ. 49 Jo. Sicel. τὴν ἔννοιαν πάντων. 50 Jo. Sicel. ὁ ἀκρ. 51 κόμματος ἢ Jo. Sicel. om. 52 Sicel. λόγου. 53 Mon. παρακολουθήμασιν. Sicel. παρακολουθήσει. 54 Sicel. καὶ παρακολουθεῖ. 55 Sicel. δι' ἃ δὴ καί. Mon. διὰ τί καί. Par. διαδὴ καί. 56 Sicel. συνεισφέρειν μὲν γάρ φησι.

ὀνδε· πλὴν οὐ τοσοῦτον ἰσχύουσιν, ὅσον [57] ἐκεῖνοί φασιν· τοῦτο Ἰσοκράτης φησὶν ἐν τῷ Εὐαγόρᾳ· „πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δὲ οὐδενὸς τούτων κοινωνοῦσιν, ἃ τοσαύτην ἔχει χάριν, ὥστε ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως ταῖς εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας“ διὰ τί δέ φησιν ὁ Ἰσοκράτης οὐδενὸς τούτων κοινωνεῖν τοὺς ῥήτορας, Ἑρμογένους [58] τἀναντία νῦν λέγοντος; φαμέν, ὅτι κατὰ μὲν τὸ ἀληθὲς ἐπιμέλονται [59] καὶ οἱ ῥήτορες ῥυθμοῦ καὶ τῶν ἐμποιούντων τὴν ἡδονήν. ὁ μέντοι Ἰσοκράτης διὰ τὸ συμφέρον [60] αὐτῷ μόνοις τοῖς ποιηταῖς φησι ταῦτα προσεῖναι, ἵνα ἑαυτὸν, φησὶ, σεμνύνῃ, εἰ διὰ μόνων πολιτικῶν [61] λέξεων ἐγκωμιάζειν [62] Εὐαγόραν δύναται· ἐν δὲ τῷ περὶ καθαρότητος σαφέστερον Ἑρμογένης τοῦτο ἐρεῖ.

μθ'. Μετὰ τὰς λύσεις [63] τῶν ἀντιπιπτόντων καὶ τὴν ἐκκάθαρσιν τῶν λυπούντων ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων.

---

57 Sicel. ὁπόσον ἐκεῖνοί φησι, τουτέστιν οἱ μουσικοί· φασὶ γὰρ, ὅτι καὶ καθ' ἕκαστον ὁ ῥυθμὸς τοῦ πανηγυρικοῦ [supra lineam λυρικοῦ] λόγου πλέον δύναται θέλγειν, πρὸς δὲ τούτοις οἱ μὲν λυρικοὶ μετὰ μέτρων καὶ ῥυθμῶν κ. τ. λ. — — κοινωνοῦσιν, ὡς καὶ Ἰσοκρ. ἐν τῷ Εὐαγόρᾳ φησὶν, ἃ τοσαύτην χάριν ἔχει κ. τ. λ. [Cf. Euag. p. 10. p. 213. Bekk.] 58 Sicel. Ἑρμογένει τἀναντία λέγων. 59 Mon. μέλλοντα. Post litt. μή. Parr. add. τὸ ἀναλαβόντες ἔφη περὶ ὧν ἀνεκεφαλαιώσατο ἤδη δηλῶν· ἔφη γὰρ πρῶτον τὴν κατὰ φύσιν τάξιν ἑτέραν τῆς αὐτῆς δυνάμεως, εἶτα ποσῶς ἀνεκεφαλαιώσατο· νῦν οὖν λέγει, ὅτι μικρὰ ἀναλαβόντες περὶ τῆς ἀνακεφαλαιώσεως χωρήσομεν ἐπ' αὐτὰς τὰς ἰδέας, ὥσπερ καὶ πεποίηκε· προκαταστήσας γὰρ ἐπὶ τὴν πρώτην ἰδέαν τὴν σαφήνειαν ἐτράπη. 60 Sicel. συμφέρειν αὐτοῖς μ. τ. π. φασι ταῦτα πρ. ἵνα ἑαυτὸν σεμνύνῃ. Mon. ἑαυτοῦ. Par. 2. ἑαυτόν. 61 Par. 2. Mon. Sicel. πολιτικῶν. Par. 1. ποιητικῶν. 62 Εὐαγόραν ἐγκ. δύνηται. 63 Mon. λέξεις.

ν'. Ποικιλώτερος [64] *γὰρ οὗτος ἁπάντων περὶ τὰς μίξεις, πάντα τοῖς ἐμφρονεστάτοις ἀκολουθῶν τῶν πρὸ αὐτοῦ, καὶ μάλιστα τῷ πρεσβυτέρῳ τῶν Ἁλικαρνασέων, φησὶν ὁ Ἑρμογένης· καὶ γὰρ ἐκεῖνος ἐν τῷ περὶ συνθέσεως ὀνομάτων διαῤῥήδην φησὶ* [65] *τάδε.* Vol. V. 5 p. 459. v. 15—21.

νά. Οὐ [66] *δύναται, φησὶν, τὴν μίξιν εὑρεῖν τῶν λόγων, ἐκ ποίων καὶ πόσων ἰδεῶν κέκρανται,* [67] *εἰ μὴ πρότερόν τις* [68] *γνῷ τὴν ἰδέαν, ὅτι τοῦτό ἐστιν σαφήνεια, καὶ ἐκ ποίων μερῶν καὶ εἰδῶν γίνεται.* 10

νβ'. Ὡς οὐ δυνατὸν, [69] *φησὶν, ἐπιγνῶναι, πόθεν τὸ φαιὸν γίνεται, εἰ μὴ πρότερόν τις γνῷ, τί λευκὸν καὶ τί μέλαν, οὕτως οὐ δύναταί τις γνῶναι τὴν* [70] *μίξιν τῶν ἰδεῶν, εἰ μὴ πρότερον γνῷ, τί ἐστιν αὐτὸ, ἤγουν* [71] *ἡ ἰδέα.* 15

νγ'. Εἰ μὴ πρότερον, φησὶ, καταμάθοις τὴν τοῦ λευ-

---

64 Ven. litt. *μγ'—μθ'.* omissis: *καὶ δι' ἣν αἰτίαν τοῦτον προχειρίσασθαι δεῖν τὸν ἄνδρα ἐκρίναμεν. Πάντα τοῖς ἐμφρονεστάτοις.* (Mon. *ἐμφρονηθέντοις.*) 65 *φησὶ* Mon. om. 66 Litt. *νά—νέ.* exstant etiam in Siceliotae comment., excepta litt. *νγ'.* 67 Sicel. *κέκραται, εἰ μὴ πρότερον γνῷ, ὅτι αὕτη ἡ ἰδέα τυχὸν ἡ σαφήνεια ἐκ τοιῶνδε μερῶν κ. ε. γ.* 68 Mon. *τὴν γνῶσιν.* Sch. min. *Κἀκ τίνων· ἐκ μίξεως τῶν ἑπτὰ ἰδεῶν. Χωρὶς μέν· τοῦτο λέγει, ὅτι, ἐὰν μὴ μάθωμεν, τίς ἐστιν ἡ καθολικὴ ἰδέα πρῶτον, οὐ δυνάμεθα οὐ δεῖξαι ἢ τοῦ Πλάτωνος ἢ τοῦ Δημοσθένους τὴν ἰδίαν δόξαν. Διηνεκῶς, μονομερῶς, ὁλοτελῶς, δι' ὅλου. Φαιόν· μέσον λευκοῦ καὶ μέλανος. Τούτων ἀπαλλαγέντας· νῦν πρότερον βούλεται τὰς ἀρχὰς διδάξαι, ἐξ ὧν ἅπας γίνεται λόγος· ἔπειτα κἀκεῖνο ποιῆσαι· ἔτι ἡ ἐπανάληψις.* ib. *Δημοσθένους· καίτοι διὰ τοῦ Δημοσθενικοῦ λόγου περὶ πασῶν τῶν ἰδεῶν διδάσκειν ἐπηγγείλατο· ἀλλά φαμεν, ὅτι πρότερον βούλεται κ. τ. λ.* ut paullo ante. *Τὰ ἐξ ἀρχῆς· τουτέστι τὰς ἰδέας, ἃς προεῖπεν ἑπτά.* 69 Sicel. *δύναται, φησὶν, ἐπιγν. τις.* 70 Sicel. *τῶν ἰδεῶν τὴν μίξιν, εἰ μ. π. γ., τί ἐστιν αὐτὴ ἡ ἰδέα.* 71 *ἤγουν* Mon. om.

κοῦ καὶ τοῦ μέλανος φύσιν, οὐκ ἂν τὸ φαιὸν, ὅπως γέγονε, καταμάθοις· οὕτως οὖν κἀπὶ[72] τῶν λόγων, ἢν μὴ πρότερον τὰ ποιοῦντα μάθοις, ἃ στοιχείων τάξιν ἐπέχουσιν, οὐκ ἂν κρίναις ἢ ζηλώσαις τοὺς τῶν ἀρχαίων τύπους· ταῦτα δὲ μαθὼν ῥᾳδίως ἂν παρακολουθήσαις ἐκείνοις εὐμαθέστερον, ἐντεῦθεν ὁρμώμενος.

νδ'. Ὁ τὰς ἰδέας, φησὶ, κατὰ μέρος μαθὼν δύναται καὶ περὶ ἑνὸς ἑκάστου τῶν εἰδῶν κρίνειν, τουτέστιν ἰδεῶν· καὶ πάλιν τὰς μίξεις εἰδέναι.[73]

νέ. Μηδεὶς θαυμαζέτω,[74] ἐὰν τινες ἰδέαι κατά τι συμφερόμεναι ἑτέραις εὑρίσκωνται[75] ἢ κατὰ ἔννοιαν, ἢ κατὰ λέξιν, ὥσπερ ἡ καθαρότης τῇ ἀφελείᾳ κατά τε ἄλλα τινὰ καὶ κατὰ τῆς ὀρθότητος σχῆμα κεκοινώνηκεν· ἡ γὰρ καθαρότης χαίρει τῇ κατ' ὀρθὸν πτώσει· καὶ τοῦτο μὲν ἀληθές· ἀλλὰ τί δήποτε μὴ[76] ἐν τοῖς προλαβοῦσιν ἐμνήσθη καὶ τούτων; ἐχρῆν γὰρ ἐκεῖσε λέγειν, καὶ μὴ ἐν τῇ[77] ἀνακεφαλαιώσει, ἐπείτοι συμβαίνει τεταραγμένον εἶναι τὸν λόγον, καὶ ἑτέρας ἀνακεφαλαιώσεως δεόμενον· διὰ γὰρ δὴ τοῦτο καὶ τὴν ἀνακεφαλαίωσιν ἐποιήσατο, ἵνα ὑπ' ὄψιν ἀγάγῃ τὰ προειρημένα, καὶ τῶν ἀντιπιπτόντων ἐκεῖσε βιασαμένων[78] ἐν τῷ μεταξὺ κατὰ ἐπεμβολὴν ἐπισωρεῦσαι ἄλλα τινὰ, ὃ τὴν ἀσάφειαν ἐμποιῆσαν[79] ἐδεήθη τῆς ἀνακεφαλαιώσεως· καὶ δοκεῖ πως εἶναι τοῦτο τῶν ἰσχυρῶν καὶ τάχα τῶν ἀλύτων, εἰ μὴ σκοπήσοι τις τὴν ἀκρίβειαν τοῦ τεχνικοῦ· εἰ γὰρ κατὰ μέρη κοινωνοῦ-

---

72 οὕτως οὖν κἀπὶ τ. λ. — — μάθοις Mon. om. 73 Sequitur in Par. Ἰδέαι ἑπτὰ, κ. τ. λ. Vol. V. p. 460. v. 6—11. 74 Sicel. Οὐ χρὴ θαυμάζειν, ἐάν τινες ἰδέαι κοινωνοῦσαι εὑρίσκωνται καὶ κατά τι συμφερόμεναι ἕτερον, οἷον κατὰ ἔννοιαν ἢ κατὰ λέξιν, ὥσπερ ἡ καθαρότης τῇ ἀφελείᾳ· ἡ γὰρ καθαρότης χαίρει κ. τ. λ. 75 Mon. εὑρίσκονται. 76 μὴ Mon. om. 77 ἐν τῇ Mon. om. 78 Sicel. βιαζομένων. 79 Sicel. ἐμποίησαν Mon. Par. 2. ἐμποιῆσαν.

σιν ἀλλήλαις,[80] πῶς οἷόν τε ἦν πρὸ τῆς διδασκαλίας τῶν μερῶν εἰπεῖν, κατὰ τί συμφέρονται; διὸ παρῃτήσατο μὲν ἐν τοῖς προλαβοῦσιν εἰπεῖν, κατά τί κοινωνοῦσιν· οὔπω γὰρ διεξῆλθεν περὶ τῶν μερῶν· διδάξας δὲ περὶ τούτων ἔσχε χώραν μετὰ τὴν ἐπίγνωσιν τῶν ἁπλῶν εἰπεῖν καὶ κατὰ τί κοινωνοῦσιν ἀλλήλαις.[81]

νς'. Οἷον „εἴπερ[82] τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε." καὶ[83] τό· „ἀλλὰ καὶ[84] μανδραγόραν πεπωκόσιν τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκατε ἀνθρώποις."[85]

νζ'. Ὅταν, φησὶ, κώλῳ καὶ σχήματι μακρῷ αἱ ἐπιτιμήσεις ἐξαγγελθεῖεν, ποιοῦσι τὴν ἀκμήν. μηκυνόμεναι γὰρ αἱ ἐπιτιμήσεις ποιοῦσι τὴν ἀκμήν.

νή. Ὁ ναῦς[86] τοιοῦτος· οὐ κεκώλυται ἡντιναοῦν ἰδέαν κατὰ τὸ εἶδος ἄλλης ἰδέας διαφέρουσαν μέρη τινὰ τὰ αὐτὰ ἔχειν ἑτέρᾳ· ἃ μέρη, ὥσπερ διαφοραί τινές εἰσιν,

80 Sicel. ἀλλήλων. 81 Sequitur in Par. Ἀφέλειά ἐστιν, ὅταν τοὺς γεωργοὺς μιμῇ, καὶ τοὺς παῖδας ὡς παῖδας, καὶ τὰ παραπλήσια. Γνοίης δὲ τὴν ἀκμὴν καὶ τὰς ἄλλας ἰδέας, ἐξ ὧν συνίστανται. οὕτως τὰς λέξεις μὲν καὶ συνθήκας καὶ μεθόδους καὶ ἐννοίας τὰς αὐτὰς ἔχει τῇ τραχύτητι καὶ σφοδρότητι· τάχα δὲ κῶλα καὶ σχήματα τῆς λαμπρότητος, καταδρομὴν γὰρ ἔχει· πᾶσα δὲ καταδρομὴ διὰ μακροῦ τοῦ πνεύματος ἐξέρχεται. 82 Dem. de Halon. p. 88. Ven. litt. νά — νή. omissis: Καὶ πάλιν ἡ τραχύτης καὶ ἡ ἀκμὴ κοινὰς ἔχουσι τὰς ἐννοίας. Est etiam in Sicel. 83 Sicel. καὶ πάλιν. — Phil. IV. p. 135. 84 καὶ Mon. Par. 2. Sicel. om., recepi ex Par. 1. 85 Sqq. usque ad finem capitis Ven. om. 86 νοῦς Mon. om. Sch. min. Ἐφ' ἃ προυθέμεθα· τίνες αἱ ἰδέαι, καὶ οἷαι, ἐξ ὧν ὁ Δημοσθενικὸς σύγκειται λόγος, εὑρεῖν ἐπαγγέλλεται. Ὥσπερ ἡ καθαρότης· ἡ γὰρ καθαρότης χαίρει τῇ κατ' ὀρθὸν πτώσει. Καὶ λαμπρότητι· ἡ γὰρ ἀκμὴ, πλὴν ἐννοιῶν, κατὰ πάντα κοινωνεῖ τῇ λαμπρότητι. Τῷ μὲν γὰρ ὅλῳ· ἀντὶ τοῦ εἴδει, ὥσπερ ὁ ἄνθρωπος τῷ ὅλῳ διαφέρει ἄλλου εἴδους, οἷον ἵππου.

ὡς ἐπὶ τοῦ ἀνθρώπου, εἴδους ὄντος, εἰσὶ διαφοραὶ τὸ θνητὸν καὶ τὸ λογικόν, ὧν τὸ μὲν θνητὸν χωρίζει τῶν ἀθανάτων τὸν ἄνθρωπον, τὸ δὲ λογικὸν τῶν ἄλλων ζώων· ὥστε αἱ αὐταὶ διαφοραὶ καὶ κοινωνίαι εἰσί. τῷ μὲν γὰρ θνητῷ κοινωνεῖ τοῖς ζώοις, ᾧ διαφέρει τοῦ ἀθανάτου, τῷ δὲ λογικῷ τοῖς ἀθανάτοις, ᾧ διαφέρει τῶν ἀλόγων. οὕτω τοίνυν καὶ ἑκάστη ἰδέα μέρει τινὶ, τουτέστι τῶν ὁπτὼ ἑνὶ, ἄλλῃ κοινωνοῦσα τῷ αὐτῷ διαφέρει ἑτέρας ἰδέας.

Τῷ μὲν γὰρ ὅλῳ,[87] τῷ καθ' ἑαυτὴν εἶναι μίαν ἑκάστην ἰδέαν, καὶ ἑτέραν τῶν ἄλλων εἶναί φησι ἐπὶ τοῦ κεχωρισμένου· τὰ αὐτὰ δὲ μέρη τῆς τοιαύτης ἰδέας ἔχειν καὶ ἄλλην ἰδέαν, καθάπερ διαφορὰς οὐσίας τινός, τουτέστι γένους, οὐ κεκώλυται· οἷον ὅλον τί ἐστι καθ' ἑαυτὸν ἄνθρωπος, καὶ ὅλον τί ἵππος καὶ τὰ καθ' ἕκαστα τῶν ζώων· κοινωνοῦσι δὲ ἀλλήλοις τῷ γένει τῆς οὐσίας, καθὸ ζῶα ἀμφότερα· διαφέρουσι δὲ κατὰ τὰς διαφορὰς τὸ λογικὸν καὶ τὸ ἄλογον· οὕτω κἀνταῦθα κοινωνοῦσιν ἀλλήλαις ἰδέαι μέρεσί τισι, διαφέρουσι δὲ κατὰ τὸ ὅλην ἑκάστην εἶναι καθ' ἑαυτὴν, ὅλη γάρ ἐστι καθ' ἑαυτὴν λαμπρότης τυχὸν καὶ ὅλη βαρύτης.

νθ'. Ὥσπερ[88] ἐν τῷ περὶ τῶν στάσεων περὶ τοῦ στοχασμοῦ πρῶτον λέγων τὴν αἰτίαν προτίθησιν, ὅτι περὶ οὐσίας πανταχοῦ πρότερον σκεπτέον, τουτέστιν εἰ ἔστιν, ὅπερ ἴδιον στοχασμῷ, οὕτω κἀντεῦθεν,[89] δι' ἣν αἰτίαν προτάττει τῶν ἄλλων ἰδεῶν τὴν σαφήνειαν, λέγει.

ξ'. Περὶ τῆς τάξεως, φησὶ, τῶν ποιούντων τοὺς χαρακτῆρας διαλεχθέντες ἐπὶ τὸν τῆς σαφηνείας ἐπανέλ-

87 Τῷ μὲν γὰρ ὅλῳ sqq. usque ad litt. νθ'. ex Par. recepi, 88 litt. νθ' et ξ. exstant in Sicel. Ἐπὶ δὲ τὸν περὶ σαφηνείας λόγον ἤδη ἰτέον. Ὥσπερ ἐπὶ τῶν στάσ. — — αἰτίαν προτίθησιν, ὅτι περὶ οὐσίας πρότ. σκεπτέον. Mon. αἰτ. προστίθησιν. 89 Par. 2, Sicel. κἀνταῦθα.

θωμεν λόγον, αὕτη γὰρ προτέτακται, διότι καὶ παντὶ λόγῳ τούτου δεῖ μάλιστα, λέγω δὴ τῆς σαφηνείας· εἰ γὰρ κ. τ. λ. Vol. V. p. 460. v. 16. — p. 462. v. 6.

Cap. II.

Περὶ σαφηνείας.

ά. Τοῦτό ἐστιν ἔργον τοῦ ῥήτορος, τὸ σαφῆ καὶ εὔληπτον καὶ πᾶσιν εὐσύνοπτον τὸν ἑαυτοῦ λόγον ποιεῖν· ἰστέον δὲ, ὅτι ἄλλοι τεχνογράφοι, ὧν εἷς ὁ Τιβέριος, οὐχ οὕτως διεῖλον, ἀλλ' ὁ μὲν τὴν αὐτὴν οἴεται εἶναι τὴν σαφήνειαν τῇ καθαρότητι, καὶ περὶ ἀμφοτέρων ἅμα διδάσκει, τῷ γένει συνάπτων τὸ εἶδος, σαφηνείας δὲ οὐδὲ μέμνηται· καὶ ὅτι Τιβέριος πάλιν τὴν αὐτὴν οἴεται καθαρότητα καὶ εὐκρίνειαν, φάσκων τὰ ἐναντία θεωρήματα τῇ περιβολῇ, καθαρὸν καὶ εὐκρινῆ τὸν λόγον ἐργάζεται, ἐν μὲν γὰρ τῇ περιβολῇ, φησὶν, πάλιν εἰσάγεις [1] τὰ νοήματα, ὅταν δὲ καθαρὸν βούλει ποιῆσαι τὸν λόγον, κατ' ὀρθὴν πτῶσιν εἰσάγεις, οἷον [2] „Σαννίων ἐστὶ δή που τις·" ἀκριβέστερον μέντοι Ἑρμογένης τὴν σαφήνειαν διαιρεῖ εἰς εὐκρίνειαν καὶ καθαρότητα.

β'. Καλῶς [3] τὸ σχεδόν· οὐ γὰρ πάντες οἱ τόποι, δι' ὧν γίνονται, μόνης καθαρότητός εἰσι· κοινωνεῖ γὰρ τῇ εὐκρινείᾳ, λέξει, κώλοις, συνθήκῃ, ἀναπαύσει. [4]

---

1 Par. 2. εἰσάγεις. Mon. εἰσάγεσθαι. 2 In Mid. p. 533. 3 Ven. sine titulo caput hoc incipit in litt. β'.: Καὶ λαμπρότητι ἡ ἀκμὴ κοινωνοῦσα εὑρίσκεται· ἡ γὰρ ἀκμὴ πλὴν ἐννοιῶν κατὰ πάντα ἄλλα κοινωνεῖ τῇ λαμπρότητι· ἅπασι σχεδὸν τοῖς προειρημένοις. 4 Sequitur in Parr.: Ἰστέον, ὅτι ἑκάστη ἰδέα ἀπὸ τῶν ὑπὸ μερῶν γίνεται, ἐννοίας, μεθόδου, λέξεως, σχήματος, κώλων, συνθήκης, ἀναπαύσεως καὶ ῥυθμοῦ· τήρει, καὶ οὕτως εὑρήσεις ἐν ἑκάστῃ. Τοῦτο καὶ πρὸ μικροῦ δεδηλώκαμεν, ὡς τῶν ἰδεῶν αἱ μέν εἰσιν ἄτομοι

γ'. Ἰστέον, ὅτι οὐκ ἐκ τῶν ὀκτὼ μερῶν πᾶσα ἰδέα σύγκειται, οἷον ἐννοίας, μεθόδου καὶ τῶν λοιπῶν, ἀλλ' ἐκ τῶν οἰκειοτάτων αὐτῇ· οὐ χρὴ δὲ θαυμάζειν, εἰ τὰ αὐτὰ ταῦτα καὶ ἑτέραν ἰδέαν ποιεῖ· ἐξηλλαγμέναι γὰρ οὖσαι κατὰ τὸ ὅλον μέρει τινὶ κοινωνοῦσιν, ὅπερ οὐκ ἄτοπον.

δ'. Ὅπως[5] μὲν εὐκρίνειαν ποιεῖ τι καὶ τῶν ἄλλων, δείξομεν ἐν τῷ περὶ αὐτῆς λόγῳ· προϊοῦσι γὰρ ἔσται φανερώτερον,[6] εἰ μόνον ἡ μέθοδος ἢ καὶ ἄλλα τινὰ συντελοῦσιν πρὸς εὐκρίνειαν· τούτου δὲ δειχθέντος ἐκεῖσε λυθήσεται καὶ ὁ ἐπὶ τοῦ παρόντος ἐνδοιασμός.

ε. Αὕτη γὰρ μάλιστα ποιεῖ τὴν σαφήνειαν, ἧς βλαβείσης ἐπεισέρχεται ἡ εὐκρίνεια, τὸ συμβὰν ὡς εἰπεῖν πάθος τῇ καθαρότητι θεραπεύουσα· διὰ δὴ καὶ τὴν καθαρότητα προέταξεν, ἅτε μάλιστα συντελοῦσαι, πρὸς τὸ σαφῆ ποιῆσαι τὸν λόγον· ἡ γὰρ εὐκρίνεια τάχα περιττή, ὅταν ἡ καθαρότης ἐῤῥωμένην σχοίη τὴν φύσιν, καὶ οὐ δεῖ θαυμάζειν, εἰ ἀντιστελλομένη τῇ καθαρότητι μὴ τὴν αὐτὴν ἔχῃ δύναμιν· ἴσμεν γὰρ, ὡς ἐχρῆν αὐτὴν μὴ μόνον ἰσοδυναμεῖν, ἀλλὰ καὶ πᾶσαν ἐν αὐτῇ τὴν σαφήνειαν ἔχειν, εἴπερ ἄρα μὴ καθ' ὁμοιότητα καὶ φαντασίαν, ἀλλὰ κατὰ τὸν ἀκριβῆ τῶν γενῶν λόγον τὴν περὶ τῶν ἰδεῶν ἐποιεῖτο διδασκαλίαν· ἐκεῖθεν γὰρ λαβὼν τὴν μίμησιν, καθὰ πολλαχοῦ δεδηλώκαμεν, σπεύδει καὶ τὴν τούτων

καὶ καθ' ἑαυτὰς, αἱ δὲ ἔχουσιν ὑφ' ἑαυτὰς ἄλλας τινὰς ἰδέας ὑποβεβηκυίας αὐταῖς, ἃ δηλαδὴ καταλαμβανόμενα σαφῆ ποιεῖ τὸ διαιρούμενον· καὶ περιττὸν, περὶ τοιούτων λόγων πολυπραγμονεῖν, ὧν τὴν δύναμιν ἡ κατ' εἶδος διδασκαλία παρίστησιν. Ἐπεὶ οὖν ὑποβέβηκε τῇ σαφηνείᾳ τό τε καθαρὸν καὶ εὐκρινὲς, ἴδωμεν, τούτων πῶς ἕκαστον γίνεται, καὶ ποιοῦ δεῖ θάτερον προτάττειν. — Καὶ ἀνωτέρω εἶπεν. Vol. V. p. 462. v. 11—14. 5 Litt. δ' et ε. exstant in Sicel. sub titulo: Συριανοῦ, Ἰωάννου καὶ τῶν λοιπῶν. 6 Parr, Sicel. φανερώτερον. Mon. φανερωτέρα.

παραστῆσαι φύσιν καὶ δύναμιν· παγχάλεπος γὰρ ὁ περὶ τῶν ἰδεῶν λόγος, ὅθεν οὐδεὶς ἐτόλμησε τῶν τοσούτων καὶ τηλικούτων ἀνδρῶν, λέγω δὴ καὶ τῶν ἐκλαμψάντων ἐπὶ φιλοσοφίᾳ καὶ τοῖς τῆς ῥητορικῆς συγγράμμασιν, εἰπεῖν τι περὶ αὐτῶν, ἕως ὁ τεχνικὸς καθῆκεν ἐπὶ τὴν τοιαύτην ἐγχείρησιν· ἀγαπητὸν οὖν, εἰ καὶ ἐκ παρακολουθημάτων παραστήσει τὴν φύσιν αὐτῶν, καὶ μὴ μόνον ἐκ τῶν ἰδιωμάτων, ἀλλὰ καὶ ἐκ τῶν ἐναντίων· ταῦτα γὰρ ποιεῖν λέγει τὰ παρακολουθήματα, καὶ οὐκ ἀρκεῖται τούτῳ [7] μόνον, ἀλλὰ καὶ ἐπιφέρει τὰ ἀντικείμενα τῇ ἰδέᾳ. συντελεῖ γὰρ μάλιστα πρὸς ἀκριβῆ γνῶσιν ἡ τῶν ἐναντίων κατάληψις· εἰ δὲ μὴ εὐπορήσοι παρακολουθημάτων, [8] ἐξ ἀναιρέσεως σημαίνει τὸ ζητούμενον. οἷον τὸ μὴ ὄν, εἰ τύχοι λίθος ἢ ξύλον ἢ σίδηρος, [9] ἢ τὸ καὶ τὸ, ἄνθρωπός ἐστι· πάντα γὰρ ἀπαγορεύσαντες ἐξ ἀνάγκης εἰς τοῦτο τὸν λόγον κατεκλείσαμεν.

ς'. Ἐναντιοῦται [10] γὰρ ἡ περιβολὴ τῇ καθαρότητι κατὰ ἔννοιαν, μέθοδον, σχῆμα, λέξιν· κῶλα γὰρ καὶ συνθήκας καὶ ἀναπαύσεις καὶ ῥυθμοὺς πασῶν ἰδεῶν ἡ παραβολὴ δέχεται, ὥστε κατά γε ταῦτα οὐκ ἐναντιοῦνται ἀλλήλοις.

ζ'. Ἴδωμεν, ὅπως ἐκ τῶν παρακολουθημάτων περίστησι τὴν καθαρότητα, καὶ πάλιν αὖ ἐκ τοῦ ἐναντίου· γίνεται τοίνυν καθαρὸς λόγος ἐννοίᾳ, μεθόδῳ, λέξει καὶ τοῖς λοιποῖς· ἐναντία δέ ἐστι ταύτῃ περιβολὴ οὐ κατὰ πάντα, ἀλλὰ κατά τι. μὴ γὰρ ὥσπερ ἐπὶ τῶν ἄλλων, τὸν

---

7 Mon. τοῦτο. Parr. τούτῳ. 8 Par. 1. παρακολουθούντων. 9 ἢ σίδηρος Mon. om. Sch. min. *Περὶ τὴν μέθοδον· τὸ πῶς ἵνα τὰς ἐννοίας ἐκβάλλεις ἢ διὰ μακρῶν κώλων, ἢ δι' εὐθείας ἢ γυνικῆς. Καθαραί· αἱ ἐν τῇ συνηθείᾳ, καὶ ἀφιγμέναι εἰς* (εἰς Cod. om.) *γνῶσιν πάντων ἀνθρώπων.* 10 Ven. litt. γ' — ε. omissis; *Κατά τι, οὐ γὰρ κατὰ πάντα·* litt. ζ'. non est in cod.

αὐτὸν ἀπαιτήσεις [11] κἀνταῦθα τρόπον τὰ ἐναντία πλεῖστον ἀλλήλων διεστάναι καθὰ τοῦ ψυχροῦ τὸ θερμὸν ἢ τοῦ ὑγροῦ τὸ ξηρὸν ἢ τοῦ λευκοῦ τὸ μέλαν, τοῦτο γὰρ οὐ τῶν ἀμέσων ἐστὶν, ἆρα οὖν ἐπιδέχεται ἡ οὐσία τὸ λευκὸν ἅμα καὶ τὸ μέλαν· καὶ πῶς οἷόν τε; οὐ γὰρ δεκτικὴ τῶν ἐναντίων, πλὴν εἰ μὴ λέγοι [12] τις κατὰ μέρος· ἐπείτοι κατὰ τὸν αὐτὸν χρόνον ἐν τῷ αὐτῷ οὐκ ἂν ἐπιδέξηται τὸ λευκὸν ἢ τὸ μέλαν ἢ τὴν νόσον ἢ τὴν ὑγίειαν· ὁ δὲ καθαρὸς λόγος [13] ἐναντίος ὢν τῇ περιβολῇ δέχεταί τι τῆς περιβολῆς ἴδιον· οὐ γὰρ κατὰ τὸν προειρημένον λόγον οὕτω κἀνταῦθα λαμβάνεται τὸ ἐναντίον, ἀλλὰ κατὰ μίμησίν τινα καὶ φαντασίαν. κατὰ δὲ ἐναντίον ἐστὶν ἡ περιβολὴ τῆς καθαρότητος· καὶ ἐν τίνι συμφέρεται, ἐπαγγέλλεται ἡμῖν ἐν τῷ περὶ μεγέθους καὶ ἀξιώματος λόγῳ εἰπεῖν.

Cap. III.

Περὶ καθαρότητος.

ά. Τὴν σαφήνειαν, καθὰ δεδηλώκαμεν, ἡ καθαρότης ποιεῖ, ἧς ὑπεναντίον παθούσης κατά τινα περίστασιν ἐπεισερχομένη ἡ εὐκρίνεια θεραπεύει τὸ πταισθέν· διὰ δὴ καὶ πρώτην αὐτὴν τέταχε· καθὰ γὰρ εἴρηται πολλάκις, ἡ εὐκρίνεια τὸ πλεῖστον ἐπίκουρός ἐστιν καθαρότητος, γίνεται δὲ καθαρὸς λόγος ἅπασι τοῖς προειρημένοις, ἃ κατὰ μέρος κατὰ τὴν φυσικὴν ἀκολουθίαν ἐξετάσομεν, μηδὲν τοῦ τεχνικοῦ παρατρέψαντες· οὐδὲ γὰρ δύναται σαφηνίσαι τὸν περὶ τούτων λόγον, πλὴν εἰ μή τις ἐξακολουθήσει τῷ τεχνικῷ τοῖς αὐτοῖς σχεδὸν ἁπανταχοῦ νοήμασι καὶ λέξεσι χρώμενος.

---

11 Mon. ἀπαιτήσῃ. 12 Mon. λέγει. Par. 2. λέγοι. 13 Mon. λέγει.

β'. Βαθὺ οἱονεὶ κεκρυμμένον καὶ λανθάνον τοὺς πολλοὺς καὶ ὑπερβαῖνον τὸν πολὺν ἄνθρωπον· περινενοημένον δὲ τὸ ἐξ ἐπινοίας τοῦ λέγοντός τι προσλαμβάνον.

γ'. Αὗται γὰρ καθ' ἑαυτὰς οὐδὲν ἔχουσι βαθὺ καὶ περινενοημένον· αὐτόθεν γὰρ προκύπτουσαι πᾶσίν εἰσι καταφανεῖς, ὅταν χωρὶς αὐτῶν ἐπιφέρωνται καὶ οὗ χάριν παρελήφθησαν. ἐπείτοι συμπλεκόμεναι τοῖς μετὰ ταῦτα δειναὶ μᾶλλον ἂν φανῶσι καὶ οὐ καθαραί· συγκρίσεως γὰρ χάριν αὐτὰς ὁ ῥήτωρ παρέλαβεν.[1]

ε. Ὃ λέγει, τοιοῦτόν ἐστιν· ὁ Δημοσθένης τυχὸν ἐμνήσθη τοῦ Σαννίωνος,[2] ἵνα δείξῃ, ὅτι καὶ τοῖς ἀτίμοις οἱ Ἀθηναῖοι συγγνώμην νέμουσι καὶ οὐδεὶς αὐτοὺς ἀπείργει τοῦ ποιεῖν τι τῶν ἐπιτίμων· ὥστε πλείονος ὀργῆς ἄξιος Μειδίας, ἐπίτιμον αὐτὸν ὄντα καὶ χορηγὸν συγκόψας· διὰ μὲν οὖν ταύτην τὴν ἔννοιαν παρέλαβε τὸ κατὰ Σαννίωνα. δεῖ δέ, φησὶν, ἀκούειν τοῦ διηγήματος ἐπὶ τῆς καθαρᾶς ἰδέας, οὐχ ὡς διὰ ταύτην τὴν αἰτίαν[3] ἀπαγγελθέντος, ἀλλ' ὥς φησιν αὐτὸς καθ' ἑαυτὸ[4] ὁρᾷν· οὐ δεῖ γὰρ βαθείας εἶναι τὰς ἐννοίας τῆς καθαρότητος, ἀλλ' αὐτὰς ἐφ' ἑαυτῶν γνωρίμους εἶναι τοῖς ἀκροαταῖς.

ς'. Ἐπιβολῆς[5] τοῦ ἐπιχειρήματός φησιν. αὗται γὰρ καθ' ἑαυτὰς ἁπλούσταται σαφηνείας ἕνεκα τῶν προκειμένων παρελήφθησαν πραγμάτων, διδάξαι τὰ γεγονότα σπεύδουσαι τὸν ἀκροατήν.

---

1 Litt. δ'. vide Vol. V. p. 463. v. 11—21. Ven. litt. ά. β', γ'. omissis: Ἀλλὰ μὴ ὧν ἕνεκα παρελήφθησαν· καθ' ἑαυτὴν μὲν γὰρ ἡ προκειμένη ἔννοια θεωρουμένη σαφ. ἐστιν, ἐπειδὴ δεινώσεως ἕνεκα τῶν κ. τ. λ. 2 Mon. addit: διδασκάλου. Parr. om. 3 Mon. ἰδέαν, idem post ἀπαγγελθέντος addit: μᾶλλον καὶ τὴν αἰτίαν. 4 καθ' ἑαυτὸ Mon. per lacunam om. 5 Ven. litt. έ, omissa: Ἕνεκά γε τῆς ἐπιβουλῆς καθαρὰ τοῦ ἐπιχειρήματός φησιν,

ζ. Τὸ ἕνεκεν τῆς ἐπιβολῆς,[6] ἀντὶ τοῦ ὅσον ἦκεν εἰς ἐπιχείρημα· τὸ μὲν γὰρ κατὰ Σαννίωνα εἰς κατασκευὴν ἑτέρου παρελήφθη, ὅτι πλείονος ὀργῆς ἄξιος ὁ Μειδίας ἐπίτιμον ὄντα με τυπτήσας, τὸ δὲ[7] „κοινωνός εἰμι τοῦ δανείσματος“ ψιλῶς δι' αὐτὸ[8] τὸ πρᾶγμα.

ή. Ἐπειδὴ συγκαθέλκουσι τὰς ἐννοίας ταύτας τὰ ἐπιφερόμενα, καὶ καθαρὰς οὔσας, ὅταν καθ' ἑαυτὰς θεωροῖντο, δεικνύουσιν ἄλλο τι οὔσας, ἐπήνεγκεν ἐκ τῶν ἰδιωτικῶν τὰς ἐννοίας· ταῦτα δὲ τὰ παραδείγματα, λέγω δὴ τὸ „ἀδελφὰς ἔχομεν γυναῖκας,“ καὶ „κοινωνός εἰμι τοῦ δανείσματος,“ πάντη καθαραί εἰσιν ἕνεκα τῆς ἐπιβολῆς· κἂν γὰρ ἐπενέγκῃς τὰ μετὰ ταῦτα, οὐδὲν λυμανεῖς τὴν ἐπιβολὴν αὐτήν· μένει γὰρ οὐδὲν ἧττον καθαρὰ, τὸ γὰρ προειρημένον, οἷον „Σαννίων ἐστὶν ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων,“ ἕως τότε καθαρὸν, ἕως καθ' ἑαυτὸν θεωρεῖται· καὶ πάλιν[9] „λέγονται χρήματα οἱ τριάκοντα δανείσασθαι παρὰ[10] τῶν Λακεδαιμονίων.“ εἰ γὰρ λάβοις αὐτὰς, ὧν ἕνεκα παρελήφθησαν, ἀφανίζεις τὴν καθαρότητα, καίτοι καθαρωτάτην οὖσαν αὐτὴν, ἡνίκα καθ' ἑαυτὴν ἐθεωρεῖτο· τὰς δὲ λοιπὰς ταύτας ἐκ τῶν ἰδιωτικῶν ληφθείσας εὕροις ἂν καθαρὰς καὶ μετὰ τὰ ἐπιλεγόμενα, λέγω δὴ τῆς ἐπιβολῆς ἕνεκα· ἐκεῖ μὲν γὰρ εὐθὺς τὰ ἐπιφερόμενα συγκαθέλκει καὶ μεταβάλλει τὴν ἔννοιαν, ἐνταῦθα δὲ[11] μετὰ τὴν ἐπιβολὴν

---

6 Sch. min. ἐπιβολήν, τὸ ἐπιβάλλειν εἰς τὴν ὑπόθεσιν ἀπ' αὐτοῦ τοῦ πράγματος, ὡς τό· Χριστὸς γεννᾶται. Τοῦ δανείσματος· ἐν τῷ κατὰ Διονυσοδώρου. Ἐν ἰδιωτικοῖς· διότι οὐκ εἰσὶ περὶ δημοσίων οἱ ἀγῶνες, ἀλλ' ἰδιωτικῶν χρημάτων καὶ λοιπῶν πραγμάτων. Καθαρότητος σχεδόν· καθαρὸν λόγον καὶ ἀφήγησιν, ὡς μικρὸν ὕστερον δείξει· διὸ δὴ καὶ τὸ σχεδὸν ἐνταῦθα προστέθεικε. 7 Dem. in Dionysodor. init. 8 Par. 1. διὰ τὸ πρᾶγμα. 9 in Lept. p. 460. 10 Mon. ἐπί. Par. supra scriptum habet παρά. 11 Parr. δὲ τὸ μετά.

ἐδέξατο τὴν κατασκευήν. διαδὴ καὶ ἔμειναν καθαραί· προέταξε δὲ τὰς προλαβούσας, εἰ καὶ μὴ καθαραὶ τοσοῦτόν εἰσιν ἢ διὰ τὸ γνωριμωτέρας [12] εἶναι· δεῖ γὰρ εἶναι τοιαῦτα τὰ παραδείγματα, ἢ ὅπερ ἄμεινον, διὰ τὸ μᾶλλον ἐν τούτοις διαφαίνεσθαι τὴν καθαρότητα. σεμνοῦ γὰρ ὄντος τοῦ πράγματος, καὶ τῆς αἰτίας τῆς περὶ αὐτὸ φανερωτέρα γίνεται μᾶλλον ἡ καθαρότης ἢ ἐν τοῖς εὐτελέσιν καὶ ἰδιωτικοῖς πράγμασιν. [13]

ϑ'. Προεῖπεν ἤδη, [14] ὅτι τὸ σχῆμα τῆς ἐννοίας, ἕτερον ὂν παρὰ τὸ σχῆμα τῆς λέξεως· ἰστέον εἶναι μέθοδον.

ί. Τὸ [15] μὲν ἀπὸ ψιλῶν ἄρχεσθαι τῶν πραγμάτων ἐστὶ τὸ μηδὲν τῶν ἔξωθεν τοῦ πράγματος προεισπόντα μηδὲ τοὺς ἐκ τῶν περιστατικῶν κινήσαντα τόπους, πλὴν ὅσοι ἀναγκαιότατοι λεχθῆναι πρὸς τὴν τοῦ πράγματος διδασκαλίαν, αὐτὸ μόνον διεξελθεῖν. εἰ γὰρ [16] Ἰσοκράτης ἐν τῇ ῥητορικῇ τέχνῃ διδάσκων, ὅπως δεῖ διηγεῖσθαι, φησὶν, διηγητέον δὲ τό τε [17] πρᾶγμα, καὶ τὰ πρὸ τοῦ πράγματος καὶ τὰ μετὰ τὸ πρᾶγμα καὶ τὰς διανοίας, αἷς ἑκάτερος τῶν ἀγωνιζομένων ἔπραξε τόδε τι· σαφὴς δὲ καὶ ἡ διήγησις ἔσται τῇ λέξει, ἢ τῇ τάξει ἢ ἀμφοῖν· τὸ

---

12 Par. 1. γονιμωτέρας. 13 Sequitur in Par.: Ὃ λέγει, τοιοῦτόν ἐστι τοῦ Σαννίων καὶ τοῦ λέγονται οἱ τριάκοντα· τὰς ἐννοίας σκόπει αὐτῶν, ὅτι εἰσὶ καθαραὶ, φησὶ, καὶ ὑπὸ παντὸς δυνάμεναι νοεῖσθαι, καὶ μὴ τὰς αἰτίας, δι' ἃς ὑπὸ τοῦ Δημοσθένους παρελήφθησαν, ἐκεῖναι γὰρ δεινότητός εἰσι τῆς κατὰ μέθοδον εἰσαχθεῖσαι κατα σύγκρισιν τοῦ τε Μειδίου καὶ τῶν ἐχθρῶν τοῦ Σαννίωνος, καὶ τῶν τριάκοντα τυράννων, ἀλλ' οὐχὶ καθαρότητος. 14 Mon. ἴδιόν τι τὸ σχ. τ. ε. ἕτερον ὂν [Par. 1. ὂν om.] 15 Ven. litt. ζ'. ἡ. ϑ. omissis: Ὅταν ψιλόν τι πρᾶγμά τις ἀφηγῆται, ἢ ἄρχηται ἀπ' αὐτοῦ ψιλοῦ τοῦ πράγματος. 16 Ven. εἰ γὰρ καί. 17 τε et paullo post πρὸ ex Ven. recepi: Mon. et Parr. om.

δὲ ψιλὸν τὸ πρᾶγμα ἀφηγεῖσθαι, ἵνα μηδὲ μετὰ τὴν ἀφήγησιν τοῦ πράγματος ἐπεισενέγκωμεν ἕτερα, ὅπερ ἔνιοι ποιοῦσι πολλάκις ἐπὶ μὲν τῆς ἀρχῆς ἀφέλειαν καὶ ἰδιωτισμὸν ἐνδεικνύμενοι, μετὰ δὲ ταῦτα ποικίλως [18] ὑποῥύττοντες τοὺς λόγους, διορθώσεις τε καὶ αὐξήσεις ἐπάγοντες καὶ πολλῷ τῷ παθητικῷ χρώμενοι· φησὶν οὖν καὶ Διονύσιος ἐν πρώτῳ χαρακτήρων σφόδρα τὸν Λυσίαν ἐπὶ ταῖς τοιαύταις διηγήσεσιν ἐπαινῶν τάδε· οἶμαι δὲ καὶ τὰς τέχνας τῶν λόγων, ἐν αἷς εἴρηταί τι περὶ διηγήσεως ἀξιόλογον, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον ἢ τῶν ὑπὸ Λυσίου γραφεισῶν εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς· καὶ γὰρ τὸ σύντομον ἔχουσιν αἱ διηγήσεις καὶ τὸ σαφὲς, ἡδεῖαί [19] τέ εἰσιν, ὡς οὐχ ἕτεραι, καὶ πιθαναὶ, καὶ τὴν πίστιν λεληθότως συνεπιφέρουσιν, ὥστε μὴ ῥᾴδιον εἶναι μήτε ὅλην διήγησιν μήτε μέρος αὐτῆς ψευδὲς ἢ ἀπίθανον εὑρεθῆναι· τοσαύτην ἔχει πειθὼ καὶ Ἀφροδίτην [20] τὰ λεγόμενα, καὶ οὕτως λανθάνει τοὺς ἀκούοντας, εἴτε καὶ ἀληθῆ ἐστι, [21] εἴτε καὶ πεπλασμένα, ὡς ἁφαρμόζειν αὐτῷ τὸ Ὁμηρικὸν οὐχ ἧττον, ἢ τῷ Ὀδυσσεῖ·

Ἴσκε ψεύδεα πολλὰ λέγειν, ἐτύμοισιν [22] ὁμοῖα.

ιβ'. Οἷον, „πονηρὸν, ὦ Ἀθηναῖοι, πονηρὸν ὁ συκο-

---

18 Mon. Parr. πολλάκις. Ven. ποικίλως. 19 Ven. ἴδιαί τέ εἰσιν, οὐχ ἕτερα — καὶ τὴν πίστιν ἅμα λελ. 20 Schol. min. ἡδονὴν, χάριν, γλυκύτητα. Mon. glossam in contextum recepit. Ven. τοσαύτην ἔχειν et οὕτως λανθάνειν. etiam Mon. λανθάνειν. 21 Par. 1. εἰσίν. Mon. πεπλαμμένα, ὡς ἐφ. αὐτά. Ven. πεπλασμένα, ὥστε ἐφ. αὐτῷ. 22 Ven. ἑτοίμοισιν ὁμοῖα. Par. Mon. ἐτύμ. ὅμοια. Od. I., 203. — Sequitur in Ven.: Οἷον γένος εἶδει προσλαμβάνων ἢ ὅλον μέρει ἢ ἀόριστον ὡρισμένῳ ἢ κρίσιν δικαστῶν ἢ ποιότητα πράγματος ἢ τὴν πρὸς ἕτερον διαφοράν. Schol. min. γένος· ζῶον μικτὸν δημιουργεῖ τὸν ἄνθρωπον. — Litt. ia. vide Vol. V. p. 464. v. 1.—p. 475. v. 9.

φάντης·“ γένος μὲν ἐνταῦθα ὁ συκοφάντης, εἶδος δὲ, τοῦτο δὲ καὶ φύσει κίναδος [23] τἀνθρώπιόν ἐστιν· εἶδος δὲ ὁ Αἰσχίνης.

ιγ'. Ὅταν μηδὲ ἔξωθεν συνεφέλκηται, τότε μάλιστα ποιεῖ καθαρὸν τὸν λόγον, οἷον γένος εἴδει προλαμβάνων, ὡς ὅταν λέγῃ, πᾶσα μὲν ἡ ἀρετὴ καλὸν, μάλιστα δέ γε ὁ περὶ τῆς σωφροσύνης λόγος ἢ ὅλον μέρει· θαυμάζω μὲν ἔγωγε τὴν τῶν Ἀθηναίων πόλιν, ἕως ἂν μὴ πρὸς τὴν ἀκρόπολιν ἀποβλέψω· νικᾷ γὰρ τῇ θέσει καὶ τῷ κάλλει, καὶ οὐκ ἐᾷ φαινομένην τὴν πᾶσαν θαυμάζειν πόλιν, εἰ καὶ σμικρὸν ὑπάρχει μέρος αὐτῆς, ἢ τὴν πρὸς ἕτερον διαφοράν· οἷον „ὑπεσχόμην [24] χορηγήσειν μηδενὸς ἄλλου ὑπισχνουμένου·“ ἢ ἀόριστον ὡρισμένῳ· [25] „πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου·“ καὶ ἑξῆς· ἢ κρίσιν δικαστῶν. „οἶμαι [26] καὶ ὑμᾶς συνομολογήσειν, κοινὸν εἶναι τὸν ἀγῶνα ἐμοὶ καὶ Κτησιφῶντι·“ ἢ ποιότητα πράγματος, ὡς ἔχει τὸ, „ὑβρισθεὶς [27] καὶ παθὼν ὑπὸ Κόνωνος τουτουὶ τοιοῦτο“ καὶ τὰ ἑξῆς· ἢ τὴν πρὸς ἕτερον διαφοράν· οἷον „εἰ μὲν ξένος ἦν, ὦ ἄνδρες, ὁ πλημμελήσας, μετρίως ἂν ἤνεγκα τὸ συμβάν· νῦν δὲ ποιεῖ τὴν ὕβριν ἀφόρητον, τὸ παρ' ἐκείνου τοιαῦτα παθεῖν, ὑφ' οὗ τὴν ἀρχὴν οὐκ ἤλπιζον πείσεσθαι· φίλος γὰρ ἦν τῷ δοκεῖν καὶ πολλὴν συνήθειαν ὑπεκρίνετο·“ περιβάλλει γὰρ ἅπαντα ταῦτα καὶ εἰσὶν ἔννοιαι περιβολῆς, ἀναιροῦσαι τὴν καθαρὰν μέθοδον· καὶ οὐ χρὴ θαυμάζειν ἐπὶ τούτῳ· ῥᾷστα γὰρ ἂν συνίδοι τις τὴν αἰτίαν ὁ καὶ διασκοπήσας τὴν φύσιν τῆς περιβολῆς· οὐ γὰρ ἐκ τῶν πραγμάτων, ὥσπερ αἱ ἄλλαι, γίνεσθαι πέφυκεν, ἢ λαμβάνειν ἐξ αὐτοῦ τὴν ἔννοιαν, ἀλλ' ἐκ τῶν παρακολουθούντων τοῖς

23 Mon. κίναιδος. Pro cor. p. 307. 24 in Mid. p. 519. 25 Mon. ὁρισμῷ. Pro cor. init. 26 Pro cor. p. 5. 27 Pro cor. init.

πράγμασιν. ὅταν δὲ ἡ μέθοδος ἐκπέσῃ τῆς οἰκείας φύσεως, εἰς τὸν τῆς περιβολῆς ἐμπίπτει λόγον· ἢ γὰρ ἐξ αὐτοῦ [28] τοῦ πράγματος ἄρχεται, καὶ ποιεῖ δηλονότι τὸν λόγον καθαρὸν, ἢ ἐκ τῶν παρακολουθούντων· οὐ γὰρ ἂν ἐξ ἄλλου πράγματος εἴποι τις αὐτὰ ποιεῖσθαι τὴν ἀρχήν. καὶ ἐμπίπτει, καθὰ μεμαθήκαμεν, εἰς περιβλητικὴν ἔννοιαν, ὥστε τῆς οἰκείας ἡ μέθοδος αὕτη ἐκπίπτουσα φύσεως γίνεται πάντως περιβολή· καὶ εὑρίσκεται ἡ τῆς περιβολῆς ἔννοια τὴν μέθοδον τῆς καθαρότητος ἀναιροῦσα κατὰ τὸν προειρημένον λόγον, καὶ οὐ τὴν ἔννοιαν. Ἀναιρουμένη γὰρ ἡ περιβολὴ σχεδὸν ἐκ τῶν παρακολουθούντων τῶν πραγμάτων λαμβάνει τὴν ἔννοιαν.

ιδ'. Τὰ περιστατικὰ μύρια λέγει, οἷς ἐν καθαρότητι οὐ δεῖ πᾶσι κεχρῆσθαι ἢ τοῖς πλείοσιν, ἀλλ' αὐτὸ μόνον ἀφηγεῖσθαι τὸ πρᾶγμα, ὅτι τυχὸν ἐχορήγησα, μὴ προστιθέναι δὲ τὸν χρόνον, ὅτι τρίτον ἔτος τουτὶ, μηδὲ τὸν τύπον, ποῦ· ὑπεσχόμην ἐν τῇ ἐκκλησίᾳ τοῦτο ποιεῖν, μηδὲ τὴν αἰτίαν, ἐπειδὴ, φησὶν, οὐ [29] καθεστηκότος χορηγοῦ στάσις ἦν· μηδὲ τὸν τρόπον, ὅτι ἐθελοντής· τοῦτο γὰρ ἔδει τάξαι μετὰ τὴν διήγησιν τοῦ πράγματος, εἴγε ὁ Δημοσθένης ἐβούλετο καθαρότητα ἐργάσασθαι, ἢ τελέως παραλιπεῖν· τὸ δὲ εἴ τι τοσοῦτον ἴσως εἶπεν, ἐπει-

---

28 ἐξ αὐτοῦ τοῦ πράγματος — — — αὐτὰ ποιεῖσθαι Mon. om. 29 οὐ Mon. om. — In Mid. p. 519. Sch. min.: Ταῦτά τις προσλαμβάνων· τὰ περιστατικὰ, ἢ τὰ προειρημένα, γένος εἶδει, ὅλον μέρει καὶ τὰ λοιπά. Μέθοδος καθαρότητος· τὸ μετὰ τὸ πρᾶγμα χρῆσθαι τοῖς πραγματικοῖς. Δόξει μέν· ὃ τιθείς. Καθαρῶς· τὰ περιστατικὰ μὴ προηγουμένως, ἀλλὰ κατὰ δεύτερον λόγον καὶ σκοπὸν δόξει μὲν λέγειν καθαρῶς, οὐδὲν δὲ ἧσσον παραβάλλει. Τά τε προειρημένα· τὸ μετὰ τὸ πρᾶγμα κεχρῆσθαι τοῖς περιστατικοῖς.

ἐπειδὴ οἶδέ τινας καὶ ἄλλα περιστατικὰ προστιθέντας· αὐτίκα γοῦν ὁ φιλόσοφος Πορφύριος ἐν τῇ περὶ τῶν στάσεων τέχνῃ περιστατικά φησιν ἑπτά· πρόσωπον, πρᾶγμα, χρόνον, τόπον, τρόπον, αἰτίαν, ὕλην· διὰ τοῦτο νῦν Ἑρμογένης ἀπαριθμησάμενος τὰ περιστατικὰ τὰ πέντε, ὡς καὶ ἄλλου τινὸς ὄντος εἶπεν, ὅτε τοιοῦτον. ἰστέον δὲ, ὅτι οἱ πολλοὶ τῶν τεχνογράφων βούλονται πέντε εἶναι, τὸ πρᾶγμα οὐ λέγοντες περιστατικόν, ἐπειδὴ ἀνάγκη, τὰ ἄλλα περὶ τὸ πρᾶγμα εἶναι παρακολουθεῖν αὐτῷ· Ἀθανάσιος δέ φησιν ἓξ.

ιέ. Ἐξ ἀνάγκης γάρ, φησὶ, ταῦτα παρακολουθεῖ τοῖς πράγμασιν, ὡς ὁ τεχνικὸς λέγει· τινὲς δὲ ἀντιπίπτουσιν· οὔτε γὰρ μέρος ἐξεταζόμενον καθ' ἑαυτὸ συνεισφέρει τὸ ὅλον, οἷον χεὶρ, ποῦς, κεφαλή· τάχα δὲ καὶ τὸ εἶδος, ὥσπερ ἔνιοι τῶν σοφῶν λέγουσιν, ὅταν αὐτὸ καθ' ἑαυτὸ θεωρῇ τις, οὐ συνεισφέρει τὸ γένος· τὰ δὲ περιστατικὰ κατὰ ἀνάγκην παρακολουθεῖ τοῖς πράγμασιν ἀναμφηρίστως· οἷον ποῦ, πότε, τίς, διότι, καὶ τὰ ἑξῆς. [30]

ις'. Εἰ καὶ μετὰ τὸ πρᾶγμα, φησὶν, τάξει τὰ περιστατικὰ, δόξαν μὲν καθαρότητος καὶ ὑπόνοιαν δίδωσιν, ὅμως οὐ καθαρῶς, [31] καθάπερ προσῆκον, ἐρεῖ· ἴδιον γὰρ μάλιστα καθαρότητος τὸ μὴ κεχρῆσθαι περιστατικοῖς.

ιζ'. Ἔστι μὲν γὰρ καὶ αὕτη ἡ μέθοδος τῆς καθαρότητος, μετὰ τὸ πρᾶγμα ταττομένων τῶν περιστατικῶν· πλὴν οὐ καθαρῶς, ἐρεῖ τις, κἂν δοκῇ λέγειν καθαρῶς. ὅτι δὲ τὸ μὴ ἄρξασθαι ἀπὸ ψιλοῦ πράγματος περιβολὴν ποιεῖ, δηλοῖ τὸ „ὑβρισθεὶς, ὦ Ἀθηναῖοι, καὶ

30 Sequitur in Parr. τῷ πράγματι κ. τ. λ. Vol. V. p. 466. v. 3—9. 31 Mon. οὐ καθαρῶς ἐρεῖ τις κἂν δοκεῖ λέγει καθαρῶς. correxi ex Monn.

παθὼν ὑπὸ Κόνωνος [32] τουτουὶ τοσαῦτα," καὶ τὰ ἑξῆς. [33]

ιθ'. Δοκεῖ ὁ Ἑρμογένης ἐνταῦθα ἐναντιοῦσθαι ἑαυτῷ, ἀξιῶν μὲν τὴν μέθοδον σχῆμα νομίζειν εἶναι διανοίας, νῦν δὲ λέγων τὴν ἀφήγησιν μέθοδον εἶναι, ἀλλ' οὐχὶ σχῆμα, ὡς ἑτέρας τινὸς οὔσης τῆς μεθόδου παρὰ τὸ σχῆμα τῆς διανοίας. φαμὲν οὖν, τὸ μὲν σχῆμα τῆς διανοίας πάντως ἐστὶ μέθοδος· οἷον ὁ πλαγιασμὸς, σχῆμα ὢν περιβολῆς, μέθοδος δὲ ὡς παρὰ Δημοσθένει· [34] „τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου," καὶ ἐν παν ηγυρικῷ Ἰσοκράτης· [35] „Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν ἡμῶν·" ἡ δὲ μέθοδος οὐ πάντως ἐστὶ σχῆμα διανοίας, οἷον τὸ ἄρχεσθαι ἀπ' αὐτοῦ ψιλοῦ τοῦ πράγματος· οἷον, „ἀδελφὰς ἔχομεν, ὦ Ἀθηναῖοι, γυναῖκας·" [36] διὰ τοῦτο τοίνυν, φησὶν, ὅτι μέθοδός ἐστι καὶ οὐ σχῆμα, ἐπειδή ἐστί τινα μὴ ἀναστρέφοντα· ἢ οὕτως· ἡ ἀφήγησις οὐ σχῆμά ἐστι λέξεως, ὥς τινες οἴονται, ἀλλὰ διανοίας ἐστὶ μέθοδος. [37]

---

32 Parr. addunt: Ἐν τῷ κατὰ Κόνωνος αἰκίας [init.] ὑβρισθεὶς, ὦ ἄνδρες, καὶ παθὼν ὑπὸ Κόνωνος τουτουὶ τοιαῦτα, ὥστε πολὺν χρόνον μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν παραφευξεῖσθαί με, ὑγιάνας καὶ σωθεὶς ἀπροσδοκήτως ἔλαχον αὐτῷ τὴν δίκην τῆς αἰτίας ταυτηνί." Ad μεθόδου καθαρᾶς· οἷον τὸ ἄνδρες ἀδελφοὶ καὶ συμπέντητες· φαίνεται μὲν ὁ λόγος καθαρὸς, ὅσον ἀπὸ τῶν λέξεων· καθὸ δὲ ἔχει τὸ ἄνδρες ἀόριστον, ὁμοίως καὶ τὸ ἀδελφοὶ καὶ τὸ συμπέντητες οὐ μόνον ἀόριστα, ἀλλὰ καὶ καθολικὰ, περιβολῆς εἰσι· τὰ γὰρ ἀόριστα περιβολῆς εἰσι. Ἄλλως πως εἰς ἀγειν· καθαρότητος. Εἴτε δὲ μέθοδος τῷ δοκεῖν ἐνδοιαστικῶς προήνεγκε τὸν περὶ τῆς ἀφηγήσεως λόγον· εἴτε γὰρ σχῆμα, φησὶν, εἴτε μέθοδος ἡ ἀφήγησις, συμβάλλεται τῇ καθαρότητι. Τοῖς πολλοῖς αὐτῶν· ἤγουν τῶν λέξεων. 33 Litt. ιή. vide Vol. V. p. 467. v. 4—10. 34 pro cor. p. 230. 35 p. 28. p. 50. Bekk. 36 Dem. in Spud. init. 37 Mon. μέγεθος. — Litt. κ'. vide Vol. V. p. 466. v. 28 — p. 467. v. 4. Litt. κά. p.

κβ'. Τουτέστι· τὰ σχήματα σχηματισμοῖς ἄλλοις γίνεσθαι οὐ πέφυκεν, οἷον τὸ κατὰ μερισμὸν σχῆμα οὐ γίνεταί ποτε δι' ἀποφατικοῦ σχήματος, ἀλλ' οὐδὲ τὸ ἀποφατικὸν κατὰ μερισμόν, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ ἕκαστον συνίσταται σχῆμα, ἰδίαν ἔχον ὕπαρξιν· ἡ δὲ ἀφήγησις οὐ καθ' ἑαυτὴν συνίσταται, ἀλλὰ διὰ τῶν ἄλλων δείκνυται. οἷον διὰ τοῦ πλαγιασμοῦ, διὰ τοῦ μερισμοῦ· οὐκ ἄρα οὖν σχῆμα· ὅμως μετὰ ταῦτα συντίθεται σχῆμα εἶναι κατὰ μέθοδον.

κγ'. Μερίσας, κατὰ μερισμὸν τῇ ἀφηγήσει χρησάμενος, οἷον Κροῖσος [38] ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων, καὶ παρὰ Δημοσθένει τῷ μὲν γὰρ συνδέσμῳ καὶ τῷ δὲ χρώμενος μερίζοι τὰς διανοίας διαφόρως.

κδ'. Τί ἐστι σχῆμα, εἴρηται, ὅτι ὑπαλλαγὴ λόγου τυχὸν ἀπὸ περιόδου, κύκλος, ἤ τι τοιοῦτον, περὶ ὧν ἐν τῷ τετάρτῳ τόμῳ τῶν εὑρέσεων ὁ τεχνικὸς διαλαμβάνει· καλῶς οὖν λέγει, ὅτι καὶ ἡ ἀφήγησις μέθοδός ἐστιν· ἐν πολλοῖς γὰρ σχήμασιν ἐξαγγέλλεται· σχῆμα δὲ σχήματος οὐκ ἔστι. [39]

κε'. Διὸ τὸ ἀταρπὸς οὐ τέτραπται μὲν, ταχὺ δέ ἐστιν· καὶ οὐχ ἁρμόττει καθαρῷ λόγῳ· ἀτραπὸς [40] δὲ ἦν τὸ ὑγιὲς [41] παρὰ [42] τὸ μὴ τρέπεσθαι· δηλοῖ δὲ τὴν εὐθεῖαν ὁδὸν καὶ ἀκαμπῆ, εἶτα καὶ κατὰ μετάθεσιν τοῦ ρ' ἀτραπός.

κζ'. Ὁποίας μὲν δεῖ λαμβάνειν ἐννοίας καὶ μεθόδους, πρὸς τὸ ποιῆσαι καθαρόν τινα λόγον, ἀρκούντως ἐδίδαξεν. [43] ἑξῆς δὲ ἐπὶ τὴν λέξιν μέτεισι καὶ λέγει κα-

---

467. v. 11—21. 38 Herod. I. 26. 39 Ven. litt. κβ'—κδ'. omissis transit ad κέ. Καὶ μὴ τετραμμένην τροπὴν ἔχουσα καὶ μεταφορὰν, ὡς τὸ τετραμμ. vide Vol. V. p. 468. v. 6—9. 40 Mon. ἀταρπός. Parr. ἀτραπός. 41 Mon. τοῦ γιές. 42 Par. 1. διά. 43 ἐδίδαξεν Mon. om.

θαρὰν εἶναι τὴν κοινὴν καὶ εἰς ἅπαντας ἠκουσαν, καὶ μὴ τετραμμένην, μηδὲ ἀφ' ἑαυτῆς οὖσαν σκληράν, ὡς τὸ ἀταρπός· ἡ γὰρ ἐκφώνησις τῶν στοιχείων τραχεῖα, καὶ τὸ ἐκνενεύρικεν [44] ἁρπάζων τὴν Ἑλλάδα· καὶ ἁπλῶς εἰπεῖν· δεῖ φυγεῖν τοὺς καλουμένους τρόπους καὶ τὰς τροπικὰς λέξεις· ποιεῖ δὲ τὸν τρόπον ἡ ἀκυριολεξία, καὶ ἔστιν ἐναντία τῷ σχήματι· εὕροις δὲ τὰς τοιαύτας λέξεις μάλιστα παρ' Ὁμήρῳ· φιλῶν γὰρ τὰς ἐμφαντικὰς λέξεις κέχρηται συνεχῶς τοῖς τρόποις, ὡς ἔχει τό·

Πύδας [45] πολυπίδακος Ἴδης·

καὶ τό

Ἄκρην [46] κὰκ κορυφήν.

λέγεται γὰρ ἡ κορυφὴ κυρίως ἐπὶ τῶν ὀρέων· ὁ δὲ ποιητὴς ἐμφᾶναι τὸ πάθος βουλόμενος ἐχρήσατο ταύτῃ τῇ λέξει, δεικνὺς, ὡς κατὰ τὸ ἀκρότατον τῆς κορυφῆς ἐνέπεσεν ἡ πληγή· καὶ ἁπλῶς εἰπεῖν αἱ τοιαῦται λέξεις ἐμφαντικαὶ τῶν ὑποκειμένων εἰσὶν ἢ κυρίως λεγόμεναι· πλὴν λυμαίνονται τὴν καθαρότητα, καὶ σπανίως ἂν εὕροις τὴν τοιαύτην παρὰ Ἰσοκράτει λέξιν· κέχρηται γὰρ μάλιστα ταῖς καθαραῖς. [47]

κθ'. Ἔστι μὲν τοῦτο ἐκ τοῦ κατὰ [48] Τιμοκράτους· διὰ τί δὲ καθαρότητος λέγει εἶναι σχῆμα; οὐ γὰρ ὀρθὴ πτῶσις, ἀλλ' ἀντωνυμία τὸ ἐγώ· φαμὲν, ὅτι, ὥσπερ ἐπὶ τῶν ὀνομάτων ἡ ὀρθὴ πτῶσις ὀρθότητα ποιεῖ· οἷον „Σαννίων [49] ἐστί· δήπου τις," καὶ Κροῖσος ἦν, οὕτως ἐπὶ τῶν ἀντωνυμιῶν αἱ τοῦ πρώτου προσώπου [50] ὀρθότητα ποιοῦσιν, ὡς τό· ἐξῆλθον [51] ἔτος τουτὶ τρίτον —

---

44 Mon. ἐκνενεύρισκεν. 45 Il. Υ. 59. 46 Mon. ἄκρον. Il. Ο. 83. 47 Ven. litt. κς'. κζ'. omissis transit ad κή. Πολὺ δὲ τὸ καθαρὸν τῆς λέξεως παρ' Ἰσοκράτει· τοσοῦτον γὰρ πεφρόντικε, etc. vide Vol. V. p. 469. v. 6—22. 48 κατὰ Mon. om. 49 in Mid. p. 533. 50 προσώπου Mon. om. 51 In Conon. p. 1257.

εἰς Πάνακτον·“ ἰστέον δὲ ἐντεῦθεν, ὅτι καὶ ἐκ τῆς ἀρχῆς μόνου τοῦ κώλου τὸ σχῆμα γνωρίζεται, ὡς τὸ „ἐγὼ γὰρ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ·“ [52] μέχρι τούτων ἡ ὀρθότης.

λ'. Δεῖ δὲ τὸ σχῆμα, φησὶ, καθ' αὑτὸ μόνον ὁρᾶν, ὥσπερ καὶ τὰ προσλαβόντα· εἰ γὰρ καὶ τὰ ἐφεξῆς ἐπενέγκοις, οὐκ ἂν εὕροις τὸν λόγον καθαρόν. ἀλλὰ δεῖ, καθὰ δεδηλώκαμεν, αὐτὸ ἀφ' ἑαυτὸ ὁρᾶν, περὶ ὧν ὁ λόγος, ἐπεὶ καὶ τὰ προειρημένα, τὸ, „Σαννίων ἐστὶ,“ καὶ τὸ, „ἀδελφὰς ἔχομεν γυναῖκας“ καὶ τὰ τοιαῦτα, καθ' ἑαυτὰ μὲν ἐξεταζόμενα καθαρά· μετὰ δὲ τῶν ἑπομένων θεωρούμενα μόνον οὐκ ἐῶσι τὸν λέγοντα καθαρόν· σχῆμα οὖν καθαρότητος ἡ ὀρθότης.

λά. Οὐ γὰρ [53] εἴασε, φησὶ, τὰ ἐφεξῆς εἰρημένα, λέγω δὲ τὸ [54] „ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι,“ μεῖναι τὸν λόγον ἐφ' ἑαυτοῦ, ἀλλ' ἐπενεχθέντα διέλυσε τὴν ὀρθότητα.

λβ'. Ἐκεῖνα τὰ ἐφεξῆς, τὸ „ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι,“ οἷον „Ἀνδροτίωνα λέγω·“ τοῦτο γὰρ διέλυσε τὴν ὀρθότητα· αὐτὰ δὲ ἕκαστα ἐφ' ἑαυτῶν, ἀντὶ τοῦ, αὐτὰ καθ' ἑαυτὰ ἐξεταζόμενα, ἵνα μὴ καὶ τὴν ἔννοιαν προσεξετάσωμεν· ἐνδέχεται γὰρ τὴν μὲν ἔννοιαν εἶναι περιβολῆς, τὸ δὲ σχῆμα τῆς λέξεως καθαρὸν, ὡς ὑποκατιὼν ἐρεῖ.

λγ'. Ὁ πλαγιασμὸς τοιοῦτός ἐστι· „τοῦ [55] γὰρ Φω-

---

52 c. Timocr. p. 701. — Parr. add.: Ἐγὼ θαυμάζω, ὅ τί ποτέ ἐστιν, ὃ πρὸς τοὺς ἐμοὺς πεπόνθατε λόγους· τὸ σχῆμα μόνον ὅρα, εἰ ἀπ' εὐθείας ἐστὶ, καὶ μὴ τὰς λέξεις· αἱ γὰρ λέξεις περιβολῆς εἰσι· ὁ γὰρ ἄνθρωπος εἶδος, τὸ πονηρὸς καὶ φιλαπεχθήμων γένος. Σημαίνει γὰρ πάντας τοὺς πονηρούς· καθαρώτερον δὲ τοῦ θεολόγου καὶ κατὰ τὴν λέξιν καὶ κατὰ τὸ σχῆμα. 53 Litt. λά. exstat etiam in Sicel. litt. κδ'. sed diversa. 54 Codd. τῷ. scr. τό. — in Timocr. p. 701. 55 pro cor. p. 230.

κικοῦ συστάντος πολέμου·" καὶ ἐν τῷ παν-ηγυρικῷ [56] Ἰσοκράτης· „Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν πόλιν ἡμῶν."

λδ'. Τεκμήριον, φησὶ, τούτου τὸ τὸν πλαγιασμὸν ἀφανίζειν τὴν καθαρότητα, καὶ μεταβάλλειν εἰς τὸ ἐναντίον· εἰ γὰρ πλαγιάσαις, φησὶ, κἂν ἀφηγῇ, πάντως περιβαλεῖς· ἐννοίας γὰρ ἄλλας ἐφέλκονται οἱ πλαγιασμοί.

λέ. Ἡ μὲν [57] καθαρότης εἶδός ἐστι τῆς σαφηνείας, ἥτις διαιρεῖται εἰς καθαρότητα καὶ εὐκρίνειαν, ἡ δὲ περιβολὴ εἶδός ἐστι τοῦ μεγέθους· τοῦτο γὰρ διαιρεῖται εἰς σεμνότητά, περιβολὴν, [58] τραχύτητα, λαμπρότητα, [59] ἀκμὴν, σφοδρότητα.

λς'. Ὅτι τῆς σαφηνείας ἴδιον ἡ ὀρθότης, ἐκ τῶν παραδειγμάτων τοῦτο ποιεῖ φανερόν. τὸ γὰρ „ἦν Καυδαύλης," φησὶ, καὶ τὸ „Κροῖσος ἦν," καὶ ὅσα παραπλήσια τούτοις εἰσφερόμενα κατ' ὀρθότητα, καθαρὸν ποιεῖ τὸν λόγον· ἴσως δὲ κἂν ἄρξηταί τις ἐκ πλαγιασμοῦ, ἐπενέγκῃ δὲ τὴν ῥηματικὴν [60] εὐθὺς ἀπόδοσιν καὶ στήσαι [61] τὴν ἔννοιαν, κἂν ἁμάρτοι τῆς καθαρότητος, οἷον „ἀνθρώπῳ γὰρ ἐγὼ προσέκρουσα πονηρῷ καὶ φιλαπεχθήμονι·" μὴ οὖν ζήτει μόνον κατ' εὐθεῖαν προφέρειν τὸν λόγον· καλὸν μὲν γὰρ τοῦτο, πλὴν ἐπιφέρειν σπούδαζε τὸ ῥῆμα, ὅπως ἐκ τοῦ βραχέως στήσῃς τὴν ἔννοιαν· [62] ἐγὼ γὰρ τοὐναντίον φημὶ, κἂν ἀπὸ πλαγια-

---

56 p. 50. Bekk. 57 Exstat in Sicel.: Ἡ μὲν γὰρ καθαρ. 58 περιβολὴν Mon. et Parr. om. est in Sicel. 59 Sicel. post σφοδρότητα. tum addit: τὸ ὅλον οὖν, φησὶν, εἶδος ἡ περιβολὴ τῇ ὅλῃ ἰδέᾳ τῇ καθαρότητι ἐναντίον. 60 Mon. ῥητορικήν. Parr. ῥηματικήν. 61 Mon. τίσοι. Par. 2. στήσοι. Par. 1. στήσαι. 62 τὴν ἔννοιαν Mon. om. Sch. min.: Τῇ καθαρότητι εἶδος ὅλον· οὕτω καὶ ἡ καθαρότης τὸ εἶδος ἤγουν ἡ ἰδέα τῷ εἴδει τῆς περιβολῆς ἐναντία. Ἡ περιγραφή· ἤγουν ἡ

σμοῦ ἄρξῃ, μὴ διὰ μακροτέρων δὲ τὴν ῥηματικὴν ποιήσῃς ἀπόδοσιν, οὐδὲν ἧττον ὁ λόγος ἔσται καθαρός· εἰ δὲ καὶ ἐξ εὐθείας λάβοις τὴν ἀρχὴν καὶ τὴν λέξιν, εὐθὺς ἐπενέγκῃς τὴν ῥηματικὴν, καθαρώτατον ποιήσεις τὸν λόγον, εἰ δὲ καὶ πλαγιάσεις καὶ διὰ μακροτέρων ἐπενέγκοις τὴν ῥηματικὴν ἀπόδοσιν, περιβαλεῖς· οἷον Κροίσου ὄντος καὶ Κανδαύλου ὄντος [63] εἰ λέγοις, ταραχή τις ἔσται διὰ τὸ δεῖν πάντως ἀκολουθῆσαι τὸ ἕτερον νόημα. [64]

λζ. Ἔννοια γὰρ περιβολῆς, ὡς μέλλει λέγειν, ὅταν τις μὴ φίλα μηδὲ καθ' ἑαυτὰ λέγῃ τὰ πράγματα, ὡς τὸ, „ἐξῆλθον ἔτος τουτὶ τρίτον εἰς Πάνακτον," ἐν τῷ κατὰ Κόνωνος, ἀλλὰ μετὰ τῶν παρακολουθούντων, τουτέστι τῶν περιστατικῶν, τόπου, χρόνου, αἰτίας, τρόπου, καὶ πρὸς τούτοις τῆς γνώμης· τοῦ προσώπου, ἃ ἐστιν ἐν τῷ κατὰ Μειδίου· [65] ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ, τόπος μὲν ἡ ἐκκλησία· χρόνος δὲ τρίτον ἔτος τουτί· αἰτία, ἵνα μὴ στάσις ᾖ· τρόπος, ὅτι ἐθελοντής· γνώμη τοῦ προσώπου, ὅτι διὰ φιλοτιμίαν· οὕτω μὲν κατὰ ἔννοιαν περιβέβληται· κατὰ δὲ σχῆμα, ὅτι οὐ κατὰ ὀρθότητα προσενήνεκται, ἀλλὰ κατὰ πλαγιασμὸν καί ἐστιν ἐγκεκλιμένον.

συμπλήρωσις, ὁ ἀπαρτισμὸς, τὸ ἀπαρτίσαι τὴν διάνοιαν καθ' ἑαυτήν. ib. τουτέστιν ἡ περιοχὴ καὶ σύγκλεισις. 63 καὶ Κανδαύλου ὄντος Par. 1. om. 64 Par. add. Ἐφεξῆς εἰσι. Vol. V. p. 470. v. 9—11. 65 p. 518. Sch. min. Τῷ αὐτῷ σχήματι· τῷ κατὰ πλαγιασμόν. Ἔτος τουτὶ τρίτον· καὶ τὰ ἑξῆς, διότι ἔχει τὰ περιστατικὰ, ἐστὶ περιβεβλημένον. Ἑπόμενα λέγει τὰ ἐφεξῆς ῥητέα Δημοσθένει· τὸ τρίτον ἔτος τουτὶ καὶ τὰ λοιπά· ἐν αὐτοῖς γὰρ ἡ ἔννοια μὲν τῆς περιβολῆς σώζεται διὰ τῶν περιστατικῶν· τὸ σχῆμα δὲ ὑπήλλακται. Περιγράφων· σμικρύνων, συντέμνων· ib. αὐτὰ καθ' ἑαυτὰ ἀφορίζων καὶ περικλείων. Τόνον λέγει τὴν τάσιν, καὶ τὴν μακρὰν ἀπόδοσιν. Τοῖς περὶ ταύτην· σχήματι, κώλῳ, μεθόδῳ· ἡ γὰρ ἔννοια μένει περιβεβλη-

λή. Τὸ [66] κατὰ σχῆμα καὶ τὴν λέξιν καὶ τὰ κῶλα· τὰ περιστατικὰ γὰρ, οἷς ἐν τούτῳ κέχρηται ὁ ῥήτωρ, ἀνάγκη τὸν μεταβάλλοντα μὴ παρελθεῖν, ὥστε κατὰ σχῆμα μόνον μεταβαλεῖς, [67] οὐ κατὰ ἔννοιαν τὸ διήγημα· ἔστιν οὖν περιβολὴ μὲν κατὰ ἔννοιαν ἕνεκα τῶν περιστατικῶν, καθαρότης δὲ κατὰ τὸ [68] τῆς ὀρθότητος. [69]

μένη. Κατὰ ἀφαίρεσιν· ἀφαιρεῖται γὰρ ὁ πλαγιασμὸς, καὶ χωρίζεται ὁ λόγος, ἄλλο παρὰ τὸν ἐν περιβολῇ γινόμενον. 66 Sicel. Τὸ μὲν κατ' ἔννοιαν αὐτοῦ περιβεβλημένον οὐκ ἀφαιρήσῃ· τὰ περιστατικὰ γὰρ, οἷον ἐν τούτῳ κ. τ. λ. 67 Sicel. μεταβαλεῖ. 68 τὸ Sicel. om. 69 Mon. καθαρότητος. Sequitur in Par. (Veneto a verbis: θαυμάζειν δὲ οὐ χρὴ τὸν τρόπον τῆς διδασκαλίας τοῦτον usque ad μεμνῆσθαι τῶν τελευτ. consentiente.) Οἶδε τὴν διάλληλον δεῖξιν καὶ παρὰ τοῖς φιλοσόφοις διαβεβλημένην, ὡς σφόδρα ἕωλον καὶ ἀναπόδεικτον· ποῦ οἰκεῖ Δίων; ὅπου οἰκεῖ Θέων· ποῦ δὲ Θέων; ὅπου Δίων. τὸ οὖν δι' ἀλλήλων ἥκειν τὰς ἰδέας, καὶ πῇ μὲν δυσὶ, πῇ δὲ τρισὶ, πῇ δὲ πλείοσι μέρεσιν ἀλλήλων κοινωνεῖν, ὡς προϊόντες γνωσόμεθα, αἰτίαν φησὶ τοῦ κἂν τοῖς πρώτοις μεμνῆσθαι τῶν τελευταίων. Ἐπειδὴ, καθὼς πολλάκις δεδηλώκαμεν, καὶ ἐκ τῶν ἐναντίων παραδίδωσι τὸ ζητούμενον· ἀγαπητὸν γὰρ ὁπωσοῦν παρασῆσαι τὰς ἰδέας· ἐδόκει δὲ τοῦτο τοῖς μὴ προσχοῦσι μέμψεως ἄξιον, ἐπεσημήνατο καὶ λέγει, μὴ δεῖν θαυμάζειν, εἰ τοιοῦτον τῆς διδασκαλίας προελόμεθα τρόπον, καὶ διαλεγόμεθα περὶ τῆς περιβολῆς, ὡς ἤδη διδάξαντες περὶ αὐτῆς· εἰ μὲν γὰρ ἄλλως ἐνῆν διδάσκειν, περίεργον ἦν, ὡς ἀληθῶς μνήμην ποιεῖσθαι περιβολῆς· εἰ δὲ συντελεῖ μάλιστα πρὸς τὴν κατάληψιν τῆς καθαρότητος, οὐδὲν ἂν ἔχοι τις λέγειν, εἰ μὴ καὶ τὸν περὶ σαφηνείας ἐκβάλλει λόγον· ὅτι ταύτην ἀφιεὶς περὶ καθαρότητος διδάσκει καὶ εὐκρινείας· ὥσπερ γὰρ ἐκείνην ἐκ τῶν ὑποβεβηκότων παρίστησιν, τὸν αὐτὸν τρόπον καὶ ἐκ τῶν ἐναντίων τὴν καθαρότητα· διὸ δὴ κἀκεῖσε ταύτην παρῆκε τὴν ζήτησιν· ἐπεὶτοι τῷ προχείρως ἐπιλαμβανομένῳ δοίη ἂν λαβὴν, καὶ ὁ περὶ τῆς σαφηνείας λόγος· ἀπορήσοι γὰρ, δι' ἣν αἰτίαν ἀφεὶς τὴν σαφήνειαν περὶ καθαρότητος διαλέγεται καὶ εὐκρινείας· ᾧ τὴν ἀρχὴν ἀπαντῆσαι λῆρον ἡγοῦμαι· πῶς γὰρ ἂν τὰ γενικώτερα καταλάβοι τις, εἰ μὴ μάθοι τὰ

λθ'. Πᾶσαι, φησὶ, σχεδὸν αἱ ἰδέαι τῶν λόγων δι' ἀλλήλων [70] εὑρίσκονται καὶ γίνονται καταφανεῖς ἢ κατὰ ἀφαίρεσιν καὶ χωρισμὸν, ὡς ὅταν λέγῃ φεύγειν ἐν τῷ καθαρῷ λόγῳ τὴν περιβολήν· ὁ γὰρ ταύτης ἀπηλλαγμένος μάλιστα καθαρώτατος· ἢ κατὰ πρόσθεσιν, ὥσπερ ἐπὶ τῆς σαφηνείας· γίνεσθαι γὰρ αὐτὴν ἔφαμεν ἐκ καθαρότητος καὶ εὐκρινείας. οὕτως πᾶσαι σχεδὸν αἱ ἰδέαι δι' ἀλλήλων εὑρίσκονταί τε καὶ γίνονται. [71]

μά. Ὅσα τῶν σχημάτων εἰσὶ περιβλητικὰ, διαφέρει τὴν καθαρότητα, καὶ δῆλον ἐντεῦθεν, ὡς καὶ τὸ ὑπέρβατον λυμαίνεται τὴν σαφήνειαν.

μγ'. Μέτρον μὲν κώλου φασὶν εἶναι συλλαβῶν, ὅσαι πληροῦσι τὸν τρίμετρον ἴαμβον, καὶ τὸν ἡρωϊκὸν στίχον· κόμματος δὲ ἀπὸ τεττάρων καὶ πέντε καὶ μέχρις ὀκτώ. οὐ μόνον δὲ τὸ κόμμα ἐλάττοσι τῶν ὀκτὼ πληροῦται, ἀλλὰ καὶ τὸ κῶλον πολλάκις, ὅτε τὴν ἐπὶ μέρος ἀρκεῖ δηλῶσαι διάνοιαν ἐν τοσαύταις συλλαβαῖς· καὶ τοῦτο κομματικὸν καλεῖται τὸ κῶλον· οὕτω Λαχάρης. [72]

μδ'. Μετὰ τὸν περὶ σχημάτων λόγον τάχα ἂν προσῆκον ἦν περὶ τῆς συνθήκης μᾶλλον διαλαβεῖν· παρέπεται γὰρ ἐξ ἀνάγκης τὰ κῶλα τοῖς προλαβοῦσιν· εἰ γὰρ τὴν ἔννοιαν ἐν τῇ καθαρότητι σύντομον εἶναι δεῖ, καὶ τὰ ἀπαρτίζοντα τὰς ἐννοίας ἄρα κῶλα μικρὰ εἶναι χρὴ καὶ

εἰδικώτερα; τὴν γὰρ τῶν ὁλικωτέρων παρίστησι φύσιν ἡ τῶν μερικῶν κατάληψις. οὐ χρὴ οὖν θαυμάζειν, εἰ μήπω διαλαβὼν περὶ περιβολῆς ὡς πρὸς εἰδότας διαλέγεται· διδάσκειν γὰρ ἑτέρως οὐκ ἦν. Litt. λθ'—μβ'. habet Sicel. 70 Parr. add. Οὐχ ἁμαρτάνει· ἐφ' ὧν γὰρ ἀνυπόστατά εἰσι τὰ πράγματα, ὡς ἡ οὐσία, ἢ ἐν ἄλλῳ θεωροῦντα, μὴ τῆς σχέσεως αὐτοῦ δεόμενα, ἀλλ' ὡς ἐν ὑποκειμένῳ ἐν αὐτῷ ἔχοντα τὸ εἶναι, τηνικαῦτα διαβέβληται [Par. 2. διαβέβληνται], ἐφ' ὧν δὲ τὰ πράγματα ἐν σχέσει θεωρεῖται, ἀναγκαῖος ὁ διάλληλος λόγος. 71 Litt. μ'. et μβ'. vide Vol. V. p. 470. v. 20—p. 471. v. 8. 72 Mon. Λεχάρις.

κομματικὰ, καὶ περιγράφονται συντόμως τὰ νοήματα· πολὺς γὰρ περὶ αὐτῶν τοῖς ἀρχαίοις κατανάλωται λόγος, ὅθεν καὶ περιττὸν ἡγοῦμαι τὸ περὶ κώλου καὶ κόμματός τι διαλαβεῖν· εὐπετῶς γὰρ ἂν παρακολουθήσῃ τούτοις ὁ μὴ τὴν ἀρχὴν ὀκνήσας τοῖς τῶν ἀρχαίων προσομιλῆσαι συγγράμμασιν· αὐτίκα τῷ Λαχάρῃ διαπεπόνησαι σύνταγμα[73] μηδὲν ἕτερον περιέχον, ἀλλ' ἢ περὶ κώλου καὶ περὶ κόμματος· οὐ γὰρ εὐκαταφρόνητος ὁ περὶ αὐτῶν λόγος· ὥστε πάρεργον θέσθαι τὴν περὶ αὐτοῦ σπουδήν, ἀλλ' ἀγαπητὸν, εἰ μὴ καὶ συμμίξας τις μετὰ ἄλλων χωρὶς περὶ αὐτῶν διαλαβὼν μὴ ἁμάρτοι τοῦ προσήκοντος· ἀλλὰ πρῶτον μὲν ἐοίκασιν τῶν ὀνομάτων τούτων ἐλθεῖν εἰς ἔννοιαν, ἐν ἐξετάσει λόγων οὐ κατὰ μέτρα προενηνεγμένων, φιλοσόφων μὲν Ἀριστοτέλης ἐν ταῖς ῥητορικαῖς λεγομέναις τέχναις, σοφιστῶν δὲ Ἰσοκράτης· τί δὲ τούτων ἕκαστος λέγει καὶ ὅπως μὲν Ἀριστοτέλης τὴν περίοδον ὡρίσατο, ὡς συμπληροῖ τὰ κῶλα καὶ τὰ κόμματα, ὅπως δὲ πάλιν Ἰσοκράτης, τῷ Λαχάρῃ δεόντως ἐν τῷ περὶ αὐτῶν εἴρηται λόγῳ· πολλοὺς γὰρ ὁρισμοὺς τῶν ἀρχαίων παρατίθησι· λέγει γὰρ καὶ Ἰσοκράτους ὁρισμὸν, ὃν οὐ παραδέχεται· τῷ γὰρ Ἀριστοτέλει οὐδεμία γέγονε περὶ αὐτοῦ σπουδή. τοῦ δὲ ἐπιστήμονος ἔργον ἐστὶν εἰδέναι, τίνες μὲν αὐτῶν καλῶς ἔχουσι, τίνες δὲ πάλιν οὐ καλῶς· ἐπείτοιγε πολλὰς ὁ Λαχάρης ἐκτίθεται δόξας ἀνδρῶν παλαιῶν καὶ μάλα σεμνῶν, αὐτίκα Δολλιανοῦ[74] μετὰ τὸν Ἰσοκράτην μέμνηται· κῶλον γάρ ἐστι κατ' αὐτὸν μόριον λόγου, συγκείμενον ἐκ δύο ἢ καὶ πλειόνων ὀνομάτων, τελειοῦν τὴν ἐπὶ μέρους αὐτὴν ὅλην διάνοιαν, οὔτε δὲ τοῦ κώλου μεῖζον τελειοῖ διάνοιαν, οὔτε ἔλαττον πάλιν· κῶλον μὲν δὴ τοῦτό ἐστιν, ἄνδρες δικασταὶ, τέλειον, μεῖζον δὲ, ἄνδρες δικασταὶ, μάλιστα μέν· ἔλαττον δὲ, μάλιστα

73 Par. συντάγματα. 74 Mon. Κολιανοῦ. Par. 2. Κολλιανοῦ. Par. 1. Δολλιανοῦ.

μέν.[75] δοκεῖ δὲ ὁ Κορνοῦτος σαφέστερον[76] περὶ αὐτῶν εἰπεῖν· τὴν γὰρ Βασιλικοῦ παρίημι δόξαν· φησὶν οὖν ὁ Κορνοῦτος, κῶλόν ἐστι μόριον λόγου συγκείμενον ἐξ ὀνομάτων δύο ἢ καὶ πλειόνων, τελειοῦν ἐπὶ μέρος διάνοιαν, εἶτα παρακατιὼν σαφέστερον τὸν λόγον ἐποίησεν, ἐπιμνησθεὶς αὐτοῦ· κῶλον γάρ ἐστι διανοίας μέρος ἀπαρτίζον πρὸς ἕτερον κῶλον παρακείμενον· τὸ γὰρ, εἰ τὸν χορευτὴν οὐδὲ[77] ὁ προσκαλέσας ἀζήμιος ἔσται, κῶλον μέν ἐστι σαφῶς, οὐκ ἂν δὲ εἰλικρινῶς, οὐδὲ τὴν ἐπὶ μέρος παρέστησεν ἡμῖν διάνοιαν μὴ προσλαβοῦσι· τὸν δὲ χορηγὸν αὐτὸν οὐδὲ ὁ συγκόψας οὐ δώσει δίκην. διαλαμβάνει δὲ καὶ περὶ τοῦ κόμματος ὁ Κορνοῦτος,[78] σαφῶς οὑτωσί πως λέγων· κόμμα ἐστὶ λόγος διάνοιαν δηλῶν δύο ἢ τρισὶ λέξεσιν· οἷόν ἐστι τό· μηδὲν ἄγαν, καὶ τό· γνῶθι σαυτόν· ἔτι δὲ σαφέστερον τὰ περὶ τοῦ κόμματος Ἀψίνου δόξειεν ἂν ἔχειν· οὗτος γὰρ κατὰ μὲν τὴν διάνοιαν οὐδὲν διαφέρειν νομίζει τὸ κῶλον τοῦ κόμματος, μόνῳ δὲ διαχωρίζεσθαι τῷ μέτρῳ τῶν συλλαβῶν· ἀπὸ γὰρ τεττάρων καὶ πέντε συλλαβῶν μέχρι τῶν ἓξ κόμμα, φησὶν, ἐστίν· τὸ δὲ ὑπὲρ τὰς ἑπτὰ καὶ ὀκτὼ καὶ δέκα ἐγγίζειν ἤδη τριμέτρῳ, καὶ μέχρι τοῦ ἡρωϊκοῦ προχωροῦν κῶλον γίνεται ὀρθὸν καὶ τεταγμένον· τὸ δὲ ὑπὲρ τὸ ἡρωϊκὸν σχοινοτενές· ἔνιοι δέ φασι καὶ τὸν ἐπῳδὸν κῶλον εἶναι, τὸ δὲ ὑποκάτω κόμμα. προστίθησι δὲ διορθούμενος τὴν ἑαυτοῦ δόξαν διὰ τοῦ κόμματος, ὅτι καὶ ἐκ τεττάρων καὶ ἡττόνων συνίσταται τὸ κῶλον συλλαβῶν· εἰ γὰρ ἀπαρτίζοιτο, φησὶ, διάνοια καὶ ἐν δύο συλλαβαῖς κόμμα ἔσται, καλῶς λέγων· τοῦ γὰρ πότερον[79] ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ, τὰς ἐπὶ τέλει δύο συλλαβὰς κόμμα ἐκάλεσεν, ἐρωτῶντος τοῦ ῥή-

75 Mon. μᾶλλον τὸ μέν. 76 Post σαφέστερον Mon. add. σαφές. 77 Mon. ὁ προσκαλέσας οὐδέ. Sch. min. Συνθήκη δὲ καθαρὰ ἁπλῆ ἡ πεζοφανὴς, ἁπλουστέρα γὰρ, οὐ τοιαύτη δὲ ἡ ἔμμετρος. 78 Mon. Κορνοῦτος. 79 pro cor. p. 248.

τορος ὁλοκλήρως μετὰ τῶν δύο συλλαβῶν τούτων τὴν προκειμένην πᾶσαν διάνοιαν· ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον· ἀρκούντως γὰρ ἡμῖν κατὰ τὸ πάρεργον ὁ περὶ τούτων εἴρηται λόγος· ἔφαμεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὡς ἀρεσκόμεθα ἐπὶ τῷ Λαχάρῃ, εἰ καὶ κακίζοιτο παρά τισιν ὁ ἀνὴρ, ὡς μὴ καλῶς περὶ τούτων πραγματευσάμενος· δεῖ οὖν ἐπὶ τῆς καθαρότητος εἶναι τὰ κῶλα κομματικὰ, τὰ γὰρ μακρὰ τῶν κώλων καὶ αἱ περίοδοι οὐ καθαροῦ λόγου.

μέ. Τὸ ἀκριβολογεῖσθαι περὶ συγκρουσμοῦ ἑτέρας ἰδέας ἐστὶν ἴδιον, ἥν τινα καλεῖ κάλλος καὶ ἐπιμέλειαν.

μς'. Τὸ περὶ συγκρουσμοῦ φωνηέντων μικρολογεῖσθαι τοῦ κεκαλλωπισμένου μᾶλλον ἴδιον, ἢ τοῦ ἁπλοῦ τε καὶ καθαροῦ· καὶ εὕροις ἂν τὴν τοιαύτην παρὰ Ἰσοκράτει παραφυλακήν. [1]

μζ. Λογοειδεστέραν [2] καλεῖ τὴν κωμικωτέραν, προσεοικυῖαν λόγῳ κατὰ τὴν συνθήκην· πολλοὺς γοῦν κ. τ. λ. Vol. V. p. 471. v. 14—22.

μή. Ἡ λογοειδεστέρα, φησὶ, καὶ τελευτῶσα εἰς βραχέα καὶ φεύγουσα τὸν ὄγκον καὶ τὴν ἐπηρμένην κατάληξιν, οἷον ἰαμβική τις ἢ τροχαϊκή.

μθ'. Ἡ ἐξ ἰάμβων καὶ τροχαίων συνθήκη, φησὶν, οὐ τοσοῦτον ὕψος ἐργάζεται τῷ λόγῳ, ὅσον ἡ ἐκ σπονδείων καὶ δακτύλων συνεστῶσα· τοῖς γὰρ χρόνοις συμβαίνει καὶ ὁ κόμπος τοῦ λόγου· λογοειδεστέρα δὲ ἀντὶ τοῦ λόγῳ πεζῷ ἁρμόττουσα καὶ προσήκουσα· ὁ γὰρ πεζὸς λόγος ὡς ἐπὶ τὸ πλεῖστον ἐξ ἰάμβων καὶ τροχαίων ἐστίν· διὸ καὶ οἱ ἴαμβοι πεζοφανεῖς εἰσι πολλαχοῦ καὶ τὴν κωμικὴν [3]

---

1 Mon. παραφυτικήν. 2 Ven. post litt. κή. pergit: Ἐφ' ἑαυτῶν περιγραφόμεναι, τελειοῦσαι τὴν ἐπὶ μέρους διάνοιαν. Ἔπειτα ἡ λογοειδεστέρα, οἷον ἰαμβική τις ἢ τροχαϊκή. Λογοειδεστέραν καλεῖ. 3 Sch. min. Σημείωσαι, ὅτι καλοῦσι ῥητορικήν τινα ἔμμετρον τὴν κωμῳδίαν. ib. Σημείωσαι, τί ἐστι λογοειδὴς συνθήκη.

ποίησίν τινες ἔμμετρον καλοῦσι. δεῖ οὖν τὴν σύνθεσιν τὴν καθαρὰν τοιαύτην εἶναι ἰαμβοφανῆ.

ν'. Διηρημένην [4] φράσιν καὶ αὐτὸς προϊὼν φησιν τήν τε κομματικὴν ὡς ἐν τραχύτητι, „παρὰ σοὶ [5] κατέλυον, Αἰσχίνη, καὶ σὺ προὔξένεις αὐτῶν," καὶ τὴν ἐν σφοδρότητι κατ' ὄνομα τὸν λόγον ἀναπαύουσαν, „οὗτος [6] οὖν αὐτὸν ἐξαιτήσεται, ὁ φαρμακὸς, ὁ λοιμός." ταύτῃ οὖν τῇ φράσει εἰκότως ἐναντία ἐστὶν ἡ λογοειδεστέρα, ὡς διὰ μακροτέρων συγκειμένη κώλων· εἰ δὲ διῄρται ἔχει, σημαίνει τὸ τὴν ἰαμβικὴν καὶ τροχαϊκὴν συνθήκην ἥττονος ὕψους καὶ μεγέθους μετέχειν, ἥπερ τὴν δακτυλικήν τε καὶ σπονδειακήν.

νά. Διῄρται [7] ἀντὶ τοῦ ἐπῄρται, πρὸς ὄγκον· ἡ γὰρ δακτυλικὴ ὕψος ἔχει καὶ μέγεθος· διὸ καὶ τῶν ἡρωϊκῶν ἀπενεμήθη, καί ἐστι ποιητικῇ πρέπουσα.

νβ'. Τὸ ἀκριβὲς, φησὶν, οὐ δεῖ ζητεῖν· οὐ γὰρ δυνατὸν, πλὴν παραφυλάττεσθαι ἀεὶ τοὺς πόδας τοὺς κατὰ τὴν ὅλην τοῦ λόγου συνθήκην, ὡς πλείους ὦσιν ἴαμβοι καὶ οἱ τροχαῖοι τῶν δακτύλων τε καὶ ἀναπαίστων. ὁ δὲ Διονύσιος κ. τ. λ. Vol. V. p. 472. v. 8—p. 473. v. 6. ἔτι δὲ καὶ Ἰσοκράτης ἐν τῇ τέχνῃ φησίν· ὅλος δὲ ὁ λόγος μὴ λόγος ἔστω, [8] ξηρὸν γὰρ, μηδὲ [9] ἔμμετρος, κα-

---

Διῄρται· ἀντὶ τοῦ ἐπῄρται πρὸς ὕψος, ὅπερ ἴδιον ἐπιμελείας καὶ κάλλους καὶ μεγέθους. Ὡς μάλιστα· ὡς ἐπὶ τὸ πλεῖστον. 4 Par. 1. τὴν φράσιν. Par. 2. Mon. Ven. τὴν om. Ven. litt. μή. et μθ'. omissis: ἧττον γὰρ ἡ τοιαύτη διῄρται. 5 pro cor. p. 252. 6 c. Aristog. I. p. 794. 7 Ven. litt. νβ'. et να'. om. 8 Mon. ὅλως δὲ ὁ λόγος ἔστω. omisso: μὴ λόγος. 9 Mon. μή. h. l. et infra litt. ξά. Sch. min. Φυσικὸν μέτρον ἐστὶ τὸ ἀπ' αὐτῆς φύσεως προϊὸν, τέχνη τὸν δὲ τὸ ἀπὸ μαθήσεως. Λόγῳ τῷ πεζῷ· τῷ καταλογάδην. Ἀνάπαυσιν λέγει τὸ τέλος τοῦ λόγου. Μέτρον τε καὶ μὴ μέτρον· μέτρον μέν, ἵνα ἔχῃ τινὰς λέξεις ἐμμέτρους, καθὼς ἄνω εἴρηκε, μὴ μέντοιγε ὅλον ἔμμετρον εἶναι,

ταφανὲς γὰρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ, μάλιστα ἰαμβικῷ ἢ τροχαϊκῷ. τὸ μὲν οὖν [10] ἰαμβικὸν μέτρον καλεῖται καὶ τρίμετρον, διὰ τὸ κατὰ συζυγίαν ποδῶν μετρεῖσθαι, δέχεται δὲ ἐν μὲν ταῖς περιτταῖς χώραις δάκτυλον, σπονδεῖον, ἴαμβον, ἀνάπαιστον, χορεῖον, ἐν δὲ τοῖς ἀρτίοις μόνους τοὺς ἀπὸ βραχείας ἀρχομένους, οἷον πυῤῥίχιον, ἴαμβον, ἀνάπαιστον, ἀμφίβραχυν, βακχεῖον, χορεῖον· τὸ δὲ τροχαϊκὸν μέτρον καλεῖται μὲν ἰθυφαλλικὸν καὶ τετράμετρον, δέχεται δὲ ἐν μὲν ταῖς περιτταῖς χώραις τέτρασι τροχαῖον, χορεῖον, δάκτυλον· ἐν δὲ τοῖς ἀρτίοις τούτους τε καὶ ἀνάπαιστον καὶ σπονδεῖον· οἷον παρὰ Ἀρχιλόχῳ ἐν τετραμέτρῳ [11]

Τοῖος ἀνθρώποισι θυμὸς, [12] Γλαῦκε; Λεπτίνεω πάϊ,
Γίνεται θνητοῖς, ὁκοῖον [13] Ζεὺς ἐφ' ἡμέρην ἄγει.

τοῦτο οὖν τετράμετρόν ἐστι καταληκτικὸν εἰς συλλαβήν· τὸ οὖν τοῦ ῥήτορος σπονδεῖον ἔχοι ἐν τῇ τρίτῃ χωλόν ἐστιν.

νδ'. Μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις, αἰσθήσει τῆς ἀκοῆς παραλαμβανόμενον· τὸ μὲν γὰρ κρῖνόν ἐστιν ἀκοὴ, τὸ δὲ κοσμοῦν ἐστι φωνή· ὡς τὸν ἦχον τῆς εὐρυθμίας ἐπεκτείνουσά τε καὶ συστέλλουσα ἡ φωνὴ σχηματίζει τὰς συλλαβὰς, οὕτως εἰσδεξαμένη κρίνει ἡ ἀκοή· καὶ [14] πολλὰ διὰ τοῦτο τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι ἐν τῇ κατὰ πεζὸν ῥήσει, ὡς παρὰ Δημοσθένει·

τούτων γὰρ ὁ πεζὸς λόγος οὐ δεῖται, οἷον ἡ σεμνότης τυχὸν τόδε τὸ μέτρον ὀφείλει ἔχειν, καὶ ἡ λαμπρότης τόδε. ib. προεῖπεν, ὅτι οὐ δεῖ τελέως ἔμμετρον εἶναι τὸν λόγον. 10 οὖν Ven. om. 11 Par. 2. Mon. τετραμέτρῳ. Par. 1. τριμέτρῳ. — Fragm. XI. apud Gaisf. cfr. Theon. Prog. p. 153. 12 Codd. ἀνθρώποις νόος Γλ. Λ. [Mon. Λεπτῖνε] παῖ. 13 Par. 2. Mon. ὁκοίην. Par. 1. ὁκοῖον. 14 Mon. Par. 2. omisso καί. διὰ τοῦτο [Mon. διὰ τὸ] πολλὰ τῶν μέτρων. Par. 1. καὶ πολλὰ διὰ τοῦτο.

Τὸν [15] γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν, στίχος ἐστὶν, ὃς ἠδυνήθη λαθεῖν διὰ τὸ πεζῆς οὔσης τῆς προφορᾶς συνηρπάσθαι τῷ λόγῳ τὴν ἀκοήν. [16]

νς'. Οἷον δακτυλικόν τε καὶ ἀναπαιστικὸν ἐν τῇ συνθήκῃ τῆς γλυκύτητος, ἰαμβικὸν δὲ καὶ τροχαϊκὸν ἐν τῇ συνθήκῃ τῆς καθαρότητος· καὶ μὲν πᾶς λόγος ἔμμετρος· ἀνάγκη γὰρ ἔχειν αὐτὸν τοιουσδήποτε πόδας· ἀλλ' ἔμμετρόν φησιν οὐ τὸν χύδην καὶ ἁπλῶς μετρούμενον, ἀλλὰ τὸν κανονισθέντα καὶ ὡρισμένον, οἷον ἰαμβικὸν, τροχαϊκόν.

νζ'. Οὐ δεῖ, φησὶν, μέχρι τέλους ἐμμένειν αὐτοῖς, ἀλλὰ ἀναμεμίχθαι καὶ ἑτέρους πόδας, ὅπως φανείη μὴ κατὰ τέχνην ὁ λόγος ἔμμετρος ὢν, ἀλλὰ κατὰ φύσιν ὢν ἔμμετρος, ὅτε [17] καὶ ἔμμετρον εἶναι δεῖ κ. τ. λ. Vol. V. p. 474. v. 1—5. Κατὰ φύσιν οὖν ἔμμετρον εἶναι δεῖ τὸν λόγον καὶ μὴ κατὰ τέχνην· εἰ μὴ γὰρ οὕτως ἔσται, ποιητικὸς ἂν ἀποτελεσθείη ὁ λόγος καὶ κατὰ τέχνην ἔμμετρος· οὐκοῦν πλεοναζέτω μὲν ἴαμβος καὶ ὁ τροχαῖος ἐν τῷ καθαρῷ λόγῳ· καταλήγοντες γὰρ εἰς βραχέα λογοειδεστέραν ποιοῦσι τὴν συνθήκην, ὡς ἔχει τό· „οὗτος [18] ἀστρατείας ἐάλω καὶ κέχρηται συμφορᾷ·" εἰ γὰρ καὶ θεραπεύσει, ὥς φησιν ὁ τεχνικὸς, τὴν πρώτην συλλαβὴν μακρὰν οὖσαν ἐν τῷ ἀστρατείας ἐάλω, καθαρὸν εὑρίσκεται μέτρον τροχαϊκὸν τετράμετρον καταληκτικὸν, ὃ μάλιστα ποιεῖ τὸν λόγον καθαρόν.

νη. Τροχαϊκὸν εἰς τὰς περιττὰς χώρας δέχεται τροχαῖον καὶ τρίβραχυν καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους αὐτούς τε τούτους καὶ σπονδεῖον καὶ ἀνάπαιστον, κατα-

15 Codd. τὸ γὰρ Ἀμφιπόλει πόλεμος. — ἐν Mon. Par. 2. est in Par. 1. — correxi ex or. pro cor. p. 275. cfr. Longin. Fragm. III. p. 162. Weisk. 16 Litt. νέ. vide Vol. V. p. 473. v. 12—21. 17 Par. 2. ὥστε. Mon. ὅτε. 18 in Mid. p. 533.

ληκτικὸν δέ, ὅ ἐστιν τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον· δέχεται δὲ ἔστιν ὅτε καὶ τρίβραχυν· „καταληκτικὰ δὲ καλεῖται, ὅσα μεμειωμένον ἔχει τὸν πόδα τὸν τελευταῖον, ὡς ἐπὶ τοῦ „καὶ κέχρηται συμφορᾷ·“ ἐνταῦθα γάρ ἡ ρα συλλαβὴ ἀντὶ τοῦ ὅλου ποδὸς κεῖται· ἀκατάληκτα δὲ, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει· τετράμετρα δὲ δηλονότι, τὰ ὀκτὼ πόδας δεχόμενα κατὰ διποδίαν μετρούμενα.

νθ'. Κατάληξίς [19] ἐστιν κ. τ. λ. Vol. V. p. 474. v. 6—9. Τὸ μὲν οὖν ἰαμβικὸν μέτρον εἰς ἴαμβον ἢ πυρρίχιον καταλήγει πάντως, εἰ μὴ χωλεύοι· τότε γὰρ εἰς σπονδεῖον ἢ τροχαῖον λήγει, ὡς ἔγνωμεν ἐν χωλιάμβοις· τὸ δὲ τροχαϊκὸν ἔχον τὸν ἕβδομον, ὡς εἴρηται, τροχαῖον, ἢ δάκτυλον, καὶ συλλαβὴν ἐπὶ τούτῳ, διαφόρους ἀποτελεῖ τοὺς καταληκτικοὺς πόδας, ἴαμβον ἢ πυρρίχιον.

ξ'. Τῆς συνθήκης, φησὶ, τοιαύτης οὔσης καὶ ἡ ἀνάπαυσις στήσει τὸν λόγον, ἐν ἰαμβικῷ τινι ἢ τροχαϊκῷ μέρει τοῦ λόγου, τῆς καταλήξεως δηλαδὴ φανερᾶς οὔσης· ἔσται γὰρ τροχαϊκὴ ἢ ἰαμβική· καὶ ἁπλῶς ὅσαι καταλήξεις τροχαϊκῶν τε μέτρων καὶ ἰαμβικῶν.

ζά. Συμφώνως [20] πάλιν κἀνταῦθα τοῖς ἀρίστοις ἀποφαίνεται τῶν πρὸ αὐτοῦ· Ἰσοκράτης τε γὰρ, ὡς ἔφαμεν, ἔλεγεν· ὅλως δὲ ὁ λόγος μὴ λόγος ἔστω, ξηρὸν γὰρ, μηδὲ ἔμμετρος, καταφανὲς γάρ· καὶ Διονύσιος κ. τ. λ. Vol. V. p. 474. v. 11—18.

ξβ'. Ἰστέον, ὅτι Ἡφαιστίων φυσικὰ μέτρα γενικὰ βούλεται εἶναι ἐννέα, δακτυλικὸν, ἀνάπαιστον, ἰαμβικὸν, τροχαϊκὸν, ἀντισπαστικὸν, [21] χοριαμβικὸν, ἰωνικὸν ἀπὸ μει-

19 Ven. litt. νδ' — νή. omissis: Ἢ καταλήξει τινὶ τροχαϊκῇ ἢ ἰαμβικῇ. 20 Ven. litt. ξ'. omissa: Μεταξὺ γὰρ, ὅπερ ἔφην, εἶναι δεῖ τὸν ἐν πεζῷ λόγῳ ῥυθμὸν μέτρου τε τοῦ φύσει καὶ μὴ μέτρου. 21 Mon. ἀντιπαιστικόν. scr. ἀντισπαστικόν. Hephaest.

μείζονος, ἰωνικὸν ἀπ' ἐλάττονος, κρητικόν· τὰ δὲ παρὰ ταῦτα καλεῖ ἀσυνάρτητα καὶ συγκεχυμένα. φησὶν οὖν ὁ Ἑρμογένης τούτοις χρῆσθαι δεῖν τοῖς φυσικοῖς μέτροις, μὴ μέντοι ἀκριβῶς, ἀλλ' ἢ ἐν ἀρχῇ τῶν κώλων, ἢ ἐν τέλει, ὡς καὶ αὐτὸς ἀλλαχοῦ φησιν.

ξγ'. Ὁ ῥυθμός, φησὶ, μεταξὺ τούτων ἔσται τοιοῦτος κατὰ φύσιν ἔντεχνος, οὐ κατὰ τέχνην.

ξδ'. Πάντα ταῦτα [22] ποῖα ταῦτα; ἡ συνθήκη καὶ ἡ ἀνάπαυσις· εἰπὼν δὲ, [23] „οὐ γὰρ [24] ἥ γε ἑτέρα," τὴν πεζὴν λέγει, καὶ [25] ὡς ἔτυχε προϊοῦσαν.

ξέ. Ταῦτα δὲ πάντα φησὶ τὰ μετὰ [26] τὰ κῶλα, τὴν συνθήκην λέγω, [27] τὴν κατὰ πόδας, οὐ τὴν κατὰ συλλαβάς· τὴν γὰρ τοιαύτην οὐ πολυπραγμονεῖ διὰ τὴν προλεχθεῖσαν αἰτίαν. οὐ γὰρ ἐν ταῖς συλλαβαῖς, ἀλλ' ἐν τοῖς μέρεσι τοῦ λόγου ἀπαρτίζεται τὰ νοήματα. ταῦτα οὖν [28] πάντα ἡ τοιάδε συνθήκη καὶ ἡ ἀνάπαυσις· τό τε ἐξ ἀμφοῖν τούτοιν ἀποτελούμενον ὁ ῥυθμὸς οὐ μέγα σύμβάλλεται πρὸς τὸ ποιῆσαι καθαρὸν τὸν λόγον, πλὴν συλλαμβάνει τι βραχύ. καὶ τοῦτο κἂν τοῖς φθάσασι γέγονε καταφανὲς, ὡς [29] οὐ τοσοῦτον ἰσχύουσιν ἥ τε ἀνάπαυσις καὶ ἡ σύνθεσις καὶ ὁ ῥυθμός· κἂν λάβοις τὴν κατὰ τοὺς πόδας συνθήκην, ὅσον ἡ ἔννοια καὶ ἡ λέξις καὶ ἡ μέθοδος καὶ τὰ σχήματα καὶ τὰ παρακολουθοῦντα τοῖς σχήμασι κῶλα· τελειοῖ γὰρ τὸ σχῆμα τὸ κῶλον· διὸ καὶ τὴν ἀρχὴν αὐτὰ παρῆκεν ἐν τῷ περὶ τῆς δυνάμεως λόγῳ, καθὰ δεδηλώκαμεν· ἀλλ' ἐκεῖσε μὲν τὴν δύναμιν λέγων αὐτῶν, κατὰ τί συμβάλλεται τὸ ἀποτελούμενον παρῆκεν. οὐδὲν [30] γὰρ ἂν [31] ἐποίει πλέον μνησθεὶς αὐτῶν, πλὴν εἰ μὴ τὴν

p. 55. Gaisf. 22 Litt. ξδ' — ξζ'. exstant in Sicel. 23 Mon. Par. 2. δέ. Par. 1. γάρ. 24 οὐ γὰρ Sicel. om. 25 Sicel. καὶ τήν. 26 μετὰ Sicel. per lacunam om. 27 Sicel. λέγων. 28 Par. 2. Sicel. οὖν φησι. 29 Sicel. καί. 30 Sicel. οὐδέ. 31 Par. ἐποίει ἄν.

διδασκαλίαν ἤθελε καταναλίσκειν ἐν μὴ προσήκουσι τόποις. ἐκεῖ οὖν τὴν δύναμιν αὐτῶν ἐξετάζων εἶπε, καὶ τὰ σχήματα τὰ περὶ τὴν λέξιν συνεισφέρειν τι· συμβαλλομένων [32] δὲ τούτων συνενέγκοι τι καὶ τὰ κῶλα· εἰς ἃ περατοῦται τὰ σχήματα· παραστήσας δὲ τὴν δύναμιν αὐτῶν μετῆλθεν ἐπὶ τὴν χρῆσιν ἑκάστου καὶ τὴν ἐργασίαν, ἔνθα μὴ μνησθῆναι τῶν κώλων οὐκ ἦν, κἂν ἐξ ἀνάγκης παρακολουθῇ [33] τοῖς σχήμασιν· ἔσται γὰρ [34] τοῦτο φανερόν· ἀλλ' εἰ μὴ διαμερίσας ἐκ τῶν σχημάτων αὐτὰ τὴν ἐργασίαν ἐν τῇ διδασκαλίᾳ κατ' ἰδίαν παρέδωκεν, ἠγνοήσαμεν ἄν, ὅπως ἐν τῷ καθαρῷ λόγῳ δεῖ μεθοδεύειν τὰ κῶλα, κἂν εἰ ἐξ ἀνάγκης παρέπεται τοῖς σχήμασιν· ἐν δὲ τῇ διδασκαλίᾳ κατὰ χρείαν λαβὼν καὶ ἐν τῇ ἀνακεφαλαιώσει τέθεικε· τάχα γὰρ ἦν μέμψεως ἄξιος, εἰ, ὧν ἅπαξ ἐμνήσθη, τούτων ἐπανάληψιν ποιούμενος ἦλθεν εἰς λήθην. [35]

ξς'. Τὴν μεγίστην, φησὶ, δύναμιν ἔχουσιν αἵ τε ἔννοιαι καὶ αἱ λέξεις, μέθοδός τε καὶ κῶλα καὶ σχήματα· πλὴν δύναταί τι συμβάλλεσθαι ἥ τε συνθήκη καὶ ἡ ἀνάπαυσις καὶ ὁ ῥυθμός, οὐ τοσοῦτον μέντοι ἐν τῇ καθαρότητι, καὶ ἐν ταῖς ἄλλαις τῶν ἰδεῶν, εἰ καὶ ἐν τῷ κεκαλλωπισμένῳ πολὺ δύναται ταῦτα· τὴν δὲ αἰτίαν δείξομεν σαφῶς ἐκεῖσε γενόμενοι, δι' ἣν ἐν τῷ κεκαλλωπισμένῳ λόγῳ μᾶλλον ἰσχύουσιν. [36]

ξζ'. Διὰ ποίαν αἰτίαν ἐν τῇ ποιητικῇ πολὺ ἰσχύει ταῦτα, ἐπειδὴ ὡς αὐτὸς ὑποκατιὼν φησὶν ἐν τῷ περὶ

παρα

32 Sicel. συμβάλλεται δὲ τούτων συνενέγκαι. 33 Sic. ἐξακολουθῇ. 34 ἔσται γὰρ τοῦτο φανερὸν — — παρέπεται τοῖς σχήμασιν Par. 1. om. Par. 2. Sicel. ἔστω γάρ. 35 Sicel. addit: ὅτι ἔλαττον τῶν ἄλλων ἔννοια μεθόδου καὶ τῶν ἄλλων· τὴν γὰρ ὅλην δύναμιν τῶν ἰδεῶν αἵ τε ἔννοιαι ἔχουσι καὶ αἱ λέξεις· τὴν μεγίστην etc. 36 Sicel. λόγου μᾶλλον δύνανται.

σεμνότητος πάνυ ἡδονῆς ἡ ποίησις στοχάζεται· ὁ γὰρ ποιητὴς [37] πρὸς ἡδονὴν τῶν ἀκροατῶν γράφων τούτων ἐπιμελεῖται, δι' ὧν θέλξει.

Cap. IV.

Περὶ εὐκρινείας.

ά. Ἐκ τίνων μὲν οὖν ἡ καθαρότης γίνεσθαι πέφυκε, καὶ ὅπως δεῖ μεθοδεύειν ἕκαστον τῶν ποιούντων αὐτὴν, ἀρκούντως ἐδίδαξεν· ἐντεῦθεν δὲ μέτεισιν ἐπὶ τὸ ἕτερον τῆς σαφηνείας μέρος, λέγει δὴ τὴν εὐκρίνειαν, ἥτις οὖσα διορθωτικὴ τῆς καθαρότητος εἰκότως τέτακται μετ' αὐτήν· κατὰ ποῖον γὰρ ἂν λόγον προετάγη τοῦ ζητουμένου τὸ πρὸς ἐπικουρίαν λαμβανόμενον; ὅταν γὰρ ἡ καθαρότης τὴν οἰκείαν ἀποτελέσῃ [1] φύσιν διὰ τὴν τῶν ὑποκειμένων πραγμάτων περίστασιν, τότε μάλιστα χρεία τῆς εὐκρινείας, ὅπως ἐπανορθώσῃ τὸ βλάβος, ὃ πέπονθε κατὰ περίστασιν ἡ καθαρότης. σπεύδων γὰρ κ. τ. λ. Vol. V. p. 475. v. 6—17. Ἀλλ' ἔχει [2] μὲν, ὅπερ ἔφη, τὸ πλεῖστον περὶ τὴν μέθοδον, ὅθεν καὶ τὴν ἁμαρτίαν τῆς προεξητασμένης ἰδέας ἀναιρεῖ· περιττὴ γὰρ αὕτη, καθὰ μεμαθήκαμεν, ἐῤῥωμένης οὔσης τῆς καθαρότητος, πλὴν μετὰ τὴν μέθοδον, καὶ ἰδίοις τισὶ χρῆται· καὶ τοῦτο προϊοῦσιν ἔσται φανερὸν, ὅταν ἀποδείξωμεν, ὅπως ἐπικουρεῖ [3] τῇ καθαρότητι, καὶ ποιεῖ ταὐτὸν, ὅπερ ἐκείνη

37 Sicel. ἡ γὰρ ποίησις, omisso γράφων et δι' ὧν θέλξει.

1 Mon. ἀπολέσθαι. 2 ἀλλ' ἔχει μὲν ὅ. ἐ. τ. πλ. π. τὴν μέθοδον Par. 2. om. 3 Sch. min. Ὅτι ἡ εὐκρίνεια ἐπίκουρός ἐστι τῆς καθαρότητος, καὶ τὸ πλεῖστον αὐτῇ τῆς ἰσχύος περὶ τὴν μέθοδόν ἐστιν. Ἔχει μέν τινα· ἀντὶ τοῦ πρὸς σαφήνειαν. Ἡ μὲν γὰρ βούλεται· ἡ καθαρότης. Ἡ δέ· ἡ εὐκρίνεια. Μέθοδος οἶμαι· μέθοδος εὐκρινείας ἐστί. Ἡ μέθοδος τῆς εὐ-

πρὸ τῆς ἀνάγκης ἤθελε ὁρᾶν. ἔστι γὰρ ὅπου τῆς πιθανότητος ἀντιποιούμενος ὁ λέγων περιβολὴν ἐμποιεῖ καὶ συγχεῖ τὸν ἀκροατὴν, μηδὲν ἐπιφέρων τοῖς συνεστραμμένοις σαφές· ταύτην οὖν τὴν ταραχὴν οὐκ ἔστιν ἄλλως ἀνελεῖν, πλὴν εἰ μή τις τῇ μεθόδῳ χρήσαιτο τῆς εὐκρινείας, οἷον τόδε βούλομαι πρῶτον εἰπεῖν, καὶ δεῖ πρὸς τοῦτο τελέως ὁρᾶν, ὥσπερ καὶ ἐν τῷ παραπρεσβείας Δημοσθένους ἔστιν εὑρεῖν· ἀλλά μή μοι πρὸς τὴν δεινότητα τοῦ ῥήτορος ἀπίδοι τις, τὴν γὰρ φυσικὴν συνέχεε τάξιν ἕνεκεν τοῦ συμφέροντος· ταύτην αὐτὴν δὲ πάλιν, λέγω τὴν σύστασιν, διὰ τῆς ἐρωτήσεως, ἠφάνισεν ἡ μέθοδος τῆς εὐκρινείας, ὡς ὅταν λέγῃ, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, καὶ πρῶτον ὧν ἀπήγγειλεν, εἶτα ὧν ἔπεισε καὶ τῶν ἑξῆς· ἐκ γὰρ τῆς τοιαύτης ἀκολουθίας ἀναστρέφειν μέλλων καὶ συγχεῖν τὴν τάξιν, διεσκέδασεν ἐκ τῆς εὐκρινείας τὴν ἀσάφειαν· τὸν γὰρ ἀκροατὴν οὐκ ἀφῆκε πλανᾶσθαι, ἐφ' ὧν δεῖ παρὰ πρεσβευτοῦ λόγον λαμβάνειν. καὶ γέγονεν ἅμα δεινὸς ὁ λόγος καὶ σαφής· ἃ γὰρ ἦν κατὰ τὴν φυσικὴν ἀκολουθίαν ἔσχατα, ταῦτα προτάξας ἐδεινοποίησε τὸν λόγον· ὃν αὖθις ἐποίησε σαφῆ διὰ τοῦ προσδιορίσασθαι καὶ διδάξαι, περὶ ὧν δεῖ τοὺς πρεσβευτὰς εὐθύνειν· ὥσπερ καὶ ἐν τῷ κα-

---

κρινείας ἐστὶν αὕτη, τὸ διὰ μῆκος ἐπανελθεῖν τὰ ἤδη ῥηθέντα, καὶ κατὰ μικρὸν τεμεῖν καὶ ἀφηγηματικῶς τὰς ἐννοίας, καὶ εἰς ἀρχὴν πάλιν τὸν λόγον ἀναγαγεῖν. Διὰ δεινότητα· πρῶτον μὲν γὰρ προτάττεται τάδε τινά, ὁ πρεσβευτής, δεύτερον πειρᾶται πείθειν ἐκείνους, πρὸς οὓς ἡ πρεσβεία. τρίτον δὲ ἀπαγγέλλει τῶν πρεσβευομένων ἕκαστον· ὁ δὲ τοῖς ἀπηγγελμένοις παρὰ Αἰσχίνου πάντα τὰ παρὰ Φιλίππου πεπραγμένα παραθεῖναι σπεύδων τῶν πραγμάτων ἀναστρέφει τὴν τάξιν, καὶ φησὶν [de fals. leg. p. 343.], τίνων προσήκει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, πρῶτον μέν, ὧν ἀπήγγειλε, δεύτερον δὲ, ὧν ἔπεισε, τρίτον δὲ, ὧν προσετάξατε αὐτῷ. Ultima, πρῶτον μὲν γὰρ προτάττεται — — προσετάξατε αὐτῷ sunt etiam in Ven.

τὰ Ἀριστοκράτους πεποίηκεν· οὐ γὰρ τὸ κατὰ φύσιν πρῶτον τοῦτο καὶ τέθεικεν, ἀλλ' ὅπερ ὑπῆρχε δεύτερον. εἰπὼν γὰρ τὴν ἀσάφειαν τῆς Χερρονήσου ἐν τῇ τῶν Θρᾳκῶν εἶναι διαφορᾷ τηνικαῦτα ἐπήγαγεν, ὡς ἀπόλλυσι τὴν Χερρόνησον ὁ Χαρίδημος, καὶ ἁπλῶς εἰπεῖν, ὅταν τοῦ κατασκευαζομένου τὸ ἀποδεικνύμενον ἀπάδῃ καὶ μὴ συμφωνῇ, τότε πρωτεύει κατὰ τὴν διδασκαλίαν τὰ τῇ [4] φύσει δεύτερα, καθὰ καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους ὁ ῥήτωρ, ὡς δεδήλωται, πεποίηκεν· ὅσον γὰρ κατὰ φυσικὴν ἀκολουθίαν ἐχρῆν προτάττειν· ὡς Χαρίδημος ἀπόλλυσι Χερρόννησον, πόθεν; ἐπεὶ τὴν τῶν βασιλέων διαλύει διαφοράν, ἥτις φυλάττει τὴν πόλιν· ἀλλ' ἐπεὶ τὴν ἀρχὴν ἀπῆδε καὶ πόρρω διακεχώριστο τοῦ ζητουμένου τὸ ἀποδεικνύον, ἀνάγκην ἔσχεν ἀνατρέψαι τὴν φυσικὴν ἀκολουθίαν, ὅπως συμφωνῇ [5] τῷ ἀποδεικνύοντι τὸ κατασκευαζόμενον· ὅταν δὲ μὴ συμφωνῇ καὶ μὴ ἀπάδῃ τὰ παρὰ τῇ φύσει πρωτεύοντα καὶ κατὰ τὴν διδασκαλίαν τὴν αὐτὴν ἕξει δηλαδὴ τάξιν, ὡς ἐν τοῖς Φιλιππικοῖς, οἷον εἰ τῶν Ὀλυνθίων ἐγκρατὴς γενήσεται Φίλιππος ἐπὶ τὴν Ἀττικὴν ἥξει. τί γὰρ τὸ κωλῦσον; Θηβαῖοι μὴ λίαν πικρὸν εἰπεῖν καὶ συνεισβαλοῦσι, [6] καὶ ἑξῆς· οὕτως ὅταν μὲν συμφωνῇ καὶ γειτνιάζῃ τὸ κατασκευάζον τῷ ἀποδεικνυμένῳ, τὰ παρὰ τῇ φύσει προηγούμενα πρωτεύει καὶ κατὰ τὴν διδασκαλίαν· τοὐναντίον δὲ τὰ παρὰ τῇ φύσει δεύτερα προηγήσεται κατὰ τὴν διδασκαλίαν, ὅταν ἀπηλλοτρίωται τοῦ ἀποδεικνυμένου τὸ κατασκευάζον.

γ'. Ἡ εὐκρίνεια, φησὶν, ἐὰν ἡ καθαρότης τι πάθῃ ἐναντίον, τουτέστιν εἰς τὴν καλουμένην περιβολὴν ἐμπέσῃ, προεῖπε γάρ, ὅτι ἐναντία ἐστὶν ἡ περιβολὴ τῇ καθαρότητι· ἐὰν οὖν τοῦτο γένηται, διορθοῦται καὶ σαφῆ ποιεῖ τὸν λόγον· διὰ τοῦτο γὰρ καὶ εὐκρίνεια καλεῖται

4 Par. 1. τῇ om. Mon. Par. 2. τὰ παρὰ τῇ φύσει. 5 Mon. συμφωνεῖ. 6 Ol. II. p. 16.

διὰ τὸ καλῶς χωρίζειν ἕκαστον. καὶ τὴν πρέπουσαν τάξιν ἀπονέμειν ἑκάστῳ.

δ'. Μέθοδον[7] καλεῖ τὸ διορθοῦσθαι τὸν λόγον καὶ σαφῆ ποιεῖν αὐτόν, κινδυνείοντα[8] εἰς περιβολὴν ἐμπεσεῖν· τοῦτο γάρ ἐστιν, ὃ πρὸ μικροῦ ἔφη.[9] ἀκολούθως δ' ἐπήγαγε τὸ ὧν ἔπεισε· συγγενὲς γὰρ τῷ ἀππαγγεῖλαι τὸ πεῖσαι τοὺς Ἀθηναίους, καὶ οὐχ ὥς τινες ἐξηγοῦνται, τὸν Φίλιππον.

ς'. Τὸ μὲν[10] ῥητὸν ἐν τῷ κατὰ Ἀριστοκράτους οὕτως ἔχει· „ἀνάγκη δέ ἐστι πρῶτον εἰπεῖν, καὶ δεῖξαι·" κἀνταῦθα[11] γὰρ ὑποσχόμενος ἐκ προοιμίων ὁ ῥήτωρ κακονούστατον ἀνθρώπων καὶ τῆς διὰ τοῦ ψηφίσματος δωρεᾶς ἀνάξιον ἀποδεῖξαι τὸν Χαρίδημον, δεδοικὼς, μὴ τὰς περὶ τούτων ἀποδείξεις ὁ ἀκροατὴς εὐθέως ἐπιζητήσῃ, ἐπὶ τοὺς περὶ Χερρόνησον[12] μεταβαίνει λόγους, καὶ πάντων ἀναγκαιοτέρους εἶναι διϊσχυρίζεται[13] τούτους, ὅθεν καὶ πρώτους αὐτοὺς διεξιέναι ἀναγκαῖόν[14] φησιν.

ζ'. Ἀμαδόκου καὶ Κερσοβλέπτου τῶν Βηρισάδου παίδων. οὗτοι γὰρ τότε Θρᾳκῶν ἐβασίλευον, τῷ δὲ Κερσοβλέπτῃ καὶ γαμβρὸς ἦν Χαρίδημος ἐπὶ ἀδελφῇ, ἐξ οὗ καὶ διαβάλλει Χαρίδημον ὁ ῥήτωρ, ὡς Κέρσοβλέπτῃ κατασκευάζοντος τὴν ἀρχήν.[15]

---

7 Par. 1. litteram δ'. omittit: verba inter scholia min. habet. 8 Mon. κινδυνευόντως εἰς περιβολήν, omisso ἐμπεσεῖν. correxi ex Par. 2. 9 Litt. έ. vid. Vol. V. p. 475. v. 23. — p. 476. v. 6. 10 Ven. Δεῖ δ' ὑμᾶς πρῶτον ἁπάντων ἀκοῦσαι καὶ μαθεῖν, τί ποτ' ἐστὶ τὸ Χερρόνησον ἀσφαλῶς ἔχειν πεποιηκός [p. 623.]. 11 Ven. ἐνταῦθα. 12 Mon. Χερόννησον. 13 Mon. διϊσχυρίζετο. Ven. Par. 2. διϊσχυρίζεται. 14 ἀναγκαῖον Mon. Par. 2. om. Ven. ἀναγκ. διεξιέναι. Par. 1. διεξ. ἀναγκ. φησίν. Ven. pergit: Ἡ πρὸς ἀλλήλους διαφορὰ τῶν Θρᾳκῶν, Ἀμαδόκου κ. τ. λ. 15 Parr. addunt: Τοῦτο γὰρ ἦν αἰτίαμα Χαριδήμῳ, ὅτι κατεσκεύαζε τὴν ἀρχὴν Κερσοβλέπτῃ, ἑνὶ τῶν τριῶν Θρᾳκῶν βασιλέων· τὸ γὰρ

ϑ'. Προεῖπε γὰρ, ὅτι τοῦτο μόνον δεῖ σκοπεῖν, εἰ διὰ τῆς εὐκρινείας σαφήνειαν προσάγει τῷ λέγειν, ὡς αὐτὸς βούλεται ὁ ῥήτωρ.

ιά. Ἔχει μὲν τὸ πλεῖστον, φησὶν, ὅπερ ἔφην περὶ τὴν μέθοδον, ὅταν πρὸς ἐπικουρίαν λαμβάνηται τῆς καθαρότητος· γίνεται δὲ καὶ διὰ τῶν ἄλλων λόγος εὐκρινής· σπεύδει γὰρ οὐ μόνον διορθοῦσθαι τὸ συμβὰν τῇ καθαρότητι πάθος, ἀλλ' ἤδη που καὶ τὴν μέλλουσαν βλάβην ἐκκόπτειν, ὥσπερ οἱ προμηθέστατοι τῶν ἰατρῶν τοῖς προφυλακτικοῖς τῶν φαρμάκων τὰς νόσους προφθάνουσι. τὸν αὐτὸν καὶ ἡ εὐκρίνεια τρόπον, ὅπως μηδὲν ὑπεναντίον ἢ καθαρότης πάθῃ, φυλάττεται· διὰ δὴ καὶ τὴν πλείστην ἰσχὺν ἔχει περὶ τὴν μέθοδον· οὐδὲ γὰρ ὁ ἰατρὸς τοσοῦτον ἐπὶ τὰ ὑγιαίνοντα τῶν σωμάτων, ὅσον ἐπὶ τὰ νοσοῦντα καὶ περιπεπτωκότα χαλεποῖς ἀῤῥωστήμασιν. ὅταν οὖν [16] ὑπεναντίον ἡ καθαρότης πάθῃ, χρῆται μεθόδῳ πρὸς ἐπανόρθωσιν· ὅταν δὲ τὴν μέλλουσαν προανακόπτῃ βλάβην, οὐ [17] τῇ μεθόδῳ μόνῃ, ἀλλὰ καὶ τοῖς λοιποῖς· τάχα δὲ κατὰ τοῦτο τὸ μέρος τῆς εὐκρινείας οὐδ' ἂν εὑρεθείη καθαρὰ μέθοδος, ὡς μικρὸν ὕστερον ἀποδείξομεν.

ιβ'. Ἀντὶ τοῦ διηγηματικαί· διήγησις γὰρ ἡ κατάστασις· ἄμεινον δὲ νοεῖν ἀντὶ τοῦ αἱ ἐπαγγελίαι, ὡς τὸ, βούλομαι δὲ εἰπεῖν.

ιγ'. Ὁ Τιβέριός [18] φησιν, ὅτι [19] ἀγοραῖος καὶ ὁ ἰδιωτικὸς τύπος εἴρηται τοῦ εὐκρινοῦς καὶ τοῦ καθαροῦ, ὅταν ἐπιτρέχων κατὰ ἀφήγησιν κομματικοῖς κώλοις προάγοις [20]

ἔχειν ἀσφαλῶς τὴν Χερρόνησον Ἀθηναίους, ἐν τούτῳ ἦν τῷ στασιάζειν αὐτοὺς πρὸς ἑαυτούς, ᾧ ἐνεπόδιζε Χαρίδημος, ἑνὶ αὐτῶν τῷ Κερσοβλέπτῃ συμπράττων. — Litt. ή. vide Vol. V. p. 476. v. 7—17. Litt. ί. ibid. v. 17—19. 16 οὖν Par. 1. om. 17 Mon. ἐν. 18 Litt. ιγ'—ιέ. habet Sicel. 19 Sicel. ὅτι καὶ ὁ ἀγ. Par. 2. ὅτι ὁ ἀγ. Sicel. εὕρηται. 20 Sicel. προσάγῃς.

τὰ νοήματα,[21] οἷον ἐν τῷ κατὰ Τιμοκράτους,[22] „προσῆλθε τῇ βουλῇ, προβούλευμα ἐγράφη, ἐγράψαντο [23] τὸ ψήφισμα, εἰσῆλθον εἰς ὑμᾶς, ἵνα συντέμω κατὰ τοὺς νόμους, ἔδοξεν εἰρῆσθαι καὶ ἀπέφυγεν.“ ἰδιωτικῷ γὰρ τύπῳ ταῦτα προῆκται. τοιοῦτοί εἰσι καὶ οἱ Δημοσθένους ἰδιωτικοὶ, ἐν οἷς ἀπὸ ψιλοῦ τοῦ ὑποκειμένου τὰς ἀρχὰς ποιεῖται, οἷον, „ἀδελφὰς ἔχομεν,[24] ὦ ἄνδρες, γυναῖκας,“ καὶ ὑβρισθεὶς, ὦ ἄνδρες, καὶ παθὼν ὑπὸ Κόνωνος.[25]

ιέ. Πάλιν παραγγέλλει καθ' ἑαυτὰς θεωρεῖν ταύτας τὰς ἐννοίας, καὶ μὴ ὧν ἕνεκα παρελήφθησαν, ἐπεί τοι τὴν ἀρχὴν οὐκ εὐκρινεῖς μόνον, ἀλλὰ καὶ δειναὶ δόξουσιν εἶναι. πλὴν κατ' ἄλλον καὶ ἄλλον τρόπον·[26] ἡ μὲν γὰρ εὐκρίνεια, τὸ σαφὲς,[27] ἡ δὲ αἰτία, δι' ἣν ἕνεκα παρελήφθησαν,[28] δεινὸν ἐποίησε τὸν λόγον.

ιϛ'. Ποιοῦσι, φησὶ, καὶ αἱ συμπληρώσεις[29] εὐκρί-

---

21 τὰ νοήματα Mon. om. 22 p. 703. 23 Sicel. ἔγραψαν. 24 Sicel. ἔχομεν γυναῖκας, ὦ ἄνδρες Ἀθηναῖοι, ἐγώ τε καὶ Σπουδίας οὑτωσί (sic). in Spud. init. 25 in Con. init. — Ven. litt. ή—ιδ'. omissis: *Πολλάκις δὲ διεμαρτυράμην τοῦτο, ὡς οὐδὲν δεῖ κατηγορεῖν τῶν λεγομένων, εἰ καὶ ἄλλό τί ἐστιν ἅμα τῇ εὐκρινείᾳ.* Sicel. *Πολλάκις δὲ διεμαρτυράμην. Ὁ Ἑρμογένης γινώσκων, ὅτι συνειδὼς ἑαυτῷ κ. τ. λ.* Vol. V. p. 476. v. 20. — p. 477. v. 11. Parr. post litt. ιγ'. addunt: *Ὡς ἀνάξιός ἐστι τούτου τυχεῖν ὁ Χαρίδημος, ἁπάντων τούτων αἵρεσιν ὑμῖν δοῦναι τοῖς ἀκουσομένοις, τί πρῶτον, ἢ τί δεύτερον, ἢ τί τελευταῖον βουλομένοις ἀκούειν ἡμῖν ἐστιν, εἶτ' ἐπήγαγε.* Sch. min. *Ἑτέρου λόγου· δηλονότι ἑτέρας διδασκαλίας. Ὑμᾶς ὑπομνῆσαι· καὶ ὁ θεολόγος· βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακόν. Διατυποῦσι· συντόμως προλέγουσι· τί δέ ἐστι διατύπωσις, ζήτει εἰς τὰς εὑρέσεις περὶ διασκευῆς· ἔστι δὲ δεύτερον κεφάλαιον τοῦ τρίτου τόμου. Διατυποῦσαι· ἔννοιαι εὐκρινείας δηλονότι. Τάξιν, οἷον τόδε θέλω εἰπεῖν πρῶτον καὶ τόδε.* 26 τρόπον Sicel. om. 27 τὸ σαφὲς Mon. om. Sicel. *κατὰ τὸ σαφές.* 28 Mon. addit: *ἐπείτοι τὴν ἀρχήν.* — Litt. ις'. vide Vol. V. p. 477. v. 12—16. 29 Schol.

νειαν, αἳ καὶ μιμοῦνται σχεδὸν τὴν μέθοδον καὶ ἐννοίας [30] τάξιν. οὑτωσί πως ἔχουσι· καταστατικαὶ γὰρ οὖσαι καὶ εἰς ἀρχὴν ἀνάγουσαι τὸν λόγον, εὐκρινείας ἔννοιαν ἀπεργάζονται, ἀρχόμενοι δὲ πάλιν ἐκ τοῦ παρακειμένου πράγματος καθαρὰν μὲν οὐ ποιοῦσι μέθοδον· οὐ μὴν εἰς τὸ ἐναντίον ἐκπίπτουσι, διὰ τὸ μὴ ποιεῖσθαι τὴν ἀρχὴν ἐκ τῶν παρακολουθούντων, ἀλλ' ἐκ τοῦ παρακειμένου πράγματος. φιλοῦσι γὰρ αἱ συμπληρώσεις ἐκ τῆς προλαβούσης ἀναπαύσεως λαμβάνειν τὴν ἀρχὴν τῆς ἐπιφερομένης ἐννοίας καὶ ἐμφαίνειν [31] ἐν τοῖς ἑπομένοις τοῦ προηγουμένου τὴν δύναμιν, ὡς τὸ Ἓν μὲν πολίτευμα ἔχει τοῦ νεανίου τούτου, ἕτερον δὲ ἀναμιμνήσκεσθε, [32] καὶ ἑξῆς, ὡς ὁ τεχνικός.

ιή. Οἷον ἀλλὰ περὶ τούτων μὲν ἀπόχρη· καὶ Ἓν μὲν τοίνυν πολίτευμα τοῦτο τοῦ νεανίου τούτου, ἕτερον δὲ ἀναμιμνήσκεσθε.

ιθ'. Δοκεῖ συγκεχύσθαι ἡ διδασκαλία τοῦ Ἑρμογένους· ἀνωτέρω γὰρ περὶ ἐννοιῶν εἰπὼν ἐνταῦθα μεθόδους αὐτὰς καλεῖ· ἐροῦμεν οὖν τοῦτο. ἐπειδὴ μέθοδοί εἰσι κατ' αὐτὸν τὰ τῆς διανοίας σχήματα οὐ δυνάται σαφῶς διδάξαι περὶ ἐννοίας, ἐὰν μὴ διὰ τῶν περὶ αὐτὴν γινομένων σχημάτων παραδείγματα εἴπῃ, δι' ὧν ἡ διάνοια γνωρίζεται.

κ'. Οἷον τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τί-

---

min. Συμπληρώσεις λέγονται αἱ ἀποπληρώσεις τῶν προτέρων ἐννοιῶν, ἀρχαὶ δὲ τῶν δευτέρων· αὕτη γίνεται τοῖ βασιλέως περὶ ἡμᾶς ἀρχὴ καὶ κατάστασις πρώτη· εἶτα ἕτερον δὲ τῶν εἰρημένων, οὐκ ἔλαττον. 30 Sch. min. Καταστάσεις λέγει ἐπαγγελίας καὶ ἀρχάς, οἷον· „ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. Τοῦ νεανίου· τοῦ Αἰσχίνου. 31 καὶ ἐμφαίνειν — — νεανίου τούτου Mon. et Par. 2. om. in Par. 2. ad marg. manu secunda adscripta sunt. Continentur in Par. 1. 32 Par. 2. ἀναμιμνήσκεσθαι.

μα, τοὺς δὲ φίλους αἰσχύνου· ταῦτα γὰρ κατὰ φύσιν τέτακται· πρότερον γὰρ οἱ θεοὶ, ἔπειτα οἱ γονεῖς, ὑφ' ὧν τεχθέντες, μετὰ ταῦτα. φίλοι γινόμεθα."[33]

κβ'. Ἓν[34] καὶ τοῦτο τῶν ἀρίστων θεωρημάτων ἐν τῷ περὶ μεθόδου δεινότητός ἐστι, πότε τὴν τάξιν τῶν πραγμάτων ὁ ῥήτωρ φυλάξει, καὶ πότε οὔ· ἐν ᾧ καὶ περὶ τῆς ταυτολογίας διαλαμβάνει, καί φησιν, ὅτι ἐν μὲν τῇ πανηγυρικῇ κ. τ. λ. Vol. V. p. 477. v. 24. — p. 478. v. 7.

κγ'. Τάχα ποτὲ, φησὶν, καὶ τὸ τὴν οὖσαν τάξιν τοῖς πράγμασι φυλάττειν δεινότητος εἶναι συμβαίνει. καὶ τοῦτο δείκνυσι σαφῶς ἐν τῷ[35] περὶ μεθόδου δεινότητος.

κέ. Παρὰ τῷ ῥήτορι, φησὶ, καὶ[36] πρωτευούσας τὰς λύσεις τῶν ἀντιθέσεων εὑρήσεις· καθὰ γὰρ τῶν ἄλλων ἕκαστον πρὸς τὸ οἰκεῖον τίθησι συμφέρον, τὸν αὐτὸν τρόπον καὶ τὰς ἀντιθέσεις ποτὲ μὲν πρώτας, ποτὲ δὲ μέσας, ἴσως δὲ καὶ τελευταίας. λέλεκται δὲ τῷ τεχνικῷ καὶ ὁ περὶ τούτων λόγος ἀκριβῶς ἐν τῷ περὶ μεθόδου δεινότητος.

κς'. Ὁ περὶ[37] τοῦ πῶς δεῖ εἰσάγειν τὰς ἀντιθέσεις λέγων, ἐπεὶ καὶ τὰς εἰσαγωγὰς τῶν ἀντιθέσεων ἐν ἐκείνῳ τῷ βιβλίῳ κατὰ τρεῖς τρόπους φησὶ δεῖν ὁ τεχνογράφος ποιεῖσθαι, ἐπιστήμην, δόξαν, ἀκοήν, καὶ τὰς μὲν ἰσχυρὰς κατὰ ἀκοὴν δεῖν εἰσάγειν, ὡς μὴ συνειδότας τοῖς ἀντιδίκοις ἐκεῖνα, ἐφ' οἷς θαῤῥοῦσιν· οἷον πυνθάνομαι

---

33 Litt. κά. vide Vol. V. p. 477. v. 20 — 23. 34 Ven. litt. ιέ — κά omissis: Συμβαίη δ' ἂν ἴσως ποτὲ καὶ τὴν οὖσαν τάξιν τοῖς πράγμασι φυλάττειν δεινότητος εἶναι. Ἓν δὲ τοῦτο. 35 τῷ Mon. om. Sch. min. ἐν τῷ τρίτῳ βιβλίῳ, ἐν ᾧ φησιν, ὅτι τὴν οὖσαν τῶν πραγμάτων τάξιν (Cod. τάξιν om.) δεινότητός ἐστι. — Litt. κδ'. vide Vol. V. p. 478. v. 7—16. 36 φησὶ καὶ Mon. om. recepi ex Par. 1. a Par. 2. καὶ abest. 37 Ven. litt. κγ' — κέ. omissis: ὃ δὲ περὶ ἀντιθέσεως ἡμῖν εἰσαγαγὼν λόγους ἐν τῷ περὶ μεθόδου δεινότητος ἡμῖν ἀκριβῶς ῥηθήσεται. Τὰς εἰσαγωγὰς τῶν ἀντ.

τοίνυν αὐτὸν κἀκεῖνο τολμήσειν ἀποφαίνεσθαι πρὸς ὑμᾶς· τὰς δὲ μέσως ἐχούσας δυνάμεως κατὰ δόξαν, οἷον τάχα τοίνυν κἀκεῖνον [38] ἐρεῖ τὸν λόγον· τὰς δὲ ἀσθενεῖς κατ' ἐπιστήμην· οἶδα τοίνυν, ὡς κἀκείνῳ πολλῷ χρήσεται τῷ λόγῳ· τὰ μὲν γὰρ σαθρὰ τοῦ ἀντιδίκου ὡς εἰδὼς ὀφείλει προβάλλειν· τὰ δὲ μέσα, ὡς στοχαζόμενος, τὰ δὲ ἰσχυρὰ, ὡς ἀκούων. ἰστέον μέντοι, ὡς ὁ ῥήτωρ ταῦτα μίγνυσι πολλάκις.

κζ. Τουτέστιν ἡ κοινὴ καὶ μὴ τροπικὴ, ὡς προεῖπεν, ἀλλὰ σημαντικὴ, ἐναργῶς σφόδρα δηλοῦσα τὰ πράγματα. ἰστέον δὲ, ὅτι περὶ λέξεως ζητεῖν ἐνταῦθα περίεργον· τὴν γὰρ αὐτὴν καὶ ἐπὶ τῆς εὐκρινείας δεῖ λαμβάνειν, ἣν καὶ ἐπὶ τῆς καθαρότητος. [39] Μερισμός ἐστιν, ὅταν προτάξαντες τὸν μὲν σύνδεσμον ἐπαγάγωμεν, τὸν δὲ ὡς τὸ „ἔδει [40] μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας" καὶ τὰ ἑξῆς· οἱ γὰρ δικασταὶ ἀναμένουσι τὸν δὲ ἀνταποδοτικόν· ἰστέον μέντοι, ὅτι κυρίως μερισμός ἐστιν ἡ σύντομος τοῦ „δὲ" ἀνταπόδοσις· οἷον· [41] „ἑσπέρα μὲν γὰρ ἦν, ἦκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις." καὶ τὸ τοιοῦτον αὐτὸ καθ' ἑαυτὸ μερισμὸς καὶ οὐδὲν ἕτε-

38 κἀκεῖνον ἐρεῖ — — — οἶδα τοίνυν Mon. om. 39 Sequitur in Par. οἷον δύο ταῦτα καὶ πονηρὰ εἴργασται Μειδίᾳ κατὰ τὴν ἑορτὴν, τό τε τοῦ θεοῦ καταφρονῆσαι, ᾧ χρηστὸς ὢν ἐπανηγύριζον, καὶ τὸ πρὸς πάντας διαβάλλειν ὑμᾶς, τοιούτοις πλουτοῦντας ὑβρισταῖς· ὁ γὰρ ὁρισμὸς δηλαδὴ τὸ δύο σαφῆ τὸν λόγον ἐποίησε, τὸ ἠθροισμένως ῥηθὲν διδάξας ἐπιζητεῖν, καὶ μηδὲν πλέον τὸν ἀκροατήν. Ven. consentiens cum schol. min.: Τοιαῦτα δὲ σχήματα ὁ μερισμὸς καὶ ἡ ἀπαρίθμησις, οἷον εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρει Αἰσχίνης· καὶ [in Lept. p. 460.] τρία γὰρ τὰ μέγιστα ὀνείδη κτᾶται, φθονεροὺς, ἀπίστους, ἀχαρίστους εἶναι δοκεῖν. Sch. min. Μερισμός· ὁ μὲν καὶ ὁ δέ. Ἀπαρίθμησις· τρεῖς οἶδα τάξεις τῶν σωζομένων. Ἑαυτὸν ἐρωτῶν· Τοῦτο ἄλλοι διαλογικὸν καλοῦσι σχῆμα. Ἐξετάζων κέχρηται· ὁ Δημοσθένης. 40 de Chersonn. init. 41 pro cor. p. 284.

ρον. ἡ μέντοι διὰ μακροῦ τοῦ „δὲ“ συνδέσμου ἀνταπόδοσις, οἷά ἐστιν αὕτη, τὸ „ἔδει μέν, ὦ Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν,“ καὶ „τὸ μέν, [42] ὦ Ἀθηναῖοι τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων“ καὶ τὰ ἑξῆς· ἔστιν μέντοι καὶ ταῦτα μερισμός. ἐργάζεται δὲ τὸ τοιοῦτο καὶ περιβολήν. ἡ γὰρ διὰ μακρῶν ἀνταπόδοσις περιβολῆς ἴδιον, εἰ καὶ [43] δοκεῖ μερισμός.

κθ'. Περιβάλλει [44] μὲν γὰρ τὸν λόγον ὡς ἐφελκτικὰ [45] νοημάτων ἑτέρων, τῷ δ' ἐμφαίνειν τοῖς ἀκούουσιν, ὡς ἐπάξει καὶ ἕτερον νόημα, προδιευκρινεῖ τὸ πᾶν. εἰ γὰρ εἴπῃ „πρῶτον μὲν“ προσημαίνει πάντως, ὡς καὶ δεύτερον λέξει, καὶ ἀναμένουσιν, ὡς ἂν ἀποδῷ τῷ μὲν τὸν δὲ σύνδεσμον.

λ'. Γίνεται, φησὶν, ὁ λόγος οὐδὲν ἧττον εὐκρινὴς, [46] ὅταν τις αὐτὸν ἐρωτῶν ἐπενέγκῃ τὴν ἀπόκρισιν κατὰ διάστασιν· οἷον, τίνος οὖν ἕνεκεν ταῦτα λέγω, καὶ πάλιν, διὰ τί· πλεονάζει δὲ, φησὶ, τοῦτο μάλιστα ἐν τῷ κατὰ Ἀριστοκράτους· τὸ γὰρ παράνομον ἐξετάζων ἀναγκαίως τῆς σαφηνείας ἐδεήθη κατὰ τοῦτο τὸ μέρος, ἣν ἐποίησεν ἡ ἐρώτησις· συχνῶς γὰρ ἑαυτὸν ἐρωτῶν, εἶτα κατὰ διάστασιν ἐπάγων τὴν ἀπόκρισιν [47] εὐσύνοπτον τὸν λόγον ἐποίησεν. εὐπετῶς γὰρ ἐκ τῆς ἐρωτήσεως καὶ κατὰ τοῦτο τὸ μέρος παρηκολούθησεν ὁ ἀκροατής· ὃ χωρὶς ταύτης, οὐ μόνον ἀσαφὲς, ἀλλὰ καὶ συγκεχυμένον ἔδοξεν εἶναι διὰ τὴν συνεχῆ τῶν νόμων παράθεσιν.

λά. Χρήσιμον, φησὶν, πρὸς εὐκρίνειαν καὶ ἡ ἐπανάληψις· εἰ γὰρ προσθῇ τις τῷ λύγῳ σχῆμα νοημάτων

42 Ol. II. p. 18. 43 Parr. εἰ καί. Mon. εἶναι. 44 Litt. κθ' et λ'. continentur in Sicel.: Τῷ μὲν γὰρ ἐφέλκεσθαι ἄλλα νοήματα· περιβάλλει μὲν γὰρ τὸν λόγον ὡς ἐφελκυστικὸν ἑτέρων νοημάτων. 45 Mon. ἐφελτικά. 46 Sic. εὐκρινὴς οὐδὲν ἧττον, καὶ ὅταν τις. 47 Sicel. ἐπίκρισιν.

ἐφελκτικόν, εἶτα κατὰ περίστασιν ἐπενέγκοι ἄλλα τινὰ νοήματα, πρὶν ἀποδοῦναι τῷ προηγησαμένῳ τὸ ἀκόλουθον, συγκεχυμένον δηλαδὴ ποιήσει τὸν λόγον, μὴ τῇ ἐπαναλήψει χρησάμενος.[48]

λγ'. Τὸ ἑξῆς νόημα, τουτέστι τὸ ἡγοῦμαι·[49] ἔδει γὰρ ἀκολούθως ἐκείνῳ προσενεγκεῖν· ἃ δὲ καὶ χωρὶς τούτων ἔνι καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς καὶ τὰ ἑξῆς, ἀλλὰ πολλὰ ἐπεμβαλὼν μεταξὺ τῇ ἐπαναλήψει ἐχρήσατο, ἵνα ἀποδῷ τὸ ἀκόλουθον νόημα· καλῶς οὖν φησιν σχῆμα εὐκρινείας εἶναι τὴν ἐπανάληψιν.

λδ'. Εὐκρινείας κῶλα μικρὰ καὶ κομματικά· συνθήκη μηδὲν φροντίζουσα συγκρούσεως φωνηέντων, ἤγουν χασμῳδίας ἀνάπαυσις ἰαμβική τις ἢ τροχαϊκή.

λέ. Πολὺ[50] μὲν παρὰ τῷ ῥήτορι τὸ κατὰ ἔμφασιν σχῆμα· οἷον πατὴρ μὲν οὐκ ἐρῶ, τίς ἢ πόθεν· ἔοικε δὲ ταῖς ἐμφάσεσι καὶ τὰ αἰνίγματα καλούμενα, ἤτοι γρίφοι, οἷον·

Εἶδον[51] ἐγὼ πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα·

καὶ τὸ ἐπὶ ξύλου καὶ οὐ[52] ξύλου καθημένην, καὶ τὸ Σιμωνίδου[53] πρὸς τοὺς ἑταίρους λεγόμενον·

Φημὶ τίν'[54] οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
Τῷ Πανοπηϊάδῃ δώσειν, μέγα δεῖπνον Ἐπειῷ.[55]

καὶ ἔτι ἐκεῖνο·

Πέντ'[56] ἄνδρες δέκα νησὶ κατέδραμον εἰς ἕνα χῶρον.

---

48 Litt. λβ' — λδ'. et λή. habet Sicel. etiam Ven. litt. κζ' — λά. omissis incipit: *Τὸ μὲν οὖν [οὖν Sicel. om.] τὴν Φιλίππου ῥώμην διεξιέναι.* vide Vol. V. p. 479. v. 1—12. 49 Sicel. *ἡγοῦμαι γὰρ ἔδει ἀκ.* 50 Ven. litt. λγ. λδ. omissis: *Ἐπεὶ αἴγε ἐμφάσεις καὶ τὰ ἐσχηματισμένα τῶν ζητημάτων.* 51 Cfr. Sicel. c. *περὶ σχημάτων, ξς'.* Demetr. Phal. CII. 52 οὐ Par. om. 53 Gaisf. Poët. min. T. III. p. 186. 54 Mon. *τίνας οὐκ ἐθέλοντας.* Par. 2. *τίνες οὐκ ἐθέλοντες.* Par. 1. Ven. *τίν' οὐκ ἐθέλοντα.* 55 Mon. Parr. et Sicel. *μετὰ δεῖπνον ἐπ' ἠώ.* Ven. Ἐπειῶ. correxi ex Athen. X. p. 456. e. *μέγα.* 56 Mon. et Parr. *πέντε δ'*

Ἐν δὲ λίθοις ἐμάχοντο, λίθον δ' οὐκ ἦν ἀνελέσθαι· [57]
Δίψει δ' ἐξώλλυντο· ὕδωρ δ' ὑπερεῖχε γενείου.

ἐσχηματισμένα δέ εἰσιν, ὡς τὰ παρὰ Ἀψίνῃ τῷ Γαδαρεῖ ἐν ἐκείνῳ τε τῷ ζητήματι· φήμη ἦν, [58] ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί. καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων· πάτερ· σὺ δὲ ἧς οὐδαμοῦ. καὶ πάλιν ἐν τῇ περὶ τῆς ἐκθέσεως τοῦ παιδίου φιλονεικίᾳ· ὅπερ ὁ θεὸς ἀνεῖλε τὸν πατέρα φονεύσειν, σὸν εἶναι νόμισον, ὦ πάτερ, τὸ παιδίον, οὐκ ἐμόν. ἐκτιθεὶς ὃ ἔσπειρας, ῥίπτεῖς παιδίον, οὗ γέγονας πατήρ. καὶ Σοφοκλῆς δὲ ἐν Οἰδίποδι σχηματίζων τὸν περὶ Ἰοκάστης λόγον φησίν·

Γυνὴ δὲ μήτηρ [59] ἥδε τῶν κείνου [60] τέκνων.

Τοῦτο τέχνης καὶ ἀρετῆς τὸ ἐν τοῖς ἐσχηματισμένοις ἀσαφὲς, οὐ κακία λόγου, εἰ καὶ μὴ καθαρὸν ἐμφαίνει τὸν λόγον· ὅπερ ἴδιον εὐκρινείας. ὅσα δὲ μὴ διὰ τὸ ἐμφαντικὸν ἀσαφῶς λέγεται, ἀλλὰ διὰ σύγκρισιν, τοῦτο ἄντικρυς κακία.

λς'. Τῆς ἀσαφείας εἴδη δύο, τὸ μὲν κατὰ σύγχυσιν, τὸ δὲ, ᾧ χρώμεθα ἐν τοῖς ἐσχηματισμένοις ὀνόμασι καὶ ζητήμασιν· οἷον ὅτε φήμη ἦν, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί· μοιχὸν καταλαβὼν ὁ παῖς ἐγκεκαλυμμένον ἀφῆκε, καὶ ὑπὸ τοῦ πατρὸς ἀποκηρύττεται· ἐν τούτῳ γὰρ τῷ ζητήματι καὶ ἐσχηματισμένῳ ὄντι ὁ σκοπὸς ἀσαφὴς, δι' ὃν ἀποκηρύττει τὸν παῖδα. δοκεῖ μὲν γὰρ ἀγανακτεῖν, διότι τὸν μοιχὸν ὁ παῖς ἀφῆκε· καὶ διὰ τοῦτο δήπουθεν αὐτὸν ἀποκηρύττει· τῇ δὲ ἀληθείᾳ ἐξελέσθαι ἑαυτὸν βούλεται τῆς διὰ τὴν μοιχείαν ὑποψίας

ἄνδρες. Ven. πεντ' ἄνδρες. — Athen. X. p. 457. b. 57 Ven. ἑλέσθαι. 58 φησὶν μὴ οὖν ὅτι Mon. correxi ex Parr. 59 Codd. θ' ἥδε ut T. V. p. 480. — Oed. R. 921. 60 Par. 2. ἐκείνου. tum Codd. παίδων, scr. τέκνων. Ven. terminato in his capite περὶ εὐκρινείας transit ad cap. περὶ σεμνότητος, praetermisso capite: περὶ μεγέθους λόγου.

διὰ τῆς ἀποκηρύξεως, καὶ ὁ σκοπὸς οὖν τοῦ ζητήματος ἐσχημάτισται. καὶ τὰς λέξεις δεῖ ἀσαφεῖς μὲν εἶναι, ἐμφαντικὰς δὲ, οἷον καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων, πάτερ· τὸ γὰρ πάτερ τῷ μοιχῷ παρακείμενον τῇ συνθέσει ἐποίησε τὴν ἔμφασιν· ἐπενεχθὲν δὲ τὸ, σὺ δὲ ἦς οὐδαμοῦ, τὴν ἀσάφειαν τῷ παιδὶ, καὶ τὸν λόγον περιεποίησε τοῦτο· τέχνης καὶ ἀρετῆς τῷ ἐσχηματισμένῳ τὸ ἀσαφὲς, οὐ κακία λόγου· ὅσα δὲ μὴ διὰ τὸ ἐμφαντικὸν ἀσαφῶς λέγεται, ἀλλὰ κατὰ σύγχυσιν, κακία πάντως ἐστὶ λόγου.

λζ. Ὅταν, φησὶ, χωρὶς τῶν ποιούντων εὐκρίνειαν περιβάλλῃ τις, ποιήσει τὴν σύγχυσιν, ἥτις κακία ἐστίν. οὐ γὰρ ἥ γε ἁπλῶς ἀσάφεια κακία ἂν εἴη λόγου· ὅταν γὰρ ὁ λέγων ἄλλο τι βουλόμενος ἕτερον ἐκφάνῃ, τὸ δὲ ῥηθὲν ὁ ἀκούων προσδέξηται, καὶ νοήσῃ τοῦ λεχθέντος τὴν δύναμιν, τότε ἡ ἀσάφεια χρηστὴ γίνεται· ὅταν δὲ καὶ αὐτὸς ὁ λέγων διαταράξῃ τὸν λόγον, ποιεῖ τὴν σύγχυσιν, καὶ ὅλως γίνεται σύγχυσις τότε, ὅταν διὰ τὴν τοῦ λέγοντος ἀπειρίαν ὁ ἀκροατὴς μὴ προσδέξηται τὸ ῥηθέν. ὅταν δὲ τέχνῃ τινὶ μὴ καθαρᾷ προενέγκῃ τὸν λόγον, ἐμφάνῃ δὲ μετρίως τὸ φρόνημα, ποιεῖ τὴν ἀσάφειαν καλῶς· οἷον [61] „οἱ δὲ συνειπόντες ὁτουδήποτε ἕνεκα, ἐῶ γὰρ τοῦτο,“ καὶ τὰ ἐσχηματισμένα τῶν ζητημάτων, οὐ σαφῶς λέγει τὰ πράγματα, ὧν τὴν ὑπόθεσιν ὁ Ἀσπάσιος ἐμφαντικῶς λίαν διηγήσατο. λέγει γὰρ οὕτως· „κατείληπται γὰρ συγκεκαλυμμένος ὁ μοιχὸς, ἐγὼ δὲ ἐβόων, πάτερ, σὺ δὲ ἦσθα οὐδαμοῦ·“ φεύγειν οὖν δεῖ τὴν σύγχυσιν, ἡ γὰρ ἀσάφεια οὐ κακία λόγου. καὶ θαυμαζέτω μηδεὶς, εἰ τὸ μὲν ἀντικείμενον οὐ κακίζεται τῇ καθαρότητι, τὸ δὲ τῇ εὐκρινείᾳ μεταπίπτει εἰς κακίαν, ἡ μὲν κ. τ. λ. Vol. V. p. 480. v. 12—17.

61 pro cor. p. 232.

λή. Μετὰ τὴν σαφήνειαν ἀναγκαῖον ἡγήσατο τὸν περὶ μεγέθους λόγον ἐπενεγκεῖν. δεῖ γάρ, φησὶ, τῷ σαφεῖ μεγέθους τινὸς καὶ ὄγκου.

Cap. V.

Περὶ μεγέθους λόγου καὶ ἀξιώματος.[1]

ά. Ἐχρήσατο μὲν πάσαις ταῖς ἀναγομέναις ἰδέαις ἐπὶ τὸ μέγεθος, καὶ συνέμιξε τῇ σαφηνείᾳ ταύτας προϊούσας, μάλιστα δὲ τῇ περιβολῇ.

β. Σφόδρα θαυμασίως τὰς συμπλεκομένας ἀλλήλαις τελευταίας ἔταξε τῶν καθ' ἑαυτὰς εὑρισκομένων· ἡ γὰρ σεμνότης ἐφ'[2] ἑαυτῆς ἐστὶ καὶ ἡ περιβολή· αἱ δὲ λοιπαὶ πᾶσαι καὶ συμπλέκονται ἀλλήλαις. καὶ οὐ συμπλέκονται· ἀλλὰ ταύτας μὲν τὰς κατὰ τιμὴν συμπλεκομένας κατά τι δὲ διεστηκυίας τελευταίας τέθεικε, προέταξε δὲ τὴν σεμνότητα καὶ τὴν περιβολήν· ὥσπερ γὰρ ἡ σεμνότης τὸν αὐτὸν καὶ ἡ περιβολὴ τρόπον ἐφ' ἑαυτῆς ἐστι, καὶ ἐν μὲν τῇ ἀπαριθμήσει τῶν ἰδεῶν τῶν ποιουσῶν τὸ μέγεθος τὴν δευτέραν ἐπέχει τάξιν ἡ περιβολὴ, ἐν δὲ τῇ περὶ αὐτοῦ διδασκαλίᾳ τελευταίαν. γνώσῃ δὲ τὴν αἰτίαν οὐ πρότερον, εἰ μὴ μάθοις, τί τραχύτης, καὶ τί λαμπρότης, ἀκμή τε καὶ σφοδρότης· κατὰ γὰρ ταῦτα πλεονάζειν τὸν πολιτικὸν ἤτοι Δημοσθενικὸν οὐχ οἷόν τε λόγον, κατὰ δὲ τὴν περιβολὴν καὶ πάνυ· δεῖ οὖν πρότερον τὸ κωλύον εἰπεῖν· καὶ δι' ἣν αἰτίαν κατὰ τὰς ἄλλας οὐ δυνάμεθα πλεο-

---

1 Sch. min. Ἀξίωμα δὲ λέγεται καὶ ἡ τοῦ φρονήματος ἐπίδειξις καὶ ὄγκος. Τὸ εὐτελές· εὐτελέστερον, ἀφελέστερον. Ἕνεκα ταύτης· τῆς σαφηνείας. Εὐζωνότερον· ταπεινότερον. Τὰ ποιοῦντα τὸ μέγεθος· τουτέστι τὴν περιβολὴν καὶ τὰ λοιπὰ εἴδη τοῦ μεγέθους. 2 Mon. ἀφ', scripsi ἐφ'.

πλεονάζειν ἰδέας, εἶθ' οὕτως ἐπενέγκαι τὸν περὶ τῆς ἐπεμβολῆς λόγον· τάχα γὰρ οὐδὲ δύναται γνῶναι τὴν αἰτίαν, δι' ἣν ὁ ῥήτωρ ἐπὶ τῆς περιβολῆς ἐπλεόνασεν, εἰ μὴ πρότερον ἐκείνην μάθωμεν, ἤ τις ἀπείργει τὰς ἄλλας ἐν τῷ πολιτικῷ λόγῳ πλεονάζειν ἰδέας· ἀλλὰ πρῶτον ἐκτίθεται περὶ σεμνότητος, ἔστι γὰρ αὕτη, καθὰ μεμαθήκαμεν, ἐφ' ἑαυτῆς.

γ'. Ἰστέον, ὅτι πλὴν τῆς σεμνότητος καὶ τῆς περιβολῆς αἱ ἄλλαι τέσσαρες, αἱ ἀναγόμεναι ὑπὸ τὸ μέγεθος, μέρει μέν τινι κοινωνοῦσιν ἀλλήλαις· μέρει δέ τινι χωρίζονται· οἷον ἡ τραχύτης ἐννοίᾳ μὲν καὶ λέξει κοινωνεῖ τῇ ἀκμῇ, τοῖς δὲ κώλοις κεχώρισται· πάλιν ἡ λαμπρότης [3] σχήμασι καὶ κώλοις κοινωνεῖ τῇ ἀκμῇ, ἐννοίᾳ δὲ κεχώρισται· διὸ εἶπε μέρεσί τισι κοινωνοῦσαι, καὶ πάλιν ἑτέροις κεχωρισμέναι· [4] μέρη γὰρ καὶ ἐναργῆ τοῦ βιβλίου τὰ ὀκτώ, ἐξ ὧν ἑκάστη γίνεται ἰδέα· αὐτὸς δὲ ὑποκατιὼν σαφέστερον διδάξει, [5] ὥς φησιν, τούτῳ καὶ ἀνωτέρω προεδίδαξεν.

δ'. Ὄγκον καλεῖ [6] τὸ μέγεθος καὶ τὸ ἀξίωμα, οὗ εἴδη ἓξ, σεμνότης, περιβολή, τραχύτης καὶ τὰ λοιπά· [7] τῇ οὖν περιβολῇ πλεονάζει, φησὶ, Δημοσθένης ἐν τῷ ὀγκοποιεῖν καὶ ἐπαίρειν τὸν λόγον.

ε. Πρῶτον, [8] φησὶ, περὶ σεμνότητος λεκτέον, ἤ τις

---

3 πάλιν ἡ λαμτρότης — — — ἐννοίᾳ δὲ κεχώρισται Mon. om. 4 Mon. ἑτέραις κεχωρισμέναις. 5 Par. 1. σαφῶς διδάσκει. 6 Parr. haec in fine capitis prioris inter schol. minora habent, et h. l. in contextu repetunt. 7 Parr. supra καὶ αἱ λοιπαί. Sch. min. Ὧν δὴ μία· ὧν γενῶν, εἰδῶν. Ἡ περιβολή· διὰ τοῦτο, φησὶν, ἄγω νῦν· διατί ἐπλεόνασε τῇ περιβολῇ; ἵνα μὴ συγχέηται ἡμῖν ὁ λόγος. Ἐφ' ἑαυτῆς· αὐτὴ καθ' ἑαυτήν ἐστιν, οὐ κοινωνοῦσα ἑτέρας κατά τινα μέρη. Κατὰ τὸν ὄγκον· τὸ μέγεθος τὴν ἰδέαν εἶπεν ὄγκον. Ἐναντίον εἴη ἀφέλεια· κατὰ τί οὐ κατὰ πάντα. 8 Litt. ε. est in Sicel.

τῶν ἄλλων κεχώρισται· διὸ δὴ καὶ τὴν πρώτην ἐπέχει τάξιν· ἀναγκαῖον γὰρ περὶ τῶν ἰδίᾳ κεχωρισμένων καὶ μὴ ἐχουσῶν ἐν ἄλλοις τισὶ τὴν ὑπόστασιν διαλαβεῖν, εἶθ' οὕτως περὶ τῶν συμπλεκομένων διδάξαι· καὶ γὰρ ἡ περιβολὴ πρώτην ἂν, ἤτοι δευτέραν ἀπείληφε[9] τάξιν, εἰ μή τις κατηνάγκαζε λόγος ἐπὶ τελευτῇ τάττειν αὐτὴν,[10] ὡς ἐν τῷ περὶ αὐτῆς εἰσόμεθα λόγῳ· ἀντίκειται δὲ, φησὶν,[11] τῷ σεμνῷ τὸ ἀφελές.

Cap. VI.

Περὶ σεμνότητος.[1]

β'. Πρῶται, φησὶν, εἰσὶν ἔννοιαι σεμναὶ αἱ περὶ θεῶν ὡς θεῶν λεγόμεναι καὶ μὴ ποιητικῶς ἐξενηνεγμέναι μηδὲ ἀνθρωποπαθῶς· δεύτεραι δὲ αἱ περὶ τῶν θείων ὡσαύτως πραγμάτων λεγόμεναι· τρίται αἱ περὶ πραγμάτων λεγόμεναι[2] ἢ λόγον ποιούμεναι, ἃ δὴ φύσει μέν εἰσι

οι

9 Sicel. ἀπείληφε. 10 Sicel. αὐτοῦ. 11 Sicel. ἀντίκ. δὲ τῷ σεμνῷ τὸ ἀφ. ὥς φασιν.

1 Litt. ά. vide Vol. V. p. 480. v. 21. — p. 481. v. 15. Sch. min. Ζήτει καὶ περὶ σεμνότητος λόγου τὸ κεφάλαιον τοῦ τετάρτου τόμου τῶν εὑρέσεων. Αἱ περὶ θεῶν εἰσιν, ὡς τὸ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον [Il. Θ. 199.]. Ὡς περὶ θεῶν· ὡς κατὰ ἀλήθειαν λεγόμεναι περὶ θεῶν καὶ οὐχ ὡς μῦθοι, τοῦτο γὰρ μύθου ἐστίν. Ἀνθρωποπαθῶς γὰρ καὶ τὸ ὅλον εἰπεῖν ποιητικῶς λέλεκται. Ποιητικῶς· οἱ γὰρ ποιηταὶ χαίρουσι τοῖς μύθοις. Ὡς περὶ θεῶν· οὐχὶ ἀνθρωποπαθῶς. Ἀγαθὸς ἦν· τοῦτο ἐν τῷ Τιμαίῳ Πλάτωνος. Βουληθεὶς γάρ· καὶ τοῦτο ἐκ τοῦ Τιμαίου Πλάτωνος. Φλαῦρον· κομπῶδες, ἀφ' οὗ κακόν· ὅ ἐστιν ἐναντίον τῷ καλῷ. 2 ita Par. 1. in Par. 2. et Mon. περὶ πραγμ. ποιούμεναι λόγον. [Mon. λέγει.] Sch. min. Σημείωσαι, ὅτι ὁ μὲν φιλόσοφος περὶ θείων διαλαμβάνει πραγμάτων, οἱ δὲ ῥήτορες περὶ

θεῖα, τὸ πλεῖστον δὲ ἐν ἀνθρώποις θεωροῦνται· τετάρτην δὲ σεμνότητος ἔχουσιν ἔννοιαι δύναμιν αἱ περὶ ἀνθρωπίνων κατὰ μόνας διαλαμβανόμεναι πραγμάτων, καὶ τούτων μεγάλων καὶ ἐνδόξων. ἀλλὰ τὰς μὲν πρώτας τῆς σεμνότητος ἐννοίας τὰς περὶ θεῶν, ὡς περὶ θεῶν, οὐκ ἂν εὕροις ἐν πολιτικῷ λόγῳ. διὰ τί οὖν, φησὶ, τὰς μὴ συντελούσας τῶν ἄλλων προέταξεν, ἐπειδὴ νῦν περὶ πολιτικοῦ λόγου σκοπὸς αὐτῷ διαλαβεῖν, ὃν παραστῆσαι χωρὶς τῶν ποιούντων ἀδύνατον· ἀλλ' ὥσπερ ἐπὶ τοῦ πολιτικοῦ τὰς ἰδέας εἰδέναι χρὴ, τὸν αὐτὸν κἀπὶ τῶν ποιούντων τρόπον πάντως τὰ ἀποτελοῦντα τὰς ἰδέας παραλαμβάνειν χρὴ, κἂν ἔννοιαι τούτων μὴ συντελῶσι πρὸς τὸν σκοπὸν, καὶ πρὸς αὐτὸ ζητούμενον. οὕτως οὖν κἀνταῦθα παραδίδωσι περὶ ἐννοιῶν, αἳ συντελοῦσι πρὸς σεμνότητα, κἂν παρὰ Πλάτωνί εἰσι, παρὰ δὲ τοῖς ῥήτορσιν ἥκιστα. ἴσως καὶ κατὰ ἑκάτερον λόγον αὐτοὺς παραδίδωσιν, ὅπως εἰδότες αὐτὰς παραιτησόμεθα, καὶ μὴ χρησάμενοι τὸ ὅλον ἀφανίσωμεν, παρατραπέντες τῆς ὑποκειμένης ὑποθέσεως· τὸ δὲ αἴτιον τοῦ μὴ καὶ τοὺς ῥήτορας χρῆσθαι ταῖς τοιαύταις ἐννοίαις· οἱ περὶ θεῶν φιλόσοφοι γράψαντες καὶ οἱ διαδεξάμενοι τοὺς τῷ δοκεῖν ἱεροὺς λόγους, ἐν ἀπορρήτῳ αὐτοὺς φυλάξαντες οὐ μεταδεδώκασι τοῖς πολλοῖς, ὅπως, φασὶν, μὴ ὁ περὶ τούτων εὐκαταφρόνητος γίνηται λόγος. ὁ δὲ ῥήτωρ ἐκεῖνα

πολιτικῶν καὶ ἀνθρωπίνων. Μυθικῶς· ἀνθρωποπαθῶς, καὶ οὐ κατὰ σεμνότητα, ἣ Πλάτων ἐχρήσατο περὶ θεῶν, ὡς περὶ θεῶν λέγων. Τὰς μέντοι μετὰ τὰς τοιαύτας· Τοῦτο λέγει, τὴν πρώτην ἔννοιαν τὴν περὶ θεολογίας σεμνότητα οἱ ῥήτορες οὐκ ἔχουσι, τὰς δὲ ἑτέρας τρεῖς ἔχουσι. ibid. Ἐννοίας σεμνότητος βούλεται εἶναι τέσσαρας, ὧν τὴν μὲν πρώτην ἀπονέμει φιλοσοφίᾳ, ᾗ καὶ τὸν Πλάτωνά φησι χρήσασθαι, τὰς δὲ τρεῖς ῥητορικῇ, αἷς Δημοσθένης ἐχρήσατο. Ὄντως πραγμάτων· κατὰ ἀλήθειαν· Περὶ τῶν φυσικῶν πραγμάτων, οἷαί εἰσιν αἱ τῶν μετεώρων ὑποθέσεις.

σπουδάζει λέγειν, ἃ τὴν ἀρχὴν. ὁ πολὺς οἶδεν ἄνθρωπος· διὰ δὴ καὶ τὰς θεῶν ὡς περὶ θεῶν σεμνὰς ἐννοίας παρίησιν· ὁ γὰρ ἀκροατὴς ἀγνοῶν οὐδὲ συνιέναι δυνήσεται τὸν περὶ αὐτῶν λόγον. εὕροις δ' ἂν παρὰ Πλάτωνι τοιαύτας ἐννοίας πολλάς· „οὐ γὰρ δεῖ," φησὶ, „λαμβάνειν τὰς ποιητικὰς, ἀλλὰ φεύγειν αὐτὰς ἀνθρωποπαθεῖς οὔσας καὶ μυθικάς." οἷον τό·

Ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε [3] Κρόνου παῖς ἣν παράκοιτιν·

πόῤῥω μέν ἐστι σεμνότητος, μετέχει δὲ καὶ ἡδονῆς καὶ γλυκύτητος, ἅτε ποιητικὸν ὄν. τὰς δὲ περὶ θεῶν ὡς θεῶν εἰ βούλει σεμνὰς ἐννοίας λαβεῖν, ἐξέτασον τὸν Τίμαιον Πλάτωνος, οἷον· [4] „ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε γίνεται φθόνος," καὶ ἑξῆς· παρὰ δὲ ῥήτορσιν [5] ἥκιστα διὰ τὴν προλεχθεῖσαν αἰτίαν, ἣν ὁ τεχνικὸς ἀπεσιώπησε, πάρεργον ἡγησάμενος ἐπὶ τοῦ παρόντος περὶ τῶν τοιούτων πολυπραγμονεῖν· τὰς δὲ μετ' αὐτὰς, ἃ δευτέραν καὶ τρίτην καὶ τὴν ἐσχάτην τάξιν ἐπέχουσιν, εὕροις ἂν παρὰ Δημοσθένει καὶ παρὰ τοῖς ἄλλοις. [6]

---

3 Mon. ἀναγκὰς ἔδαρπεν. — Il. Ξ. 346. 4 p. 29. infr.

5 Par. add. Παρὰ τοῖς ῥήτορσι τοῖς Ἑλληνικοῖς τοιαῦται θεολογικαὶ ἔννοιαι οὐκ εἰσὶ, παρὰ δὲ τοῖς ἡμετέροις καὶ πολλαὶ, οἷον· ἐν ἀρχῇ ἦν ὁ λόγος [Ev. Joh. I, 1.] καὶ τὰ ἑξῆς· Θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται. Ὁ Ὑπερίδης, ὁρισθεὶς ἐγκωμιάσαι τὸν Ἀπόλλω, καὶ μὴ δυνηθεὶς θεολογῆσαι τοῦ μύθου ἀπήρξατο τοῦ περὶ τὴν Λητὼ γεγενημένου ἐν τῇ Δήλῳ, βουλόμενος δεῖξαι ἐκ παλαιοῦ τὴν πόλιν οἰκείαν εἶναι Ἀπόλλωνος, οὐ μὴν θεολόγος οὕτως, ἀλλ' ἐγκώμιον γράφων θεοῦ ἐξ ὁμολογουμένων πραγμάτων ἤρξατο, ἀναλογούντων τῷ γένει, λέγων, Θεὸς μὲν ἦν ἀεὶ καὶ τὰ ἑξῆς, καὶ ἐν πᾶσιν αὐτοῦ τοῖς θεολογικοῖς ὁμοίως. Ὡς περὶ θεῶν· ὡς ἀληθῶς, ὅτι διάφορά ἐστι θεῶν καὶ θείων· ἐντεῦθεν δὲ δῆλον· Θεὸς μὲν γὰρ ὁ δημιουργὸς καὶ πρῶτος τάξει καὶ φύσει· θεῖον δὲ τὸ ὑποβεβηκὸς μὲν θεῷ, κρεῖττον δὲ ἀνθρώπων. 6 Litt. γ'. vide Vol. V. p. 481. v. 20. — p. 482. v. 5.

δ'. Καὶ ἁπλῶς[7] ἔχει, ὅσα κατὰ φύσιν εἰσὶν,[8] οἷον τὴν τοῦ παντὸς περιφέρειαν, τὴν κίνησιν τῆς γῆς καὶ θαλάττης, καὶ ὅσα τούτοις ἀδελφὰ, καὶ κατὰ φύσιν ἔχει τὴν γένεσιν· ὅτι δὲ ἐκφεύγει τὰ τοιαῦτα τὸν πολιτικὸν χαρακτῆρα, λαβὲ μοὶ πρὸς πίστιν τὸν Ἡρόδοτον, μᾶλλον δὲ τὸν σοφώτατον Πλάτωνα· πῶς γὰρ ἂν εἴη πολιτικὸν τό· ὁ ἥλιος[9] ἀπελαυνόμενος τὴν χειμερινὴν ὥραν, καὶ τὰ ἑξῆς, ὅσα ὁ τεχνικὸς παρατίθεται· ὁ δὲ ῥήτωρ τὰς αἰτίας τούτων πολυπραγμονῶν ἐκπέσοι τοῦ εἶναι πολιτικὸς,[10] οἷον, κίνησιν γῆς, ὑδάτων ἐπίκλυσιν[11] καὶ ὑπονόστησιν, σκηπτῶν φοράς, τὴν τοῦ παντὸς κύ-

---

7 Litt. δ'. est in Sicel.: Δεύτεραι δὲ μετ' ἐκεῖνα, καὶ ἁπλῶς ἢ ὅσα κατὰ φύσιν ἔστιν, οἷον τ. τ. π. περιφοράν. 8 Parr. add. Καὶ αὗται αἱ ἔννοιαι πολλαὶ παρὰ τῷ θεολόγῳ ἔν τε τῷ περὶ φιλοπτωχίας, καὶ ἐν τῇ μεταφράσει τοῦ Σολομῶντος καὶ ἐν τῷ· Χριστὸς γεννᾶται, ἡνίκα τὴν δημιουργίαν τοῦ Νοὸμ διηγεῖται· ἀλλὰ καὶ οἱ τὰς ἑξαμέρους γράψαντες μέγιστοι τῶν τοιούτων κανόνες, ὅ τε θεῖος Μωσῆς ἐν τῇ κοσμοποιΐᾳ καὶ ἅγιος Βασίλειος καὶ ὁ Χρυσόστομος. — Ὅσα μὲν συμβάλλονται εἰς ἤθους καὶ πόλεως διόρθωσιν, πολιτικά φησιν ὁ τεχνικὸς, ὡς θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται, ῥύθμισίς ἐστι τῶν ἠθικῶν εἰς εὐσέβειαν καὶ τῷ μὴ πολλοὺς θεοὺς ἡγεῖσθαι· ὅσα δὲ καὶ τὰς αἰτίας μόνας λέγουσι τῶν πραγμάτων, οὐ μὴν κατόρθωσις ἐξ αὐτῶν γίνεται ἤθους, ἀλλὰ μόνον γνῶσις, ταῦτα οὐ πολιτικὰ λέγονται, οἷον κινεῖται γὰρ, ἵν' οὕτως εἴπω, τὸ πᾶν περὶ τὸ ἀκίνητον, καὶ ἀλλαχοῦ, καὶ τούτων ἐπὶ πορρώτερω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι· ταῦτα γὰρ καὶ τὰ παραπλήσια οὐ τοῦ πολιτικοῦ λόγου εἰσὶν, ἀλλὰ φιλοσόφου. 9 Herod. II. 97. 10 Sicel. πολιτικά. 11 Parr. et Sicel. Ἐκ τῆς ἐπικλύσεως οὕτω γίνεται κίνησις τῆς γῆς πολλὰς ἐχούσης ῥωχμὰς καὶ διασφαγὰς, τὸ ὕδωρ εἰσδυόμενον τίκτει πνεῦμα, εἶτα τὸ πνεῦμα στενοχωρούμενον ποιεῖ τὴν κίνησιν δι' ἑτέρου τόπου, οὐχὶ ὅθεν τὸ ὕδωρ εἰσφορεῖται διαφορούμενον· τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ἄμπωτις· τῆς γὰρ ὑπονοστήσεως γινομένης πάλιν ὁμοίως τὸ πνεῦμα διαφορούμενον τὴν κίνησιν τῆς γῆς ἀπεργάζεται.

κλου περίοδον· τὰς γὰρ αἰτίας αὐτῶν ζητῶν σεμνὸν μὲν, οὐ μὴν Δημοσθενικὸν ποιήσει [12] τὸν λόγον.

ε. Τὴν δευτέραν ἔννοιαν εἰπὼν τῆς σεμνότητος μετακεχειρίσθαι τὸν Δημοσθένην ὥσπερ ἐπιδιορθούμενος ἐπιδιαιρεῖ καί φησιν, ὡς μετὰ μὲν τὰς ἐννοίας [13] ἡ αἰτίας ἡ δευτέρα ἔννοια τῆς σεμνότητος ἁρμόττει τοῖς φυσικοῖς καὶ φιλοσόφοις· ἄνευ δὲ αἰτίας τοῖς ῥήτορσιν, ὅταν κατὰ ἔκφρασιν ὅλως προφέρηται, ὥσπερ Ἀριστείδης σκηπτὸς ἦν καὶ τὰ ἑξῆς. Σημείωσαι, [14] πότε κα-

12 Sicel. ποιήσεις. 13 Par. 2. Mon. ὡς μετὰ μὲν τῆς αἰτίας, omisso τὰς ἐννοίας, quod recepi ex Par. 1., qui idem pro ὡς habet καί. 14 Extant haec inter sch. min. in Par. Σημείωσαι Mon. om. Sch. min. Οὐ μὴν καὶ πολιτικόν· ὥστε οὐδὲ τοῦτο ἁρμόττει τῷ ῥήτορι. Παρὰ τῷ Ἡροδότῳ· ἐν τῇ δευτέρᾳ ἱστορίᾳ. Κυκλοτερής· τὸν οὐρανὸν λέγει. Δεύτερον ἔφη· ὑπερβατόν· τὸ γὰρ ἑξῆς οὕτως· ἀὴρ δὲ δεύτερον ἔφυ, καὶ λεπτότητι δεύτερον. Ἐπικλύσει· φορᾷ ἢ ἀναστροφῇ. Οὐ μὴν πολιτικὸν ποιεῖ· ταῦτα μὲν γνῶσιν μόνον διδάσκουσι, φησὶν, οὐ μήν εἰσι πολιτικά. Ἑλλησποντίας· ὁ ἀπαρκτίας. Φύσει μέν· τῶν περὶ ψυχῆς καὶ τῶν ἀρετῶν καὶ τῶν ἀνθρωπίνων πραγμάτων. — Καὶ ὁ θεολόγος· ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς καὶ τὰ ἑξῆς, καί πάλιν· ἰδοὺ ἀὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ· ταῦτα γὰρ ἀφήγησίς ἐστι μετὰ ἐκφράσεώς τινος θείων πραγμάτων. Ἡ φύσις δὲ ἄτακτον· τοῦτο λέγει, ὅτι ὁ νόμος οὐ μεταβάλλεται, ἡ δὲ φύσις μεταβάλλεται· ἄλλο ποιῶ ἐγὼ, ἄλλο οὗτος. — Ἐν τῷ κατὰ Ἀριστογείτονος· καὶ μάλιστ' ὅτι πάρεστι νόμος, εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δ' ἀνθρώπων σοφῶν, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, πόλεως δὲ συνθήκη κοινὴ, καθ' ἣν πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει. Πέρας μέν· ἐν τῷ περὶ στεφάνου· ταῦτα πάντα λέγει κατὰ Ἀριστογείτονος. — Θεῖον πρᾶγμα ὁ θάνατος· θεωρεῖται δὲ ἐν τοῖς ἀνθρώποις καὶ ἀλλαχοῦ θερμὸς ὁ ζῆλος, πρᾷον τὸ πνεῦμα· τὸ γὰρ πνεῦμα θεῖόν ἐστι καὶ ὁ ζῆλος ἐπὶ ἀνθρώπων ὁρᾶται, καὶ ἔστι τοῦτο σεμνὴ ἔννοια, ἵνα λέγῃς οὕτω καθολικῶς, θερμὸς ὁ ζῆλος, πρᾷον τὸ πνεῦμα· εἰ δὲ εἴπῃς, ἅτινα ὑμεῖς μιμήσασθε, κατ-

τὰ φιλοσόφους τὰ τοιαῦτα ζητήματα, καὶ πότε κατὰ ῥήτορας, ὅτι, εἰ μὲν αἱ αἰτίαι ζητοῦνται, φιλόσοφά εἰσι θεωρήματα· εἰ δὲ ἐκφράζονται μόνον, ῥητορικά.

ς'. Εἰπὼν ὑποπιπτόντων φύσει, εἰ λέγει διατυπώσεις φεύγων τὰς αἰτίας, σεμνὸν ἅμα καὶ πολιτικὸν ποιήσει τὸν λόγον· καθὰ καὶ ὁ Ἀριστείδης [15] ἀντιλέγων τῷ Καλλιξένῳ πεποίηκεν· ἐκφράζει γὰρ τὸν χειμῶνα πρὸς ἀπολογίαν τῶν δέκα στρατηγῶν· τὴν γὰρ αἰτίαν ἀφεὶς αὐτὸν ἐξέφρασε τὸν χειμῶνα, τὸν κατ' ἐκεῖνο συμβάντα καιροῦ, εἰπὼν οὕτως· σκηπτὸς ἦν, ὦ Καλλίξενε, σκηπτὸς οὔτε λόγῳ ῥητὸς οὔτε ἔργῳ φορητός. δεῖ γὰρ μὴ πολυπραγμονεῖν ἐπὶ τῶν τοιούτων τὴν αἰτίαν, ὅπως σεμνὸν ἅμα καὶ πολιτικὸν τὸν λόγον ποιήσωμεν· ἡ δὲ αἰτία τῆς κατὰ τῶν στρατηγῶν ψήφου ἔστιν αὕτη, ὅτι τοὺς ἀναιρεθέντας ἐν τῷ πολέμῳ ἀτάφους κατέλιπον.

ζ'. Τὰ καθολικῶς, φησὶ, καὶ γενικῶς λεγόμενα σεμνὰς ποιεῖ τὰς ἐννοίας, καὶ μάλιστα ὅταν μὴ τελευτήσῃς ἐπὶ τὰ μερικά· προσλαβὼν γὰρ τὸ κατ' εἶδος ἄλλο τι ποιήσεις τὸν λόγον. περιβεβλημένος γὰρ ὁ τοιοῦτος, οὐ μὴν σεμνὸς γίνεται λόγος.

η'. Τετάρτην, φησὶν, ἱστορίαν ἔχουσιν αἱ περὶ ἀνθρωπίνων πραγμάτων κατὰ μόνας λεγόμεναι, οἷον τῆς ἐν Μαραθῶνι μάχης, τῆς ἐν Σαλαμῖνι. τὰ δὲ μυθικὰ ἑτέρου ἂν εἴη λόγου.

θ'. Ὅλως ἔνθα ἂν ἡ ἀφήγησις [16] προσλάβῃ τὴν

ἐρχῃ εἰς τὸ μερικόν. — Ἔτι δὲ πολιτικὸς λόγος καὶ οὐ πολιτικὸς, ἀλλὰ φιλόσοφος ταύτῃ διαφέρει, ὅτι ὁ μὲν πολιτικὸς ἀκροατὰς ἔχει, τουτέστιν ἐκκλησίαν ἢ βουλευτήριον ἢ δικαστὰς, ὁ δὲ φιλόσοφος οὐδὲν τοιοῦτον ἔχει, ἀλλὰ μόνον διδασκαλίαν τινὰ καὶ αἰτίαν τῶν δημιουργημάτων. 15 cfr. Rhet. Vol. IV. p. 737. 16 Ptrr. add.: Ἀφήγησίς ἐστι τὸ κατὰ μικρὸν τέμνειν τὰς ἐννοίας, ὡς τὸ, οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια. Τὸ οἶμαι γὰρ εἴτις τῆς ἐν λόγῳ δυνάμεως καὶ τὰ ἑξῆς, τὸ ἄγαν

ἀπόφασιν, σεμνὸν τὸν λόγον ποιεῖ· αὕτη γὰρ καθ' ἑαυτὴν λεγομένη μέθοδος εὑρίσκεται τῆς καθαρότητος, διὰ δὴ καὶ ἐν ταῖς ἄλλαις ἰδέαις ἐμπίπτουσα μετρίως πως ἐμφαίνει τὸ ἴδιον. ὅταν οὖν φροντίσωμεν τῆς διαρκοῦς σεμνότητος, ἀλλὰ μὴ ἄλλου τινὸς, οἷον πολιτικοῦ λόγου ἢ ποιητικοῦ κατὰ ἀπόφανσιν δεῖ προφέρειν, ὅπως μὴ ἐκπεσόντες τῆς καθολικῆς εἰς τοιάνδε ἢ τοιάνδε κατενεχθῶμεν· ἐπεὶ καὶ τὸ, εἴθ' ἥρωες ἦσαν εἴτε [17] θεοὶ, σεμνὸν ὂν, πλεῖον ἔχει τοῦ πολιτικοῦ καὶ πιθανοῦ διὰ τὴν ἐνδοίασιν, εἰ θέλεις ἐμμεῖναι τῇ διαρκεῖ σεμνότητι. [18]

ιά. Κυρίως [19] μὲν τὸ εὔζωνον κεῖται ἐπ' ἀνδρῶν τῶν

σεμνὸν τῆς ἐννοίας κατέβαλε διὰ τὸ μὴ δύξαι ἐν προκαταρκτικοῖς τοῦτο κατὰ λόγον πρῶτον ἐπιτηδεύειν, καὶ ἔστιν καὶ ἰδέα αὕτη τῆς πιθανότητος καὶ ἠθικῆς. 17 Par. 2. Mon. ἤ. Par. εἴτε. 18 Litt. ι. vide Vol. V. p. 483. v. 10—14. 19 Ven. litt. β'—ε. omissis: Λέγω δὲ τοῦτο, εἰ μὴ ἑκών τις διὰ τῶν εὐζώνων τε καὶ εὐτελῶν τινος ἀλληγορίη. Κυρίως μέν. Post litt. ι. sequitur in Par. Καὶ ὁ θεολόγος· θεωρία γὰρ ἦν τὸ φυτὸν, καὶ τὰ ἑξῆς, καὶ ὁ ὄφις, ταῦτα γὰρ ἀλληγορίας εἰσὶ, καὶ γὰρ ὁ ὄφις διάβολός ἐστι καὶ τὸ αὐτό σου τηρήσει κεφαλὴν καὶ τὰ ἑξῆς· κεφαλὴν δὲ λέγει τοῦ ὄφεως τὴν πρώτην καταβολὴν καὶ ἔννοιαν τῆς κακίας, τὴν τῷ νοῒ ἐμπίπτουσαν· πτέρναν δὲ τὴν πρᾶξιν τῆς ἁμαρτίας· φησὶν οὖν πρὸς τὸν διάβολον ὁ θεὸς, αὐτός σου συνθλάσει τὸν λογισμὸν τῆς κακίας τὸν πρῶτον καὶ σὺ ἐπιτηρήσεις αὐτὸν διὰ τοῦ τέλους τῆς πράξεως. Schol. min. Ἄλλο τι ποιεῖ· περιβολὴν δηλονότι, Πονηρὸν, ὦ Ἀθηναῖοι· τὸ γένος μέν ἐστι τὸ πονηρὸν, τὸ δὲ εἶδος τὸ κίναδος [Cod. κίναιδος. pro cor. p. 307.]. Ἕτερον γάρ τι· περιβολὴν ἐποίησεν. Ὁ τε πολιτικός· τὸ ὑπερβατὸν ὅ τε πολιτικὸς καὶ ὁ περιβεβλημένος λόγος γίνεται. ib. λόγος· γίνεται δηλονότι. Αὐτὸ τοῦτο εἰπεῖν· ἄλλο τὸ πονηρὸν, καὶ γὰρ γένος ἐστὶ, τὸ συκοφάντης δὲ εἶδος. Τετάρτην· καὶ αὕτη ἡ ἔννοια πολλὴ παρὰ τῷ θεολόγῳ ἐν τῷ συντακτηρίῳ, ὅπου ταῖς οἰκείαις πράξεσιν ὁ μέγας ἐναβρύνεται. Ἀνθρωπίνων· ἵνα μὴ ὅσι μεμιγμέναι καὶ θεῖαι ἔννοιαι, ἀλλὰ μόνον ἀνθρώπιναι. Ἴακχος· ὁ Διόνυσος. Ἑτέρου λόγου· τῆς γλυκύτητος δηλονότι. Κατὰ

μὴ πολλὰ σκεύη ἐπιφερομένων, μηδὲ πολλοὺς ἑπομένους ἐχόντων, ὡς καὶ ὁ συγγραφεύς φησιν ἀνδρὶ εὐζώνῳ· καὶ αὐτὸς δὲ τὸ εὐτελὲς ἐπενεγκὼν ἐπεξηγεῖται τὴν λέξιν· εὐτελεῖς δὲ ἀλληγορίαι εἰσὶν, οἷον Ἀριστοφάνης κ. τ. λ. Vol. V. p. 483. v. 17—22.

ιβ'. Ὅταν διαρκοῖεν, φησὶ, μέχρι τέλους αἱ ἀλληγορίαι, [20] καὶ μὴ εἰς τὸ εὐτελὲς καὶ τὸ εὔζωνον κατενεχθῶσι, ποιοῦσι τὸν λόγον σεμνὸν, ὡς ἐν τῷ· [21] „ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων φέρεται·“ καὶ ὅλως αἱ ἀλληγορίαι σεμνὸν ποιοῦσι τὸν λόγον, εἰ μήτις αὐτὰς εἰς τὸ εὐτελὲς κατενέγκοι καὶ εὔζωνον· τότε γὰρ μεταπίπτει εἰς τὸ ἐναντίον καὶ γίνεται σχεδὸν εὐτελής.

ιγ'. Διὰ τοῦ ἐπαγαγεῖν τὸ εὐτελῶν ἐδήλωσεν, ὅτι καὶ τὸ εὐζώνων, ταὐτόν ἐστιν· ἢ εὐζώνων μὲν, συντόμων καὶ γοργῶν, εὐτελῶν δὲ, τῶν πᾶσι κοινῶν· ἅπερ κατὰ τὴν συνήθειαν τῶν πολλῶν προάγεται, μηδεμίαν ἐναλλαγὴν

ἀπόφασιν· κατὰ βεβαίωσιν. Εἰδότας· ὡς πεπεισμένους καὶ μετὰ φρονήματος. Μετ' ἀξιώματος· μετὰ βεβαιώσεως καὶ παῤῥησίας. Τῆς διαρκοῦς· τῆς καθαρᾶς καὶ καθ' ἑαυτὴν, καὶ μὴ συμπλεκομένης ἑτέραις, ἀλλ' ἀρκούσης πρὸς τὸν λόγον. Εἴτε ἥρωες· καὶ ὁ θεολόγος· εἴτε νοερὰ πνεύματα καὶ τὰ ἑξῆς· προσποιεῖται γὰρ ἄγνοιαν ὡς ἀληθῶς. 20 Mon. κατηγορίαι. Schol. min. Αὗται οὐχὶ βούλονται καὶ ἐμφαίνουσιν, ἀλλὰ τὴν βούλησιν κρύπτουσαι τὸ φαινόμενον δεικνύουσιν ἕτερον. Ὅτε διαρκοῖεν· ὅτε πληροῖεν τὸν λόγον. Διὰ τὸν ἥλιον λέγει ἀλληγορικῶς. Εὐζώνων· συντόμων, μικρῶν. Ἄλλης δέ τινος· τῆς παιούσης εὐτέλειαν, ἥτις ἐναντία ἐστὶ τῷ μεγέθει. Ἐννοίας· ἀφελείας. Τὰ δι' ἐμφάσεων· ἑτέραν πάλιν διαίρεσιν ἀλληγοριῶν διεξιὼν ταῦτά φησι. Τελεστικῶς· ἑορταστικῶς, πανηγυρικῶς. Ἀνέπτυξεν· ὁ Πλάτων δηλονότι. Φύσει σεμνῶν· τῶν τοῖς φιλοσόφοις ἁρμοττουσῶν· λέγω δὲ τῶν θείων. Ἑτέρου δέ τινος· μεθόδου δεινότητος. 21 Plat. Phaedr. p. 246. e.

ἔχοντα· διορθοῦνται δὲ τὴν εὐτέλειαν κ. τ. λ. Vol. V. p. 483. v. 24—p. 484. v. 3.

ιδ'. Ὥστε καὶ ἀποσιώπησις ἔστιν ὅτε καὶ μέθοδος εὑρίσκεται τῆς σεμνότητος, οἷον, οἶδα μὲν, ἀλλ' οὐκ ἐθέλω λέγειν, διὰ τὸ τῶν πραγμάτων μέγεθος· ἐνδεικνύμεθα γὰρ μέγεθος καὶ σεμνότητα ἐννοίας.

ιέ. Ἀνέπτυξε [22] τὴν μέθοδον, ἀντὶ τοῦ ἐσαφήνισε καὶ ἐξηγήσατο· καὶ μῦθον ἀναπτύξαι φαμὲν τὸ διασαφῆσαι τὴν κεκρυμμένην αὐτοῦ διάνοιαν.

Ἡ αὐξήσεως [23] τοῦ ὑπονοουμένου, ὡς παρὰ τῷ ῥήτορι, „οἱ δὲ [24] συνειπόντες ὁτουδήποτε ἕνεκεν, (ἐῶ γὰρ τοῦτό γε,)“ ἢ ἀτύπου ἐπικρύψεως, οἷον, „αὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν ἀρχόμενος τοῦ λόγου.“ [25]

ιή. Ὅλως εἰ τῇ φυσικῇ ἐννοίᾳ μὴ προσενέγκαις διαρκῇ [26] μέθοδον σεμνότητος, ἀφανίζεις τὴν διάνοιαν, ἤγουν [27] τὴν ἔννοιαν, ἄλλο γὰρ εἶναί τι δόξει, τῆς μεθ-

---

22 Litt. ιέ. est etiam in Sicel. sine nota auctoris. 23 Ven. litt. ιβ'—ιέ. omissis: Ἑτέρου δέ τινος ἐργαστικαὶ, ἢ αὐξήσεως — — ἀρχόμενος τοῦ λόγου. tum transit ad litt. κ'. deinde ad litt. κδ'. 24 pro cor. p. 231. 25 pro cor. init. — Litt. ιζ'. vide Vol. V. p. 484. v. 12. 13. 26 Mon. et Par. 1. διαρκεῖ. Par. 2. διαρκῇ. 27 ἤγουν τὴν ἔννοιαν — δόξει Par. 1. om. In Par. sub litt. ιζ'. legitur: Τῷ γὰρ εἰπεῖν, τί ἐστι τὸ ὄντως ὂν καὶ ἑρμηνεῦσαι αὐτὸ ἀνέπτυξε, τουτέστιν ἡρμήνευσεν, ὥσπερ καὶ ὁ θεολόγος φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως ἡρμήνευσεν αὐτὸ, ταῦτα γὰρ καθαρᾶς σεμνότητός εἰσιν, οὐχὶ πολιτικοῦ λόγου. Ibid. sine litterae nota: Τὸ ὄντως ὄν· καὶ ὁ θεολόγος, ὑπὲρ ὧν καὶ ὑφ' ὧν πολεμούμεθα· ἔμφασις γάρ ἐστιν, ὑφ' ὧν φθονοῦμεν καὶ ὑφ' ὧν ἀγαπῶμεν· τοῦ δὲ Πλάτωνος τὸ ὄντως ὄν, τὸ κατὰ ἀλήθειαν ἀγαθὸν καὶ μὴ διαφθειρόμενον δηλοῖ, ὅπερ ἐστὶν ὁ θεός· ἐμφαίνει γὰρ διὰ τοῦτο τὸ θεῖον· καὶ ἀποσιωπήσεις τῶν ἐμφάσεών εἰσιν, οἷον, ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς, καὶ τὸ ἕξῃς σιωπήσομαι· τουτέστι τὸ δαιμόνιον ἔχειν· ἐνέφηνε γὰρ αὐτὸ διὰ τῆς ἀποσιωπήσεως. — Περὶ γὰρ τῆς πρωτίστης αἰτίας ὁ

ὁδου βιασαμένης τῆς φύσεως, ἐπεὶ καὶ τὸ „εἴτε [28] ἥρωες ἦσαν, εἴτε θεοί" σεμνὸν ὄν, οὐ μετέπεσεν εἰς τὸ ἠθικὸν διὰ τὸν ἐνδοιασμόν· πολλῆς οὖν παραφυλακῆς [29] δεόμεθα καὶ εἰς τὰς κατὰ φύσιν σεμνὰς ἐννοίας καὶ τὰς μεθόδους· ἥδε μὲν πολλάκις ἡ μέθοδος ἁρμόζει τῇ κατὰ φύσιν ἐννοίᾳ, ἥδε δὲ τῇ δευτέρᾳ· καὶ δῆλον ἐντεῦθεν, ὡς καὶ ἡ τάξις τῶν ἐννοιῶν, καθὰ δεδήλωται, γέγονε κατὰ φύσιν. καὶ πρώτην μὲν ἡ ἐρρίμμένη περὶ τὴν φύσιν τάξιν ἐπέχει, ὥσπερ καὶ ἡ παντελῶς ἐξασθενοῦσα τὴν ἐσχάτην· μέσαι δὲ τούτων, ὧν ἡ φύσις οὐδὲ πρὸς τὸ ἔσχατον νένευκεν, οὐδὲ πάλιν ἐφικνεῖται τῶν ἄκρων. [30]

κ'. Στομφάζειν ἐστὶ τὸ κομπάζειν καὶ ἀλαζονεύεσθαι, [31] καὶ τὸ στομφῶδες τὸ σκληρόν· τὸ οὖν στομφάζειν τραχὺ [32] ὂν κατὰ τὴν σύνθεσιν τῶν στοιχείων καὶ αὐτῇ τῇ [33] προφορᾷ διογκοῖ τὸ στόμα.

κά. Τὸ στόμα διανοίγειν καὶ ἧχον ἀποτελεῖν ἀπό τε τοῦ στόματος καὶ τοῦ ὄμφακος· φησὶ δὲ Λογγῖνος ἐν κά τῶν φιλολόγων ὁμιλιῶν [34] περὶ λέξεως στομφώδους· τὸ δὲ

Πλάτων φησὶ λέγων, τὸ μέν, ὅτι ἐστὶ πάντας ὁμολογεῖν, τὸ δὲ τί ἐστιν, εὑρεῖν τε καὶ φράσαι τῶν χαλεπωτάτων ὑπάρχειν. τὰ δὲ ὄντα διαιρῶν εἰς δύο, νοητά τε καὶ αἰσθητά, τὰ μὲν νοητὰ ὄντως ὄντα καλεῖ, ὡς αἰωνίαν τὴν οὐσίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν ἔχοντα· τὰ δέ γε αἰσθητὰ τὰ γινόμενα ἀεὶ, ὄντα δὲ οὐδέποτε, ὡς ἔγχρονον τήν τε οὐσίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν ἔχοντα. Ultima περὶ γὰρ τῆς πρωτ. αἰτίας κ. τ. λ. sunt etiam in Ven. 28 c. Aristocr. p. 615. 29 Mon. παραφυλιτικῆς. 30 Litt. ιθ'., quam Mon. om. vide Vol. V. p. 484. v. 14—19. 31 Eadem repetuntur in Schol. min., in quibus sequitur: στομφὸν γὰρ τὸ σκληρὸν καλοῦσι. ib. στομφάζειν· αἱμωδιᾶν. Ἐπιτηδεύουσι γάρ τινες τὸ λέγειν σκληροὺς λόγους. Pro στομφῶδες Ven. στοφῶδες. 32 Parr. Ven. τραχύ. Mon. ταχύ. 33 τῇ Mon. om. est in Ven. et Parr. 34 Videndus de hoc libro Ruhnk. Diss. de vita et scriptis Longini p. LXXXX. ed. Weisk., ubi scholium nostrum a Bastio

στόμφαξ Ἀριστοφάνης ἐν Νεφέλαις ὡς συνθέτῳ χρῆται τῇ λέξει ἀπό τε τοῦ στόματος καὶ τοῦ [35] ὄμφακος, ἵνα λέγῃ, ὄμφακα ἔχων τὸ στόμα, τουτέστιν ἄχρηστον καὶ ἀνωφελές· εἴρηται δὲ ἐπὶ Αἰσχύλου·

ψόφου πλέων, [36] ἀξύστατον, [37] στόμφακα, κρημνοποιόν.

ὡς τῶν ῥημάτων τοῦ Αἰσχύλου φαντασίαν μὲν ἐχόντων, μηδεμίαν δὲ σύστασιν μηδὲ κρότησιν· λέγει δὲ ταῦτα ὁ πρεσβύτης Στρεψιάδης, ὡς τοῦ παιδὸς αὐτοῦ Φειδιππίδου [38] σκώπτοντος Αἰσχύλον.

κβ'. Τὸν ἦχον αὐτὸν κυρίως σημαίνειν βουλόμενος ἐμφαντικῇ ἐχρήσατο λέξει, τῷ στομφάζειν, ὥσπερ καὶ ὁ ποιητὴς τὸν ἦχον τῶν τόξων ἐξ αὐτῆς σχεδὸν ὑπεσήμανε τῆς λέξεως· οἷον λίγξε βιός· [39] οὕτως οὖν τῇ πλατείᾳ δεῖ χρῆσθαι λέξει· καὶ ὅπερ ἐπιτηδεύουσί τινες διογκοῦντες τὸ στόμα, τὸ δὲ λεγόμενον, καὶ λαρυγγίζοντες, τοῦτο σὺ ποίει τῇ φύσει τῶν λέξεων αὐτῶν.

κγ'. Οἰωνιστικὴν τὴν ὀρνιθοσκοπικήν· ἰστέον δέ, ὅτι φησὶν ὁ Πλάτων οἰονοητικὴν [40] αὐτὴν πρότερον κεκλῆσθαι [41] ἐν τῷ Φαίδρῳ· καὶ γνωστέον, ὡς εἰσι πολλὰ τῶν στοιχείων, ἃ διαγκοῖ τὸ στόμα καὶ πλατύνει τὴν ἐκφοράν, ὡς τὰ φωνήεντα, πλὴν τοῦ ι καὶ ε· τούτων δ' αὖ πάλιν ἐξαιρέτως τὸ α καὶ τὸ ω σεμνὸν ποιοῦσι τὸν λόγον. ἀλλὰ περὶ μὲν στοιχείου ἄριστα παραδίδωσιν ὁ Διονύσιος ἐν τῷ περὶ συνθήκης ὀνομάτων συγγράμματι· λέγει γάρ, τί συμβέβηκεν ἑκάστῳ τῶν στοιχείων, καὶ ποίαν μὲν δύναμιν ἔχει τὰ φωνήεντα, ποίαν δὲ τὰ σύμφωνα, καὶ πάλιν αὖ τὰ ἡμίφωνα· πλὴν ἵνα τι καὶ [42] θαυμάσωμεν [43]

---

secum communicatum affert editor. 35 τοῦ Par. 1983. om. 36 Par. 1983. πλέον. 37 Parr. 2. Mon. ἀξύστατον. Par. 1. ἄξυστον. Mon. στόμφαξ. Parr. στόμφακα. Aristoph. Nub. 1371. 38 Codd. etiam Par. 1983. Φιλίππου. 39. Il. Δ. 125. 40 Codd. οἰωνιστικήν, correxi ex Phaedr. p. 241. d. 41 Par. κεχρῆσθαι. 42 καὶ Mon. om. 43 Par. θαυμάσω.

τὸν ἄνδρα τῆς δεξιότητος, αὐτὴν παραθώμεθα τὴν λέξιν· [44] „ἀρχαὶ μὲν οὖν," φησὶν, „εἰσὶν τῆς ἀνθρωπίνης φωνῆς καὶ ἐνάρθρου αἱ [45] μηκέτι δεχόμεναι διαίρεσιν, ἃ καλοῦμεν στοιχεῖα καὶ γράμματα· γράμματα μὲν, ὅτι γραμμαῖς τισι σημαίνεται· στοιχεῖα δὲ, ὅτι πᾶσα φωνὴ τὴν γένεσιν ἐκ τούτων λαμβάνει πρωτόν, καὶ τὴν διάλυσιν εἰς ταῦτα ποιεῖται τελευταῖον. τῶν δὴ στοιχείων τε καὶ γραμμάτων οὐ μία πάντων φύσις, διαφοραὶ [46] δὲ αὐτῶν, πρώτη μὲν, ὡς Ἀριστόξενος ὁ μουσικὸς ἀποφαίνεται, καθ' ἣν τὰ μὲν φωνὰς ἀποτελεῖ, τὰ δὲ ψόφους· φωνὰς μὲν τὰ λεγόμενα φωνήεντα, ψόφους δὲ τὰ λοιπὰ πάντα. δευτέρα δὲ, καθ' ἣν τῶν μὴ φωνηέντων, ἃ μὲν καθ' ἑαυτὰ ψόφους ὁποιουσδήποτέ τινας ἀποτελεῖν πέφυκεν, ῥοῖζον ἢ μυγμὸν ἢ συριγμὸν, [47] ἢ τοιούτων τινῶν ἄλλων ἤχων δηλωτικούς· ἃ δέ ἐστιν ἄμοιρα πάσης φωνῆς καὶ ψόφου καὶ οὐχ οἷά τε ἠχεῖσθαι καθ' ἑαυτά· διὸ δὴ ταῦτα μὲν ἄφωνά τινες ἐκάλεσαν, θάτερα δὲ ἡμίφωνα· οἱ δὲ τριχῇ νείμαντές τε τὰς πρώτας καὶ στοιχειώδεις τῆς φωνῆς δυνάμεις φωνήεντα μὲν ἐκάλεσαν, ὅσα καὶ καθ' ἑαυτὰ ἐκφωνεῖται καὶ μεθ' ἑτέρων, καὶ ἔστιν αὐτοτελῆ· ἡμίφωνα δὲ, ὅσα μετὰ μὲν τῶν φωνηέντων αὐτὰ ἑαυτῶν κρεῖττον ἐκφέρεται, καθ' ἑαυτὰ δὲ χεῖρόν τε καὶ οὐκ αὐτοτελῶς· ἄφωνα δὲ, ὅσα οὔτε τὰς τελείας, οὔτε τὰς ἡμιτελεῖς φωνὰς ἔχει καθ' αὑτὰ, μεθ' ἑτέρων δὲ ἐκφωνεῖται. Ἀριθμὸς αὐτῶν ὅστις ἐστὶν, οὐ ῥᾴδιον εἰπεῖν ἀκριβῶς, ἐπεὶ πολλοῖς παρέσχε καὶ τοῖς πρὸ ἡμῶν ἀπορίαν τὸ πρᾶγμα· οἱ μὲν γὰρ ᾠήθησαν εἶναι ιγ'. πάντα τῆς φωνῆς στοιχεῖα, κατεσκευάσθαι δὲ τὰ λοιπὰ ἐκ τούτων· οἱ δὲ καὶ τῶν κδ'., οἷς χρώμεθα νῦν, πλείω. ἡ μὲν οὖν ὑπὲρ τούτων θεωρία γραμματικῆς τε καὶ μετρικῆς, εἰ δὲ βούλεταί τις, καὶ φι-

44 p. 154—176. Schaef. 45. αἱ ex Dion. recepi. 46 Mon. διάφοροι. Dion. διαφοραὶ. 47 Mon. σιγμόν. Dion. συριγμόν.

Ἀκούω, ἀκούεις· ἀκούει· ἀκούομεν καὶ ἀκούομεν· ἀκούετε καὶ ἀκούετε· ἀκούουσι καὶ ἀκούουσιν· ἤκουον, ἤκουες, ἤκουε· ἠκούομεν καὶ ἤκουομεν· ἠκούετε καὶ ἤκουετε· ἤκουον καὶ ἠκούοσαν· ἤκουσα· ἀκήκοα· ἀκούσομαι· ἀκουστέον· ἀκουστέα· ἀκουστέον· ἀκουστός· ἀκουστή· ἀκουστόν· ἀκουστικός· ἀκουστική· ἀκουστικόν· ἀκουστικῶς· ἀκουστικώτερος· ἀκουστικώτατος· ἀκουστικότης· ἀκουστικότητος· ἀκουστικότητι· ἀκουστικότητα· ἀκουστικότητες· ἀκουστικοτήτων· ἀκουστικοτήτων· ἀκουστικότητας

χος· ἔσχατον δὲ πάντων τὸ ι περὶ τοὺς ὀδόντας τε καὶ ἡ κροῦσις τοῦ πνεύματος γίνεται, μικρὸν ἀνοιγομένου τοῦ στόματος, καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλῶν τὸν ἦχον. τῶν δὲ βραχέων οὐδέτερον μὲν εὔμορφον, [51] ἧττον δὲ δυσειδὲς τὸ ε, διίστησι γὰρ τὸ στόμα κρεῖττον θατέρου, καὶ τὴν πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν μᾶλλον. Φωνηέντων μὲν οὖν γραμμάτων αὕτη φύσις· ἡμιφώνων δὲ τοιάδε· ὀκτὼ τὸν ἀριθμὸν ὄντων αὐτῶν, πέντε μέν εἰσιν ἁπλᾶ, τό τε λ καὶ τὸ μ καὶ τὸ ν καὶ τὸ ρ καὶ τὸ σ· διπλᾶ δὲ τρία· τὸ ζ καὶ τὸ ξ καὶ ψ· διπλᾶ δὲ λέγουσιν αὐτὰ ἤτοι διὰ τὸ σύνθετα [52] αὐτὰ εἶναι, τὸ μὲν ζ, διὰ τοῦ δ καὶ τοῦ σ, τὸ ξ διὰ τοῦ κ καὶ τοῦ σ, τὸ δὲ ψ διὰ τοῦ π καὶ σ, συνεφθαρμένων ἀλλήλοις ἰδίαν φωνὴν λαμβάνοντα, ἢ διὰ τὸ χώραν ἐπέχειν δυοῖν γραμμάτων, ἐν ταῖς συλλαβαῖς παραλαμβανόμενον ἕκαστον τούτων· κρείττω μέν ἐστι τὰ διπλᾶ τῶν ἁπλῶν, ἐπειδὴ μείζονά ἐστι τῶν ἑτέρων, καὶ μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις· ἧττον δὲ τὰ ἁπλᾶ διὰ τὸ εἰς βαρυτέρους τόπους συνάγεσθαι τὸν ἦχον· φωνεῖται δ' αὐτῶν ἕκαστον τοιόνδε τινὰ τρόπον, τὸ μὲν λ τῆς γλώττης πρὸς τὸν οὐρανὸν ἱσταμένης, καὶ τῆς ἀρτηρίας συνηχούσης, τὸ δὲ μ, τοῦ μὲν στόματος τοῖς χείλεσι πιεσθέντος, τοῦ δὲ πνεύματος διὰ τῶν ῥωθώνων μεριζομένου, τὸ δὲ ω τῆς γλώττης τὴν φορὰν τοῦ πνεύματος ἀποκλειούσης, καὶ μεταφερούσης ἐπὶ τοὺς ῥώθωνας τὸν ἦχον· τὸ δὲ ρ τῆς γλώττης ἄκρως ἀπορριπτιζούσης τὸ πνεῦμα καὶ πρὸς τὸν οὐρανὸν ἐγγὺς τῶν ὀδόντων ἀνισταμένης· τὸ δὲ σ τῆς μὲν γλώττης προσαγομένης ἄνω πρὸς τὸν οὐρανὸν ὅλης, τοῖ δὲ πνεύματος διὰ μέσων αὐτῶν φερομένου καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ στενὸν ἐξωθοῦντος τὸ σύριγμα· τρία δὲ τὰ λοιπὰ ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον

51 Dion. εὔηχον et δύσηχες pro δυσειδές. 52 Mon. Par. 2. σύνθετον αὐτόν.

τῶν ἡμιφώνων ἐξ ἑνὸς μὲν τῶν ἡμιφώνων τοῦ σ, τριῶν δὲ ἀφώνων, τοῦ τε δ καὶ τοῦ κ καὶ π. Οὗτοι σχηματισμοὶ γραμμάτων ἡμιφώνων· δίναται δὲ οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα·[53] ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ καὶ ἔστι τῶν ἡμιφώνων γλυκύτατον· τραχύνει δὲ τὸ ρ, καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον· μέσως δέ πως διατίθησι τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα, τὸ μ καὶ τὸ ν κερατοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους· ἄχαρι δὲ καὶ ἀειδὲς τὸ σ καὶ πλεονάσαν σφόδρα λυπεῖ· θηριώδους γὰρ καὶ ἀλόγου μᾶλλον ἢ λογικῆς[54] ἐφάπτεσθαι φωνῆς δοκεῖ ὁ συριγμός· τῶν γοῦν παλαιῶν τινες σπανίως ἐχρῶντο αὐτῷ καὶ πεφυλαγμένως· εἰσὶ δὲ οἳ[55] καὶ ἀσίγμους ὅλας αὐδὰς ἐποιοῦντο. τριῶν δὲ τῶν ἄλλων γραμμάτων, ἃ διπλᾶ καλεῖται, τὸ ζ μᾶλλον ἡδύνει τὴν ἀκοὴν τῶν ἑτέρων, τὸ μὲν ξ διὰ τοῦ κ, καὶ τὸ ψ διὰ τοῦ π συριγμὸν ἀποδίδωσιν, ψιλῶν ὄντων ἀμφοτέρων· τοῦτο δὲ ἡσυχῇ τῷ πνεύματι δασύνεται, καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον. καὶ περὶ μὲν τῶν ἡμιφώνων τοσαῦτα·[56] τῶν δὲ καλουμένων ἀφώνων ἐννέα ὄντων, τρία μέν εἰσι ψιλά, τρία δὲ δασέα, τρία δὲ μεταξὺ τούτων· ψιλὰ μὲν τὸ κ καὶ τὸ π καὶ τὸ τ· δασέα δὲ τὸ θ καὶ τὸ φ καὶ τὸ χ· κοινὰ δὲ ἀμφοῖν τὰ β καὶ τὸ γ καὶ τὸ δ· φωνεῖται δὲ αὐτῶν ἕκαστον τρόπον τόνδε· τρία μὲν ἀπὸ τῶν χειλῶν ἄκρων, ὅταν τοῦ στόματος πιεσθέντος τὸ προβαλλόμενον ἐκ τῆς ἀρτηρίας πνεῦμα λύσῃ τὸν θεσμὸν[57] αὐτοῦ, καὶ ψιλῶν μὲν αὐτῶν ἐστι τὸ π, δασὺ δὲ τὸ φ, μέσον δὲ ἀμφοῖν τὸ β· τοῦ μὲν γὰρ ψιλώτερόν[58] ἐστι, τοῦ δὲ δασύτερον. μία μὲν αὕτη συζυγία τριῶν ἀφώνων γραμμάτων ὁμοίῳ σχήματι λεγομένων· ψιλότητι δὲ καὶ δασύ-

---

53 Mon. ἁπάντων. 54 Par. 2. λέξεως. 55 Mon. εἰ καὶ ἀσείγμους. 56 τοσαῦτα Mon. Par. 2. om., est in Par. 1. 57 Dion. δεσμόν. Mon. θεσμόν. 58 Mon. ψιλότερον.

δασύτητι διαφερόντων· τρία δὲ ἄκρα ἄλλα λέγεται, τῆς γλώττης ἄκρῳ τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεώρους ὀδόντας· ἔπειτα ὑπὸ τοῦ πνεύματος ἀπορριπιζομένου καὶ τὴν διέξοδον κάτω περὶ τοὺς [59] ὀδόντας ἀποδιδούσης· διαλλάττει δὲ ταῦτα δασύτητι καὶ ψιλότητι· ψιλῶν μὲν γὰρ αὐτῶν ἐστι τὸ τ· δασὺ δὲ τό θ, μέσον δὲ καὶ ἐπίκοινον τὸ δ· αὕτη δευτέρα συζυγία τριῶν γραμμάτων ἀφώνων, τρία δὲ τὰ λοιπὰ τῶν ἀφώνων λέγεται μὲν τῆς γλώττης ἀνισταμένης πρὸς τὸν οὐρανὸν ἐγγὺς τοῦ φάρυγγος καὶ τῆς ἀρτηρίας ὑπηχούσης τῷ πνεύματι, οὐδὲν δὲ οὐδὲ ταῦτα διαφέροντα τῷ σχήματι ἀλλήλων, πλὴν ὅτι τὸ μὲν κ ψιλῶς λέγεται, τὸ δὲ χ δασέως, τὸ δὲ γ μετρίως, καὶ μεταξὺ ἀμφοῖν τούτοιν· κράτιστα μὲν οὖν ἐστιν, ὅσα τῷ πνεύματι πολλῷ λέγεται, δεύτερα δὲ ὅσα μέσα, κάκιστα δὲ ὅσα ψιλῶς· ταῦτα μὲν γὰρ τὴν αὐτῶν δύναμιν ἔχει· τὰ δὲ δασέα καὶ τὴν τοῦ πνεύματος προσθήκην, ὥστ᾽ ἐγγύς που τελειότερα εἶναι ἐκεῖνα· καὶ ταῦτα μὲν ὁ Διονύσιος, οἷς προσέχων οὐκ ἂν διαμάρτοις τοῦ προσήκοντος· εἰ γὰρ σεμνὸν ποιεῖν ἐθέλοις τὸν λόγον, ἐκλεξάμενος τὰ μακρὰ καὶ ὅσα τεταγμένον λαμβάνει καὶ διηνεκῆ τὸν αὐτὸν τοῦ πνεύματος λάμβανε, φεῦγε δὲ τὰ βραχέως ἐξ ἀποκοπῆς τε λεγόμενα καὶ μιᾷ πληγῇ πνεύματος καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης ἐκφερόμενα, τὰ γὰρ μακρὰ τῶν φωνηέντων τῷ σεμνῷ μᾶλλον ἁρμόττει, ἅτε μηκυνόμενα κατὰ τὴν ἐκφορὰν καὶ πολὺν ἠχοῦντα χρόνον· ἀνοίκεια δὲ τὰ βραχέως λεγόμενα καὶ σπανίζοντα τὸν ἦχον· ἀλλ᾽ οὐχ ἁπλῶς οὔτε τὰ μακρὰ δεῖ λαμβάνειν, ἀλλὰ τὰ κατὰ τὴν ἐκφορὰν διογκοῦντα τὸ στόμα· καὶ ὅσα λέγεται τοῦ στόματος ἐπὶ πλεῖστον ἀνοιγομένου καὶ τοῦ πνεύματος ἄνω φερομένου [60] πρὸς τὸν οὐρανόν· ἢ ὅσα περιστέλ-

59 τοὺς Mon. Par. 2. om., est in Par. 1. 60 Par. 1. ἀναφερομένου.

λει [61] τὰ χείλη καὶ τὸ πνεῦμα ποιεῖ περὶ [62] τὸ ἀκροστόμιον. ὥστε δεῖ μάλιστα χρῆσθαι ταῖς λέξεσιν, ὅσαι πλεονάζουσι τῷ τε α, καὶ τῷ ω, ὅθεν καὶ ὁ σοφώτατος Πλάτων φησὶ τὴν οἰωνιστικὴν ὀνομάσαι τινὰς ᾠωνιστικήν, [63] ἀποσεμνύνοντος τὸ ω· ἐκ γὰρ τοῦ στοχάζεσθαι τὸ μέλλον ἐλέχθη οἰονοϊστικὴ [64] καὶ παρῆκται ἐκ τοῦ οἶον, τοῦτο γὰρ στοχαστικόν· οἱ δὲ σεμνὴν βουλόμενοι ποιῆσαι τὴν λέξιν ἔτρεψαν τὸ ο εἰς τὸ ω. καὶ ταῦτα μετρίως πως ἰσομοιροῦντος τοῦ στοιχείου κατὰ τὸν ἦχον τῆς φωνῆς, πλατύνει δὲ μάλιστα τὸ α, καὶ ὀγκοῖ τὸ στόμα κατὰ τὴν ἐκφοράν· [65]

κδ'. Ἐν γὰρ Συρακουσίαις [1] ἢ ἀδωνιαζούσαις [2] δύο γυναικῶν πολλὰ πρὸς ἀλλήλας λεγομένων δωριστὶ καὶ πολλῷ [3] τῷ α χρωμένων οἷον·

Θῦσαι [4] θᾶσαι, Πραξινόα, θᾶσαι φίλα.

καὶ

Γραιᾶν [5] ἀποτίλματα πηρᾶν,

καὶ,

Ἦλθε φέρων ἄλας ἄμμιν ἀνὴρ [6] τρισκαιδεκάπηχυς·

ἔφη τις ἀκούσας αὐτῶν, ὡς πλατειάσδουσαι [7] ἅπαντα,

---

61 Mon. περιστέλλεται. Parr. περιστέλλει. 62 Par. 2. πρός. 63 Mon. οἰωνιστικάς. 64 Codd. οἰωνιστικὴ, correxi ex Phaedr. p. 244. d. 65 Sequitur in Par. Τραγικοὶ ἐκαλοῦντο οἱ ποιοῦντες λόγους θρηνητικοὺς καὶ ἀναγινώσκοντες αὐτοὺς κατὰ πάντα τὰ πάθη τῶν ἀκουόντων, ὥσπερ ἔλεγον· καὶ κωμικοὶ οἳ χαρᾶς καὶ εὐφροσύνης ποιήματα λέγοντες, κῶμος γάρ ἐστιν ἡ μέθη, καὶ ἐκ ταύτης τίκτεται ἡδονή.

1 Mon. et Parr. Συρακούσαις. 2 Parr. ἀδωνιζούσαις. Mon. ἡδωνιζούσαις. Ven. praemittit: Ὁ γὰρ Θεόκριτος ἀχθόμενόν τινα πεποίηκε δωριαζούσαις γυναιξίν. 3 Mon. πολλά. Parr. πολλῷ. 4 Mon. alterum θᾶσαι om. Ven. θέασαι Πραξ. θέασαι. Id. XV. 65. 5 ib. 19. 6 Mon. ὧν ἦν. Par. 2. ἄμμην ὧν ἦν. 7 Mon. πλατειάσουσαι. Par. 1. Ven. πλατιάζουσαι. omnes ἕποντάι pro ἅπαντα. in Par. 2. locus hic evanuit.

ὅ ἐστιν πλατέως λαλοῦσαι· καὶ τῶν κωμικῶν τις κ. τ. λ.
Vol. V. p. 485. v. 2—7.

κέ. Εἰδύλλιόν ἐστι Θεοκρίτου, ὃ ἐπιγέγραπται Συρακόσιαι ἢ ἀδωνιάζουσαι, ἐν ᾧ τινα εἰσάγει δυσχεραίνοντα πρὸς τὰς δωριζούσας γυναῖκας· τὰ δὲ ἔπη·

Παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλουσαι. [8]

εἶτα ἐπιφέρει ὡς πρὸς ἕτερον λέγων·

Τρυγόνες ἐκναισεῦντι πλατειάσδοισαι ἅπαντα. [9]

τὸ δ' ἐκναισεῦντι [10] ἀντὶ τοῦ διαφθείρουσιν ὡς τρυγόνες φλυαροῦσαι, αἱ δὲ πρὸς τὸν νεανίαν φασίν·

Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς [11] *ἄνωθεν,*
Ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ [12] *λαλεῦμες.*

κϛ'. Διὰ τὸ πλατύνειν τὴν φωνὴν χρωμένας τῷ α ἐπὶ πολύ· ἴσμεν γὰρ, ὅτι ἀεὶ οἱ Δωριεῖς τὸ η εἰς α ἀμείβουσιν.

κζ'. Τὸ γὰρ α καὶ τὸ ω στοιχεῖον καὶ ἡ εὐθεῖα διαφορὰ κατὰ τὰς τελευταίας ἐμπεσούσας συλλαβὰς σεμνὸν καὶ ἐπηρμένον τὸν λόγον ἐποίησε.

κή. Ἀντὶ [13] τοῦ [14] μὴ συμπλεκόμεναι τῷ ι καὶ τῷ υ· ἐτελεύτησε γὰρ εἰς τὸ η μακρὸν, καὶ τὸν ἦχον ἐρεῖδον [15] κάτω περὶ τὴν βάσιν τῆς γλώττης, συνελάβετο [16] δὲ πρὸς τὸν ὄγκον τῆς λέξεως καὶ τὸ ο στοιχεῖον ἐν τῇ ἀρχῇ κείμενον, ὃ [17] κἂν ἐστι βραχὺ, πλὴν ἅτε μικτὸν [18] τοῦ ω, σεμνὴν οὐδὲν ἧττον τὴν λέξιν ποιεῖ καὶ ὅλως πάντα τὰ

8 Par. κωτίλλουσαι. Mon. κατέλλουσαι. Id. XV. 88. 9 Mon. Parr. ἐκναεσσεῦντι πλασιαςδύσαι ἅπ. recepi lectionem Valckenarii. 10 Codd. iterum ἐκναεσσεῦντι. 11 Mon. Par. 2. ἦμες. v. 92. 12 Par. 2. πελοπονηαστί. 13 Litt. κή. est in Sicel. 14 τοῦ Mon. om. Sch. min. Εἴς τι μακρὸν καταλήγουσαι, ἵνα μὴ ὦσι δίφθογγοι μετὰ τῆς οι, ὡς τὸ Οἴτη ὄρος, καὶ Πολυποίτης. Αὐταῖς μακραῖς· τὰς ἐπὶ τέλους συλλαβὰς ἐν ταύταις ταῖς μακραῖς διφθόγγοις. 15 Mon. ἐρεῖ σκ. Sicel. ἐρεῖδιν. Par. 2. ἐρεῖδον. 16 Sicel. συνεβάλλετο. 17 Par. 2. Sicel. ὅ. Mon. ἤ. 18 Sicel. μιμητικόν.

φωνήεντα, πλὴν τοῦ[19] ι καὶ τοῦ ε, τοῖς σεμνοῖς συμβάλλεται λόγοις. ταυτὶ γὰρ τὰ δύο δυσειδῆ τέ εἰσι καὶ σεσηρέναι[20] ποιεῖ· διὸ δὴ καὶ πᾶσα μὲν δίφθογγος πλεονάζουσα συμβάλλεται τῇ σεμνότητι, ἡ δὲ τούτων πρὸς ἄλληλα κρᾶσις ἥκιστά γε τὸν λόγον ὑψοῖ.[21]

κθ'. Ὡς ἐν τῷ· Ἕκτωρ ἶφι[22] βίηφι ἴει ἔριδι χωρὶς τοῦ ε ἀντὶ τοῦ, οὐ μόνον ἡ ει δίφθογγος ἀλλοτρία σεμνότητος, ἀλλὰ καὶ αὐτό, φησὶ, καθ' ἑαυτὸ τὸ ι.

λ'. Ποιοῦσι,[23] φησὶ, σεμνότητα καὶ αἱ τροπικαὶ λέξεις, εἰ μὴ λίαν ἐκκλίνουσιν εἰς τὸ εὐτελὲς διὰ τὴν ἀβελτερίαν τῶν χρωμένων· δεῖ γὰρ αὐτὰς λαμβάνειν ἢ ἐκ τοῦ σύνεγγυς ἢ ἐκ τοῦ πόῤῥω ἢ ἐκ τοῦ πορῥωτέρω· τὸ γὰρ ἐπὶ πλέον κακίζεται· κίνδυνος γὰρ[24] οὐ μικρὸς περὶ τὴν χρῆσιν· πόσον γὰρ ἀφέστηκεν ἥδε ἡ τροπικὴ λέξις τῆσδε τῆς λέξεως οὐ ῥᾴδιον εἰπεῖν, τοῦ δ' ἐπιστήμονος ἔργον, μὴ[25] τὰς λίαν ἀφεστηκυίας λαμβάνειν, ἀλλὰ τὰς ἐκ τοῦ σύνεγγυς κειμένας καὶ σχεδὸν μηδὲ ἐμφαινούσας τὸν τρόπον, ὥσπερ ἔχει τὸ, „τὴν[26] ἀγαθὴν προ-

19 Sicel. πλὴν ἰῶτα καὶ ε. ante ε man. serior inseruit τοῦ. 20 Sch. min. κεχηνέναι, δηλοῖ δὲ καὶ τὸ γελᾶν, ὥς φησι Διογενιανός. 21 Mon. ποιεῖ. Ven. post litt. κδ'. Καὶ εἰ καθ' ἑαυτὸ δὲ τὸ ι τάττοιτο, ἥκιστα σεμνὴν ποιεῖ τὴν λέξιν, ὡς ἐν τῷ Ἕκτορι ἴει ἔριδι. 22 Mon. ἑκτορίῃφι βίῃφι. correxi ex Parr. Sch. min. Ἕκτωρ ἶφι βίηφι πιθήσας ὤλεσε λαόν. Il. X. 107. τοῦτο οὐκ ἔστι σεμνόν, ἀλλὰ ἀφελείας. Τροπικαί· περὶ τροπῆς ζήτει τὸ δέκατον κεφάλαιον τοῦ τετάρτου τόμου τῶν εὑρέσεων. ib. Εἰκότως αἱ τροπικαὶ λέξεις ὄγκον ποιοῦσι τῷ λόγῳ· διπλαῖ γάρ πώς εἰσιν, ἔχουσαι τό τε κυρίως σημαινόμενον καὶ τὸ μεταφορικόν. Ultima sunt etiam in Ven.: Καὶ μὴν καὶ αἱ τροπ. καὶ λέξεις σεμναὶ καὶ διωγκωμέναι· εἰκότως κ. τ. λ. 23 Litt. λ'. est in Sicel. Εἰκότως αἱ τροπικαὶ λέξεις ὄγκον προσάγουσι τῷ λόγῳ, διπλῶς γάρ πώς εἰσιν ἔχουσαι τό τε κύριον σημαινόμενον καὶ τὸ μεταφορικὸν, καὶ ποιοῦσι κ. τ. λ. 24 Sicel. οὖν. 25 Mon. μετά. 26 pro cor. p. 258. litt. λά et λβ'. vide Vol. V. p. 185. v. 18. — p. 186. v. 2.

βαλλομένους ἐλπίδα." ἡ γὰρ λέξις μετρίως ἐμφαίνουσα τὴν τροπικὴν σεμνὸν ἐποίησε τὸν λόγον.

λγ'. Παχύτερον,[27] ἀνοητότερον· παχεῖς γὰρ ἐκάλουν τοὺς ἀναισθήτους καὶ ὑώδεις, ὥσπερ λεπτοὺς τοὺς ἀκριβεῖς τε καὶ ὀξεῖς· καὶ λόγος οὖν παχύτερος ὁ ἀκύρως τε καὶ μὴ ἐναργῶς συγκείμενος· τὸ δὲ εὐτελέστερον ἀντὶ τοῦ ἰδιωτικὸν, ἄμεινον[28] δὲ ἀσαφέστερον.

λδ. Ὑπόξυλα[29] κυρίως ἀγάλματα καλεῖται, ὅσα ἀκρόλιθα ὄντα ἔμφασιν μὲν παρέχει τοῖς πόρρωθεν ὁρῶσιν, ὡς λίθινα ὄντα, ἔστιν δὲ πλὴν τῶν ἄκρων ξύλινα· εἰκότως οὖν καὶ τοὺς ταῖς ψυχροτέραις τροπαῖς χρωμένους ὑποξύλους ἐκάλεσεν, ὡς δοκοῦντας μὲν σεμνόν τι λέγειν, πόρρω δὲ σεμνότητος τῆς κατὰ λέξιν ἑστῶτας.

λέ. Φρύνιχος ἐν[30] τῇ σοφιστικῇ παρασκευῇ παρατίθεται τὸ ὑπὸ ξύλου ῥήτωρ καὶ ποιητής· εἴρηται δὲ, φησὶν, μεταφορικῶς ἀπὸ τῶν ἐκ ξύλων σκευῶν, οἷς[31] ἐπιπολῆς[32] ἐπελήλαται ἄργυρος· κεῖται δὲ κ. τ. λ. Vol. V. p. 486. v. 8 — 15.

λς'. Τὸ παράδειγμα τῆς τοιαύτης λέξεως παραθέσθαι βουλόμενος ἐπὶ τοὺς ὑποξύλους κατ' αὐτὸν φάναι τὸν τεχνικὸν ἐτράπη σοφιστάς. Δημοσθενικὸν γὰρ ἐπὶ τῶν τοιούτων οὐκ ἂν λάβοις παράδειγμα.[33]

---

27 Mon. ταχύτερον. Ven. Περαιτέρω δὲ τούτων εἰ προέλθοιεν, καὶ παχύτερον αὐτὸν ποιοῦσιν, ἀντὶ τοῦ ἀνοητ. — — ἐναργῶς συγκείμενος. tum transit ad litt. λζ'. 28 Mon. ἄμειψον. 29 Mon. τὰ ξύλα. Ven. post litt. λζ'. Παρὰ δὲ τοῖς ὑποξύλοις τούτοισι σοφισταῖς. 30 ἐν et παρασκευῇ Mon. om. 31 Par. 1. ἧς. 32 Mon. οἷς ἐπὶ πολλῆς ἐπελήλατο ἄργος. correxi ex Par. 1. 33 Sequitur in Par. ad: δωροδοκούντων καὶ τὰ ἑξῆς, ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· [p. 240] ὅτε γὰρ περιῖὼν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, αἱ πόλεις ἐνάσουν, τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν τὰ μὲν

ed. "By the 17th of August—May, do you remember?—Rassendyll, the pretender"—Antoine Rassendyll, who had been a thorn in the flesh of the Elphbergs for a hundred years—"will be in Strelsau. Then, Rupert, you will be Duke of Strelsau, and I shall be Duchess of Strelsau, and we shall live happily ever after. Is it not a pretty story?"

"Very pretty, Antoinette," he answered, with a smile that was not altogether free from bitterness. "But I am afraid that Rassendyll will not be in Strelsau on the 17th of August."

"Why not?" she asked, with a pout of disappointment.

"Because I shall be there myself, and I shall not be Duke of Strelsau, and you will not be Duchess of Strelsau, and we shall not live happily ever after. Is it not a pretty story?"

"Rupert!" she cried, in a tone of mingled reproach and alarm.

"Antoinette," he answered, "I have given up all that I have ever had, and I have given it up for you. I have given up my friends, my honour, my duty, my career, my ambition, my—"

"Rupert!" she cried again, and there was a tone of entreaty in her voice.

"Yes, I have given up all that I have ever had, and I have given it up for you. I have given up all that I have ever had, and I have given it up for you. I have given up all that I have ever had, and I have given it up for you.

μ΄. Ἐπειδὴ ἐπετήδευσεν ὁ συγγραφεὺς τὸν αὐστηρὸν χαρακτῆρα, διὰ τοῦτο ἐνιαχοῦ καὶ ποιητικαῖς καὶ τραχείαις καὶ σκληραῖς κέχρηται λέξεσιν, ἵνα ἁδρὸν ποιῇ[43] τὸν λόγον· καὶ τραχεῖαι μὲν λέξεις αἱ τροπικαὶ, σκληραὶ δὲ αἱ καὶ πλέον τετραμμέναι καὶ ἔχουσαι τὸ τραχὺ[44] ἀφ' ἑαυτῶν, ὡς τὸ ἐκνενευρισμένοι·[45] ἐνταῦθα τοίνυν, καθὸ μὲν ὀνόματα καὶ ὀνομαστικὰ κεῖται, σεμνότης γίνεται, καθὸ δὲ οὐκ ἐπὶ προσώπου κεῖται τὸ ἀλόγιστος καὶ φιλέταιρος, ἀλλ' ἐπὶ τῆς τόλμης καὶ τῆς ἀνδρείας, τέτραπται, καὶ ἔστι τραχέα, καὶ τὸ προμηθὲς σκληρὸν ἅμα ἀφ' ἑαυτοῦ καὶ τροπικόν.

μά. Ὀνοματικῇ[46] τῇ λέξει κεχρημένος· φησὶ γὰρ ὁ ῥήτωρ ἐν τῷ περὶ στεφάνου περὶ Αἰσχίνου λέγων. „καὶ ἀκούσεσθε κ. τ. λ. Vol. V. p. 489. v. 9—16. ἀντὶ μὲν οὖν τοῦ τάδε Φίλιππον[47] εἰπεῖν τὰ ῥήματα ἔφη, ἀντὶ δὲ τοῦ οἰκείως ἔχειν πρὸς ὑμᾶς, τὰς οἰκειότητας εἶπε, καὶ διὰ τῆς ἐπικρίσεως αὐτὸς ὁ ῥήτωρ ἐπεσημήνατο, ὅτι ἡ

43 Mon. ποιεῖ. Par. 1. ποιῇ. Par. 2. ποιήσαι. 44 Par. τὸ σκληρόν. 45 Ol. III. p. 37. 46 Ven. post litt. λθ΄. Μάλα σεμνῶς ὀνομάζων ὀνοματικῇ. Par. add.: Περὶ τοῦ Αἰσχίνου φησίν· κατηγορούμενος γὰρ οὗτος ὑπὸ Δημοσθένους, ὅτι τὰ τοῦ Φιλίππου φρονεῖ, ἀπολογεῖται λέγων, ὅτι μὴ τοὺς λόγους σκοπεῖτε, οὓς ἐγὼ τῷ Φιλίππῳ λέγω, ὅπερ ἐστὶν, οὐ τὰ ῥήματα βεβαιοῖ τὰς οἰκειότητας, ἀλλὰ τὰ πράγματα [pro cor. p. 237.]. Ὁ γὰρ Αἰσχίνης ἐχρήσατο λέγων ταῖς σεμναῖς λέξεσιν οὕτως· μικρὸν ὕστερον, ὦ ἄνδρες Ἀθηναῖοι, δυοῖν ἢ τριῶν ἡμερῶν ἀκούσεσθε Φίλιππον, οἷς μὲν ἐχθρὸς ἦκει, δῆλον ἡμῖν φίλον γεγενημένον, οἷς δὲ φίλος, ἐχθρὸν, οὐ γὰρ τὰ ῥήματα, ἔφη ὁ Δημοσθένης, τὰς οἰκειότητας βεβαιοῖ, ἀλλὰ τὰ πράγματα. Sch. min. Ἅπερ καὶ καθαρά: διὰ τὴν ἀφήγησιν λέγει, ἣν ἔφη χρήσιμον εἶναι καθαρότητι, κἂν μέθοδος ᾖ, κἂν σχῆμα. Ἢ ὀρθότης λέγω· οἷον τὰ εὐκρίνειαν ποιοῦντα σχήματα· καὶ γὰρ ἐκεῖνα πρὸς ὀρθότητά πως ἄγουσι τὸν λόγον διακρίνοντα σαφῶς τὸ ἐν αὐτῷ συγκεχυμένον, ὡς τὸ κατὰ ἄθροισιν κατὰ μερισμόν. 47 Ven. Φίλιππον. Mon. Φιλίππῳ.

ὀνομαστικὴ τάξις ἀεὶ σεμνότητός ἐστι ποιητική·[48] ἐπίκρισις δέ ἐστιν τὸ „μάλα σεμνῶς ὀνομάζων.“

μβ'. Ὅρα πῶς ὁ ῥήτωρ δαιμονίως τὸ παρ' Αἰσχίνου ῥηθὲν θεωρήσας διέβαλεν,[49] ὡς διὰ τῶν ὀνομάτων τὴν σεμνότητα ποιησάμενος, εἰπὼν γὰρ, οὐ γὰρ[50] τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, εὐθὺς τὴν δωρεὰν θαυμασίαν ἐπήνεγκεν „τὸ μάλα σεμνῶς ὀνομάζων.“

μδ'. Καθὸ μὲν γὰρ οὐκ ἐν ἄλλοις σχήμασιν ἔχει τὸ εἶναι, σχῆμα ἂν εἴη. καθὸ δὲ πάλιν οἰκεῖον ἔχει νόημα, ἐφ' ᾧ καὶ γίνεται, ἐπὶ τὴν ἔννοιαν ἀναφέρεται· τὰ μὲν γὰρ ἄλλα τῶν σχημάτων οὐδὲν βλάπτει, κἂν ἀφαιρεθῇ τοῦ λόγου τὴν ἔννοιαν, πλὴν εἰ μὴ λέγοι τις, ὅτι τὸ κάλλος λυμαίνονται, ἡ δὲ ἐπίκρισις ἀφανισθεῖσα συναφαιρεῖται μέρος τῆς ἐννοίας, μᾶλλον δὲ καὶ τέλειον, ἅτε μὴ κατὰ τὸν αὐτὸν τρόπον τοῖς ἄλλοις γινομένη σχήμασιν,

---

48 Ven. pergit: Ἡ ὀρθότης λέγω, καὶ εἴτι τοιουτότροπον, οἷον τὰ εὐκρίνειαν ποιοῦντα σχήματα· καὶ γὰρ ἐκεῖνα πρὸς ὀρθότητά πως ἀνάγουσι τὸν λόγον, διακρίνοντα σαφῶς τὸ ἐν αὐτῷ συγκεχυμένον, ὡς τὰ κατ' ἄθροισιν, κατὰ μερισμὸν, κατὰ ἐρώτησιν· καὶ μὴν καὶ αἱ ἐπικρίσεις, εἴτε ἔννοιαί τινες, εἴτε σχήματα εἶεν κ. τ. λ. 49 Par. 1. διέλαβεν. 50 οὐ γὰρ Mon. om. Sch. min. Ἐπίκρισίς ἐστι λόγου ῥηθέντος ἐπικύρωσις καὶ βεβαίωσις, ὡς τό· καὶ ὑμεῖς οἶδ' ὅτι συμφήσετε. ib. Ἡ ἐπικρίνουσα τὸ νόημα μετ' αἰτίας. Λειπόμενον κόσμον· τοῦτο ἐν τῷ Μενεξένῳ τοῦ Πλάτωνος [c. 5.] κεῖται, ἐν ᾧ εἰσῆκται Σωκράτης ἐπιτάφιον λέγων τοῖς ἐν Λεχαίῳ ἀποθανοῦσιν. Καὶ χρή· τοῦτο γάρ ἐστιν ἡ ἐπίκρισις· καὶ ὁ θεολόγος καλῶς τῷ τεχνίτῃ λόγῳ κυβερνώμενος. Ὀρθῶς· καὶ τοῦτο ἐπίκρισίς ἐστι. Βουλευόμενοι· καὶ ὁ θεολόγος σοφῶς κατά γε τὸν ἐμὸν λόγον καὶ θαυμασίως· ἐπίκρισις γὰρ ἐστιν ἐπιβεβαίωσις ἐννοίας τινὸς προηγησαμένης, ἐπάγουσα καὶ τὴν αἰτίαν αὐτῆς, οὐ πᾶσα γὰρ ἐπίκρισις ἔχει καὶ τὴν αἰτίαν, ἀλλ' αἱ μὴ ὁμολογούμεναι. Μετ' ἐνδοιάσεως· εἰ γὰρ ἐπικρίνων ἐνδοιάσεις, φησὶν, ἠθικὸν ποιήσεις τὸν λόγον. Litt. μγ'. vide Vol. V. p. 489. v. 22. — p. 490. v. 1.

ἀλλ᾽ οἰκείαν τὴν ἀρχὴν καὶ ὁλόκληρον ἔννοιαν συνεισφέρουσα, διὸ δὲ καὶ ἀφανιζομένη τὴν μὲν πρὸ αὐτῆς ἔννοιαν οὐ βλάπτει· ἐφ᾽ ᾗ δὲ γέγονεν, ἐκείνην ἀναιρεῖ, καὶ οὐκ ἀνάγκη ταύτης ἀφανισθείσης ἑτέραν ἀντεισφέρειν ἔννοιαν, ὥσπερ ἐπὶ τῆς μεθόδου· ἐκεῖσε γὰρ ἀντεισενεγκεῖν ἀνάγκη τῇ ἐκβαλλομένῃ μεθόδῳ ἑτέραν ἰσοδυναμοῦσαν μέθοδον, ὅπως μὴ φανείη χωλεύων ὁ λόγος· ἐπὶ δὲ τῆς ἐπικρίσεως οὐδὲν βλάψεις τὴν πρὸ αὐτῆς ἔννοιαν· διὸ καὶ ἀφανιζομένης αὐτῆς ἀντεισενεγκεῖν ἑτέραν [51] περίεργον. ὥστε κἂν σχῆμα καλέσῃς τὴν ἐπίκρισιν, κἂν ἔννοιαν, οὐκ ἂν διαμάρτοις· οὔτε γὰρ ἐν ἑτέροις σχήμασιν [52] ἔχει τὸ εἶναι, καθὰ δεδηλώκαμεν, οὐδ᾽ αὖ πάλιν τοιουτοτρόπως ἐκείνοις γίνεται, τὰ μὲν γὰρ εὐσχημάτιστον μόνον ποιεῖ τὸν λόγον, καὶ τοσοῦτον αὐτῷ παρέχουσιν, ὅσον τὸ κάλλος τοῖς σώμασιν. ὥσπερ γὰρ ταῦτα μένουσι, κἂν ἀφανισθῇ τὸ κάλλος ἐξ οἱασδήποτε περιστάσεως, τὸν αὐτὸν τρόπον καὶ ἡ ἔννοια τῶν ἄλλων σχημάτων ἀφανισθέντων, ἡ δὲ ἐπίκρισις, ἅτε οἰκεῖα τὴν ἀρχὴν ἔχουσα νοήματα καὶ τὴν ἔννοιαν, ἀναιρεῖ, [53] ἐφ᾽ ᾗ καὶ γίνεται.

μέ. Τοῦτο ἔννοιαν εἶπεν εὐκρινείας· τὸ γὰρ βούλομαι τόδε εἰπεῖν καὶ εἰς ἀρχὴν ἀνάγειν τὸν λόγον, καταστατικόν ἐστιν, ἔλεγε δὲ εὐκρινείας ἐννοίας εἶναι τὰς καταστατικάς.

μς. Τὰ γὰρ [54] γνωμικὰ καθόλου ἄνευ ἀποστροφῆς ἢ ὑποστροφῆς ὄντα σεμνότερον καὶ καθαρώτερον ἀπεργάζεται τὸν λόγον· τῆς μὲν οὖν ὑποστροφῆς αὐτὸς ἐδίδαξε τὸ παράδειγμα, τῆς δὲ ἀποστροφῆς λάβοι τις ἂν ἐκ τοῦ κατὰ Ἀνδροτίωνος ἐκεῖνο· [55] „ὁποίους γὰρ ἄν

51 ἑτέραν Par. 2. om. 52 σχήμασιν ἔχει — ἐκείνοις Mon. om. 53 Par. 1. ἀφαιρεῖ. 54 Ven. litt. μδ'. μέ. omissa: Ἥκιστα δὲ αἱ ἀποστροφαί τε καὶ ὑποστροφαὶ λόγου σεμνοῦ καὶ καθαροῦ. 55 p. 613.

τῶν κατὰ τὴν Σικελίαν καὶ τὴν Λιβύην, ἐν οἷς ἐστὶ καὶ τὰ περὶ τὸν Ἀθαμανικὸν καὶ τὸν Ἀδριατικὸν κόλπον καὶ τὸν Ἰόνιον καὶ τὸν Τυρρηνικὸν καὶ τὸν Σαρδόνιον καὶ τὸν Ἰβηρικὸν καὶ τὸν Ἀτλαντικὸν καὶ τὸν Ἐρυθρὸν καὶ τὸν Ἀράβιον καὶ τὸν Περσικὸν καὶ τὸν Ἰνδικὸν καὶ τὸν Κασπίαν καὶ τὸν Εὐξεινον καὶ τὸν Μαιώτην καὶ τὸν Κιμμερικὸν καὶ τὸν Ἀζοφικὸν καὶ τὸν Ἀκεανὸν τὸν ἔξω τῆς οἰκουμένης

πολέμου," εἶτα ἡ ὑποστροφή, „οὐ δι' ἐμὲ, οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε"· τὸ γὰρ ἑξῆς ἦν, τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε καὶ τὰ ἑξῆς· καὶ πάλιν· ἅπας ὁ τῶν ἀνθρώπων βίος· εἶτα ἡ ὑποστροφὴ τό, κἂν μεγάλην πόλιν οἰκῶσιν κἂν μικράν· τὸ γὰρ ἑξῆς, ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται· γίνεται δὲ ἡ ἀποστροφὴ μὲν πρὸς πρόσωπον, ἡ ὑποστροφὴ δὲ πρὸς πρᾶγμα. [61]

μθ'. Μακρότερον τῶν κομματικῶν, ὅτε γνωμικόν ἐστιν, οἷον „πέρας [62] μὲν γὰρ ἅπασίν ἐστιν ἀνθρώποις τοῦ βίου ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις ἑαυτὸν καθείρξας τηρῇ· ὑπερβαίνει γὰρ τὸ μέτρον τοῦ κώλου, ἐπειδὴ γοργὸν καὶ τραχὺν ποιεῖ τὸν λόγον· ἐναντία δὲ σεμνότητος γοργότης. διὰ τοῦτο, φησὶν, ἔστιν ὅτε, ἀντὶ τοῦ, ὅτε δεῖ ποικίλλειν τὸν λόγον. Ἐπειδὴ συνθήκην εἶπεν εἶναι καθαρότητος καὶ εὐκρινείας, τὴν περὶ συγκρίσεως

γὰρ Φωκ. συστάντος πολέμου om. Sch. min. Βούλομαι τόδε εἰπεῖν· καὶ ὁ Θουκυδίδης· βούλομαι μὲν εἰπεῖν ἀκινήτως πρὸς τὸ κακόν. Μοὶ δοκεῖ· ἐνδοιασμοῦ. Ἥκιστα δὲ αἱ ἀποστροφαί· ἔλεγε γὰρ, ἔν τισι σχήμασι κοινωνεῖν τῇ καθαρότητι τὴν σεμνότητα. Οὐ γὰρ ὅμοιον ἦν· χωρὶς τῆς ὑποστροφῆς, ἥτις ἐστὶ, κἂν μεγάλην πόλιν οἰκῶσιν. Ἅπας ὁ τῶν ἀνθρ. βίος· τοῦτο ὑπέρβατόν ἐστιν. Ἐκείνως· ἀντὶ τοῦ μὴ διακόπτειν. Ἐργάζεσθαι· ἐπεμβάλλειν καὶ ταῖς ὑποστροφαῖς χρῆσθαι· διαφθείρει γὰρ αὐτῆς τὸ σεμνόν. Κῶλα δὲ σεμνά· βραχέα μὲν εἶναι τὰ κῶλα· χωρὶς δὲ ἐπεμβολῆς καὶ ὑποστροφῆς. Τὰ βραχύτερά φησιν καὶ παραγράφοντα συντόμως, καθάπερ οἱ ἀφορισμοί. Ὥσπερ γὰρ ἀφορισμούς· πολλὴν ἔννοιαν ἐν ὀλίγοις ῥήμασι περικλείει. Τὸ γὰρ ἀεικίνητον· τοῦ Πλάτωνος τοῦτο. Ἐν σεμνότητι κῶλον· ἴσως φησὶ περιστάσεως ποιᾶς ἐκβιασαμένης γένοιτο ἂν καὶ μακρότερον ἐν σεμνότητι κῶλον. 61 Sicel. πράγματα. Tum pergit: Οὐ γὰρ ὅμοιον ἦν οὕτως εἰπεῖν χωρὶς τῆς ὑποστροφῆς, κἂν μεγάλην πόλιν οἰκῶσιν· ἀλλὰ τοῦτο μὲν γοργὸν ἅμα, τὸ διακόψαι κ. τ. λ. Litt. μή. Vol. V. p. 490. v. 16—20. 62 pro cor. p. 258.

(1) ANALYSIS MATHEMATICAL. If a quantity is given, and the task is to find out its parts, the operation is called analysis. Thus, if a number is given, and we are required to find out its factors, the operation is called analysis. Again, if a curve is given, and we are required to find out the nature of the curve, the operation is called analysis.

(2) ANALYSIS OF WORDS. In the analysis of words, the word is resolved into its elements, and the nature of each element is pointed out. Thus, in the word *unkindness*, there are three elements, *un*, *kind*, and *ness*. The element *un* is a prefix, *kind* is the root, and *ness* is a suffix. The prefix *un* is a negative particle, and the suffix *ness* converts the adjective *kind* into a noun.

(3) ANALYSIS OF SENTENCES. In the analysis of sentences, the sentence is resolved into its elements, and the nature of each element is pointed out. Thus, in the sentence, "Virtue is its own reward," there are two elements, *virtue* and *is its own reward*. The element *virtue* is the subject, and the element *is its own reward* is the predicate. Again, in the sentence, "Virtue is its own reward," there are two elements, *is* and *its own reward*. The element *is* is the verb, and the element *its own reward* is the object. Again, in the sentence, "Virtue is its own reward," there are two elements, *its* and *own reward*. The element *its* is the possessive pronoun, and the element *own reward* is the noun.

καί τε καὶ ἀναπαιστικαὶ πλείονας ἔχουσι βραχείας, ἀλλ᾽ οὖν διὰ τοῦ φάναι, σπονδειακαὶ δὲ μᾶλλον, ἐδήλωσεν, ὡς ἐπ᾽ ὀλίγον ἐκείναις χρηστέον, καὶ τοῦτο βεβαιότερον [69] ἐποίησε προσθεὶς, ὡς αἱ ἐξ ἐπιτρίτων ἁρμόδιοι τῷ σεμνῷ λόγῳ, ἐν οἷς μία βραχεῖα διὰ τριῶν ἐστι πλεκομένη μακρῶν.

νγ΄. Ἄξιον [70] ζητῆσαι, τί δήποτε τὰς ἰωνικὰς [71] καὶ τροχαϊκὰς συνθήκας, καίτοι πλείονας ἐχούσας μακράς, ἀνεπιτηδειοτέρας ἔφησεν εἶναι τῶν παιωνικῶν τῶν πολλὰς βραχείας ἐχουσῶν· φαμὲν οὖν, ὅτι ἡ παράθεσις τῶν ἴσων μακρῶν καὶ βραχειῶν ἐν ταῖς ἰωνικαῖς καὶ τροχαϊκαῖς πλέον κλᾷ τὸν ῥυθμὸν, ἥπερ ἡ τῶν πλειόνων βραχειῶν ὁμόχρονος συνθήκη· ὁ μὲν γὰρ ἀπὸ μείζονος ἰωνικὸς ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν συνίσταται, [72] ὁ δὲ ἀπ᾽ ἐλάσσονος ἰωνικὸς ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν. καὶ γὰρ οὐχ οὕτως τὸ ἐναντίον καθ᾽ ἑαυτό πως ὂν ἐπίδηλόν ἐστιν, ὥσπερ ὅταν ἔχῃ παρακείμενον τὸ ἐναντίον· τὸ γάρ τοι πικρὸν ἢ τὸ μέλαν [73] τοῦ γλυκέος καὶ λευκοῦ

69 Mon. βιαιότερον. Ven. Parr. βεβαιότερον. Sch. min. Ἐπίτριτος ἐκ βραχείας καὶ τριῶν μακρῶν, οἷον Ἀριστείδης. 70 Par. 1. add. ἐστί. Mon. Par. 2. om. Ven. τροχαϊκαὶ μέντοι καὶ ἰωνικαὶ ἐναντίαι σεμνότητι· ἄξιον δὲ ζητῆσαι. 71 Mon. ἴωνας. 72 Mon. Parr. δύο βραχειῶν σαφέστατα γίνεται [Mon. γράφεται] omissis συνίσταται, ὁ δὲ ἀπ᾽ ἐλάσσονος — — μακρῶν, quae recepi ex Ven. 73 Par. 2. μέλι τοῦ γλικέος καὶ πικροῦ παρακειμένου. Mon. μέλαν τοῦ γλ. καὶ πικροῦ omisso παρακειμένου. recepi lectionem Par. 1. Par. addit: Ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν ἐξάχρονος, οἷον Δημήτριος· ἀπ᾽ ἐλάσσονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν ἐξάχρονος, οἷον Διομήδης· τούτων παράδειγμα τό· ὡς ὁ πρόσθ᾽ ἵππων τανυσθεὶς κεῖτο καὶ δίφρου· στῖχος τετρασύλλαβος μετρεῖται ἰωνικῶς, αἱ γὰρ δύο συλλαβαὶ αἱ Πηλιάδα, (Cod. Πηληϊάδα) μίαν συλλαβὴν ποιοῦσι· τὸ σείων μελίην ἐπὶ, καὶ ἴων δέ ἐστιν ὁ δεύτερος ὁμοίως, καὶ ὁ μετ᾽ αὐτὸν, οἱ δὲ ἄλλοι πόδες τροχαῖοι, ἀλλὰ μὴν καὶ ἀντίσπαστός [Cod. ἀντίπαιστος]

remarkable military exploit. The king of Cadesh, Setnakhte's northern neighbour, had invaded the country of Amor and established himself there. Setnakhte marched against him, defeated him, and drove him back to his own country.

The relations of Egypt to Nubia, the Libyan desert, and the Mediterranean coast, during the reigns of Setnakhte and his son Rameses III., are illustrated by the sculptures and inscriptions of the temple of Medinet Habu. The Nubians, who had revolted in the reign of Setnakhte, were subdued by the viceroy Hui, and the tribute of the country was again levied. In the second year the Mashuash, who had settled in the Libyan desert, invaded the Delta, but were defeated by the king in person. In the fifth year the Tahennu, a people of Libya, and the Mashuash, who had again invaded Egypt, were defeated in a great battle in which

Rameses III. in his chariot, pursuing the Libyans.

the king himself took part. The Tahennu, who had come from the west, were driven back to their own country. The Mashuash, who had come from the east, were pursued into the desert of Sinai. The Tahennu, who had come from the west, were driven back to their own country. The Mashuash, who had come from the east, were pursued into the desert of Sinai.

κοὶ, οἱ τῷ ἰάμβῳ χρησάμενοι· ἐπεὶ οὖν καὶ οἱ τρέχοντες καὶ ὑβρίζοντες σπουδῇ τοῦτο ποιοῦσιν, οὐ δεῖ ἐν σεμνότητι χρῆσθαι τούτοις, τροχαίῳ καὶ τῷ συγγενεῖ αὐτῷ ἰωνικῷ οὐδὲ ἰαμβικῷ ἐπιπολύ.

νε'. Περὶ τῶν ποδῶν σμικρολογεῖσθαι γραμματικῆς ἐρεσχελίας ἔργον. διὸ καὶ παραιτούμεθα τοῦτο ποιεῖν, ἀρκούμενοι τοῖς τοῦ τεχνικοῦ παρακελεύσμασι· καὶ αὐτὸς γὰρ παραιτησάμενος περὶ τῶν τοιούτων ῥαψῳδεῖν, ἅπερ συντελεῖ τῇ πραγματείᾳ, ταῦτα παρέλαβεν· οὐ γὰρ λέγει, πόσας μὲν ἔχει μακρὰς, πόσας δὲ βραχείας ὁ παίων ἢ ὁ ἐπίτριτος, ὡς γὰρ πρὸς εἰδότας διαλέγεται, καὶ τῆς τῶν γραμματικῶν ἀπαλλαγέντας ἐνοχλήσεως· λέγει δὲ τόνδε καὶ τόνδε συντελεῖν [1] πρὸς τὴν σεμνὴν συνθήκην, καὶ τοῦτο δῆλον πεποίηκεν ἐκ τῆς τῶν στίχων παραθέσεως οἷον· [2]

Σείων Πηλιάδα μελίαν κατὰ δεξιὸν ὦμον.

διέφθειρε γὰρ τὸ ἔπος ἀπὸ τῆς ἐναλλαγῆς τῶν λέξεων ὁ ἀπὸ τοῦ δακτυλικοῦ πρὸς ἰωνικόν τε καὶ τὸ συγγενὲς τῷ ἰωνικῷ τροχαϊκῷ αὐτὸ μεθαρμόσας, [3] οἷον·

Σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον. [4]

δύο γάρ εἰσιν ἐνταῦθα ἰωνικαὶ συζυγίαι, καὶ μετὰ ταῦτα καὶ τὸ ἰθύφαλλον καλούμενον μέτρον, ἐκ τριῶν συγκείμενον τροχαίων, δι' ὧν κέκλασται πᾶς ὁ ῥυθμὸς βιασθεὶς πρὸς τὸ ἐναντίον ἐλθεῖν δακτυλικοῦ καὶ σεμνότητος.

νϛ'. Ἐν τῷ [5] περὶ μέτρων φησὶν ὁ Ἡφαιστίων, ὅτι συγγένεια γίνεται μέτρου πρὸς μέτρον τριχῶς, κατὰ ἀφαίρεσιν, κατὰ πρόσθεσιν, οἷον ἐὰν ἀφέλῃς [6] τοῦ, μῆνιν ἄειδε θεὰ, τὴν πρώτην συλλαβὴν, ποιεῖς ἀντὶ δακτυλικοῦ μέτρου ἀναπαιστικόν· οὕτως οὖν καὶ τὸ ἰωνικὸν

1 Mon. συνελεῖν. 2 Il. X. 133. 3 i. e. Sotades in Iliade, vide Hephaest. p. 21. Gaisf. 4 Par. κατὰ ὦμον. 5 ἐν τῷ περὶ μέτρων Mon. om. 6 Mon. ἀφέλῃ τις.

ἐν κάστρῳ πικρὸν ἦν τὸ κατοικεῖν καὶ μετὰ φόβου ἦν· καὶ ἐν ὑπαίθρῳ ἐκάθηντο ἐν τοῖς ἀγροῖς καὶ ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς σπηλαίοις καὶ ἐν τοῖς δένδροις καὶ ἐν τοῖς ἀμπελῶσι καὶ

πταῖσμα, συγκέχυται γὰρ τὸ μέτρον· δεῖ οὖν ἄνευ προσθήκης καὶ ἀφαιρέσεως μεθαρμόσαι τὰ ἔπη οὕτως·

Ὡς ὁ πρόσθ' ἵππων τανυσθεὶς κεῖτο καὶ δίφρου.

ὁ δὲ δεύτερος κατὰ μὲν Λογγῖνόν ἐστι χοριαμβικὸς, ὡς καὶ ἐνταῦθα κεῖται· καὶ τοῦτο δὲ γραφικόν ἐστι πταῖσμα· δεῖ οὖν οὕτως μεθαρμόσαι·

Αἱματοέσσης κόνιος δεδραγμένος βεβρυχώς.

ἔστι γὰρ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, καὶ ἡρωϊκὸς δέ ἐστιν ὁ στίχος· ταῦτα Σωτάδου φησὶ Διονύσιος [15] εἶναι, καὶ ἰωνικὰ δὲ λέγεται αὐτά· ἀλλὰ τιθεὶς [16] ὁ Ἑρμογένης πρὸς τὸ χρήσιμον ἴσως ἑαυτῷ διέφθειρε καὶ τὸ μέτρον καὶ τὴν φράσιν· ἀλλὰ καὶ ἐν πᾶσι τοῖς βιβλίοις ἡ χρῆσις συγκέχυται· οὕτως οὖν ἀκουστέον·

Οἱ μὲν ἐπ' ἄκραις πυραῖσι νέκυες ἔκειντο γῆς ἐπὶ ξένης.

τροχαϊκόν· τετράμετρος δ' ἐστὶ βραχυκατάληκτος οὗτος·

Ὀρφανὰ τείχεα προλιπόντες, καὶ ἐρατεινὴν ἥβην,

λείπει γὰρ ὅλος ποῦς· ὁ δὲ στίχος ὁ τρίτος τροχαϊκὸς ἀκατάληκτος οὗτος·

Καὶ καλὸν ἡλίου πρόσωπον. [17]

ξβ'. Τίς μὲν [18] ἡ ἐν τοῖς μέτροις κατάληξίς ἐστι, καὶ ἀνωτέρω εἴρηται· καταληκτικὰ δὲ καλοῦσιν οἱ τεχνικοὶ

---

15 De comp. verb. p. 50. Schaef. 16 Mon. τεθείς. Par. 2. τιθείς. 17 Schol. min. Ἄλλης ἰδέας οὐ σεμνῆς ἐστι τοῦτο. Ἔσται τετράμετρον· χοριαμβικὸν δηλονότι. Οἰκείων ποδῶν· δακτύλου, σπονδείου, ἐπιτρίτου. Τῇ σεμνότητι· ἢ εἰς δάκτυλον δηλονότι ἢ εἰς σπονδεῖον. Καταλήξεως τὸ τέλος τοῦ κώλου. Ἁρπασθῇ· γυργὸς γένηται. Εἰς ὄνομα καταλήγῃ· τί ποτέ ἐστιν, ὃ πρὸς τοὺς ἐμοὺς πεπόνθατε λόγους, ἰδοὺ τὸ λόγος ὄνομά ἐστι. Τὸν ἀγῶνα· ἐκ τοῦ ἀγωνίζομαι ἀγών, ib. ἀνηρτήσθη γὰρ εἰς τουτονὶ τὸν ἀγῶνα ἡ βάσις καὶ οὐκ ἐπερίττευσε συλλαβή. Δισπόνδειος ἐκ τεττάρων μακρῶν, οἷον Ἡρακλείδης. Ἀντίσπαστός [Cod. ἀντίπαιστος] ἐστι τὸ διοικεῖται. Ἀνάπαυσις καταλήγοι· ὡς τὸ, τὸν φαραὼ τὸν πικρὸν δεσπότην. 18 Ven. post litt. νθ'. Χωρὶς μέντοι καταλήξεως· τίς μὲν γὰρ ἡ ἐντ. μ. Post hanc lit-

μέτρα τὰ μὴ εἰς τελείους καταλήγοντα, ὧν ἐπώνυμον τὸ μέτρον ἐστὶν, ἢ τελείας συζυγίας ποδῶν, ἐξ ὧν ἐκεῖνο τὸ μέτρον συνέστηκεν· ὅθεν καὶ τὸ ἡρωϊκὸν μέτρον καταληκτικὸν καλοῦσιν, ὅταν εἰς τροχαῖον καταλήγῃ, ὃς βραχείᾳ μιᾷ ἐλάττων ἐστὶ τοῦ δακτύλου· ὅταν μέντοι εἰς δάκτυλον καταλήγῃ, ὡς τό· „οὓς τέκετο Ῥέα,“ [19] καὶ „ἀνδρόμεα κρέα,“ [20] τότε ἀκατάληκτον αὐτὸ προσαγορεύουσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν κατὰ συζυγίαν ἢ διποδίαν ποδιζομένων μέτρων, ὅταν ἡ τελευταία συζυγία τῶν ποδῶν εἰς ἕνα πόδα καὶ συλλαβὴν ἀντὶ δύο ποδῶν καταλήγῃ, καταληκτικόν φασιν· ὅταν δὲ εἰς τοὺς δύο τελείους ἀπαρτίζῃ πόδας, ἢ τετράμετρον ἢ τρίμετρον ἢ δίμετρον ἀκατάληκτον καλοῦσιν.

ξγ'. Βεβηκότα λέγει ῥυθμὸν, ὅταν ἡ τελευταία λέξις τρισύλλαβος ᾖ καὶ μακρὰς ἔχῃ δύο ἢ τρεῖς· ἀπηρτίσθη γὰρ εἰς τὸν ἀγῶνα ἡ βάσις καὶ οὐκ ἐπεριττευσε συλλαβή.

ξδ'. Σεμνὴ γὰρ ἡ κατάληξις ἥ καὶ τροχαϊκὴ, ἐπειδὴ ἔσχεν ἐν τῷ τέλει στοιχεῖα μάλιστα κατὰ τὴν ἐκφορὰν διογκοῦντα τὸ στόμα, τὸ α καὶ τὸ ω· γένοιτο δ' ἂν διαφερόντως κατὰ τὴν βάσιν σεμνὸς ὁ ῥυθμὸς, εἰ ἡ ἀνάπαυσις καταλήγοι τοῖς αὐτοῖς πλατέσι στοιχείοις, καθὰ καὶ ἐν τοῖς φθάσασιν ἔδειξε· δῆλον οὖν ἐντεῦθεν, ὁποῖον εἶναι δεῖ τὸν ῥυθμόν· πλὴν ἰστέον, ὅτι εἰ καὶ δι' ὅλων ἐπιτρίτων ἢ δακτυλικῶν ἤ τινων τοιούτων ὁ λόγος συντεθείη, αἱ δὲ ἀναπαύσεις μὴ καταλήγοιεν οὕτως, ὡς καὶ τὰ ἐφεξῆς ἔχειν τοὺς οἰκείους πόδας τῇ σεμνότητι, οἱ ῥυθμοὶ οὐκέτι γίνονται σεμνοί· τοῦτο δὲ ἐπὶ πάσης [21] δεῖ παραφυλάττειν ἰδέας, ὅπως μὴ κατὰ τὴν ἀνάπαυσιν διαμαρτόντες καὶ τοὺς ῥυθμοὺς συγχέωμεν, καὶ τὴν πᾶσαν διασκευὴν τοῦ λόγου συσκιάσωμεν, κἂν ᾖ καλῶς

teram Cod. transit ad caput περὶ τραχύτητος. 19 Il. o. 187. 20 Od. ι. 347. 21 Mon. ἐπίσης.

συντελεσθεῖσα· καθὰ γὰρ προείρηται, τῇ ἀναπαύσει παρατείνεται μόλις ἡ αἴσθησις τοῦ ἀκούοντος· τὰ γὰρ μέσα λανθάνει τὸν τοιοῦτον ῥύδην [22] λεγόμενα.

ξέ. Τέσσαρες γάρ εἰσιν ἐπίτριτοι, ἕκαστος δὲ τρεῖς ἔχει μακρὰς καὶ μίαν βραχεῖαν, ἀλλ' ὅ γε τελευταῖος ἐκ μιᾶς βραχείας καὶ τριῶν μακρῶν· οὐ δεῖ οὖν, φησὶν, εἰς βραχεῖαν καταλήγειν, διὸ παροπτέον τὸν τέταρτον ἐπίτριτον· ἐν ᾧ δὲ κεῖται πρῶτος ἐπίτριτος, καὶ σεμνὴ ἡ κατάληξις διὰ τὰς τρεῖς μακράς. [23]

Τοῦτο τὸ, [24] ὡς ὁ πρόσθ' ἵππων, χοριαμβικόν ἐστι καὶ τροχαϊκόν· οὐ γὰρ γίνεται τὸ τροχαϊκὸν ἐπίμικτον· ὁ δὲ χορίαμβος σύγκειται ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, ὡς ὁ δεύτερος στίχος· ἀλλὰ πρῶτον εἴπωμεν τὸν πρῶτον·

Ὡς ὁ πρόσθ' ἵππων ταννσθεὶς κεῖτο καὶ δίφρου.

τετράμετρον γάρ ἐστι τὸ μέτρον τοῦτο, καὶ τέσσαρας συζυγίας ἔχει, καὶ ἡ μὲν πρώτη συζυγία χοριάμβειός ἐστι, καθὼς ἐστίξαμεν, ἡ δὲ δευτέρα τροχαϊκὸν ἐπίμικτον, ἡ τρίτη τροχαϊκὸν καὶ καθαρὸν, ἡ τετάρτη συλλαβή ἐστιν ἀντὶ ποδὸς, καὶ λέγεται κατάληξις· οὐκοῦν χοριαμβικόν ἐστι τετράμετρον καταληκτικόν· εἰ δὲ τροχαϊκὸν ἐπίμικτον, οὐδὲν ἄτοπον· τέως δὲ ἐν τῇ τέχνῃ τοῦτο οὐ μεμαθήκαμεν. Ὁ δεύτερος στίχος χοριαμβικός ἐστιν· αἱματόες, χορεῖος· σῆς κόνις, ἄλλος χορεῖος· δεδραγμένος, ἐπίτριτος τρίτος, ὅτι δέχεται τὸ χοριαμβικὸν τὸν πόδα τοῦτον· βεβρυχὼς, καὶ αὕτη ἡ συζυγία ἐπίτριτός ἐστι καταληκτικὸς, συλλαβῆς λειπούσης· ἔστι δὲ τοῦτο ὁμοίως τετράμετρον [25] καταληκτικόν.

---

22 Mon. ῥοίδην. etiam in Par. 2. manu prima scriptum fuit ῥοίδην, sed correctum est. Par. 1. ῥύδην. 23 μακρὰς Mon. om. 24 Haec et sqq. usque ad litt. ξς'. ex Parr. recepi. — Il. *II.* 485. 25. Par. 1. τετραμμένον. Par. 2. τετρά-

Οἱ μὲν ἐπ᾽ ἄκραισι πυραῖς. Καὶ τοῦτο χοριαμβικόν ἐστιν ἐπίμικτον, μετὰ τροχαίων, λέγεται δὲ ἐπίμικτον, οὐ μὴν ἀλλὰ καὶ μικτόν· ἐπίμικτον μέν, ὅταν στίχος ἀπὸ χοριάμβου ἐστὶ καὶ ἰαμβικῆς συζυγίας, τουτέστιν ἀντίσπαστος, [26] ὡς Ἰώσηπος· μικτὸν δέ, ὡς Ὠριγένης, διότι ὁ χορεῖος ὁ ποῦς μικτός ἐστιν ἐκ τροχαίου καὶ ἰάμβου· ἐπίμικτον δὲ εἶπε, διότι γίνεται καὶ καθαρόν· καθαρὸν μέν, ὡς τοῦτο,

Ἐκ Κυθερείας ἐπιπνεῖτ᾽ ὄργια λευκωλένου.

ἐπίμικτον δὲ τοῦτο·

Δακρυόεσσά τε φίλησεν αἰχμήν.

Τούτους τοὺς πόδας δέχεται ἡ σεμνότης· σπονδεῖον, δάκτυλον, ἀνάπαιστον, κρητικόν, τὸν ἔχοντα τρεῖς μακρὰς, ἀμφίμακρον, ἐπίτριτον χωρὶς τοῦ τετάρτου, καὶ παίωνας ὧν οἱ κανόνες οὗτοι· πρῶτος ἐπίτριτος ἴων, δεχόμενος μίαν βραχεῖαν, καὶ τὰς ἑτέρας μακρὰς κατὰ τὴν λέξιν τῶν πολλῶν ἀλλαττομένης καὶ τῆς βραχείας, ὁ δεύτερος Ἡρακλείδης, ὁ τρίτος Δημοσθένης, ὁ τέταρτος Κωνσταντῖνος· τῶν δὲ παιώνων ὁ πρῶτος Γρηγόριος, ὁ δεύτερος Γεώργιος, ὁ τρίτος Θεόδωρος, ὁ τέταρτος Θεοφάνης· ὁ κρητικὸς Ἀτρείδης.

Περὶ διαφορᾶς μέτρων.

Τρισύλλαβα ὀκτώ· ὁ δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν τετράχρονος, οἷον ἥλιος· ἀνάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς τετράχρονος, οἷον πολέμῳ· ἀμφίμακρος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς πεντάχρονος, οἷον ἡγεμών· ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας τετράχρονος, οἷον βοηθός· βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν πεντάχρονος· οἷον νοήμων· παλίμβάκχειος ἐκ δύο μακρῶν καὶ βραχείας πεντάχρονος, οἷον Ἥφαιστος· χορεῖος ἐκ τριῶν βραχειῶν τρίχρονος, οἷον

μετρον. 26 Par. ἀντίπαιστος. scr. ἀντίσπαστος.

Ἕλενος· μολοττὸς ἐκ τριῶν μακρῶν, ἑξάχρονος, οἷον Ἡρώδης. Τετρασύλλαβα ἑκκαίδεκα· προκελευσματικὸς ἐκ τεσσάρων βραχειῶν τετράχρονος, οἷον φιλόσοφος· παίων πρῶτος ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν πεντάχρονος, οἷον Στησίχορος· παίων δεύτερος ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν πεντάχρονος, οἷον ἐπείγετε· ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ βραχειῶν δύο ἑξάχρονος, οἷον Δημήτριος· ἰωνικὸς ἀπ' ἐλάσσονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν ἑξάχρονος, οἷον Ἀλέξανδρος· διάμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἑξάχρονος, οἷον Ἀνακρέων· διτροχαῖος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας ἑξάχρονος, οἷον Ἀρχέδημος· ἐπίτριτος πρῶτος ἐκ βραχείας καὶ τριῶν βραχειῶν, ἑπτάχρονος, οἷον Ἀριστείδης· ἐπίτριτος δεύτερος ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν ἑπτάχρονος, οἷον Εὐρυμήδης· ἐπίτριτος τρίτος ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς ἑπτάχρονος, οἷον Δημοσθένης· ἐπίτριτος τέταρτος ἐκ τριῶν μακρῶν καὶ βραχείας ἑπτάχρονος, οἷον Καλλίξεινος· δισπόνδειος, ἐκ τεσσάρων μακρῶν ὀκτάχρονος, οἷον Ἡρακλείδης. Δισύλλαβα, σπονδεῖος ἐκ δύο μακρῶν, οἷον ἀρχή· ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς, οἷον ἀήρ· τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας, οἷον οὖλος· πυρρίχιος [27] ἐκ δύο βραχειῶν, οἷον λόγος.

Πόδες εἰσὶν εἰς τὸ κῶλον ἢ τὸ κόμμα ἑπτακαίδεκα· δισύλλαβοι τρεῖς· σπονδεῖος ἐκ δύο μακρῶν, τετράχρονος, οἷον Ἥρη· ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς, τρίχρονος, οἷον Σόλων· τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας τρίχρονος, οἷον δῆμος. Τρισύλλαβοι ἕξ· δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν τετράχρονος, οἷον ἥλιος· ἀνάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς τετράχρονος, οἷον πολέμῳ· βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν πεντάχρονος, οἷον νοήμων· παλιμβάκχειος ἐκ δύο μακρῶν καὶ

27 Par. πυρρίχος. et v. 32. παλιβάκχ.

βραχείας πεντάχρονος, οἷον Ἥφαιστος· ἀμφίμακρος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς πεντάχρονος, οἷον ἡγεμών· ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας τετράχρονος, οἷον ὄνησις. Τετρασύλλαβοι ὀκτώ· παίων πρῶτος ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν πεντάχρονος, οἷον Στησίχορος· παίων δεύτερος ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς πεντάχρονος, οἷον Ἐπιγένης· ἰωνικὸς ἀπ' ἐλάσσονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν ἑξάχρονος, οἷον Διομήδης· ἐπίτριτος πρῶτος ἐκ βραχείας καὶ τριῶν μακρῶν ἑπτάχρονος, οἷον Ἀριστείδης· ἐπίτριτος δεύτερος ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν ἑπτάχρονος, οἷον Εὐρυμέδων· ἐπίτριτος τρίτος ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς ἑπτάχρονος, οἷον Δημοσθένης· διίαμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἑπτάχρονος, οἷον Ἀνακρέων· δισπόνδειος ἐκ τεσσάρων μακρῶν, οἷον Ἡρακλείδης.

ξς'. Ὃ λέγει τοιοῦτόν ἐστι· πόδας προεῖπεν ἁρμόττοντας τῇ σεμνότητι ὑπάρχειν τοὺς ἐπιτρίτους, τὸν σπονδεῖον, τὸν δάκτυλον, καὶ τοὺς προειρημένους· δεῖ οὖν, φησὶν, εἰς τοὺς μακροκαταλήκτους ἀναπαύειν καὶ ἱστάναι τὸν λόγον καὶ μετὰ τὴν ἀνάπαυσιν τοῦ προτέρου κώλου ἄρχεσθαι καὶ ἄλλου κώλου ἐκ τῶν ἁρμοττόντων τῇ σεμνότητι ποδῶν, οἷον δακτύλων ἢ σπονδείων, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος [28] εἰπών, „φύσει καὶ νόμοις διῳκεῖται·“ καὶ ἀναπαύσας τὸ κῶλον ἐπιτρίτῳ ποδὶ ἤρξατο ἄλλου κώλου ἀπὸ σπονδείου, οἷον· „τούτων δ' ἡ μὲν φύσις, ἂν ᾖ πονηρά, πολλάκις φαῦλον βούλεται, διόπερ τοὺς τοιούτους πλεῖστα ἐξαμαρτάνοντας εὑρήσετε, οἱ δὲ τὸ δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον βούλονται.“

28 p. 774.

Cap. VII.

Περὶ τραχύτητος.

ά. Μετὰ τὸν περὶ σεμνότητος λόγον ἀναγκαῖον εἰπεῖν καὶ περὶ τραχύτητος· ποιεῖ γὰρ καὶ αὕτη μέγεθος λόγου καὶ ὄγκον, ἥτις καὶ καθ' ἑαυτὴν θεωρεῖται, καθὰ καὶ ἡ σεμνότης, πλὴν ὥσπερ καὶ ἡ λαμπρότης ἑτέρᾳ τινὶ τῶν ἰδεῶν ὑποβεβηκέναι δοκεῖ.

β. Ἄξιον [1] ζητῆσαι, διὰ ποίαν αἰτίαν δευτέραν κατὰ τάξιν τῶν ἰδεῶν τῶν ποιουσῶν τὸ μέγεθος τὴν περιβολὴν εἰπὼν οὐχὶ δευτέραν αὐτῆς καὶ τὴν διδασκαλίαν εἶπε· [2] λέγομεν οὖν, ὅτι αὐτὸς ἀνωτέρω φησὶν, ὅτι οὐχ οἷόν τε αὐτὴν σαφῶς γνῶναι τὸν μὴ πρότερον γνόντα, τί τραχύτης καὶ τί λαμπρότης καὶ τὰ ἑξῆς.

γ. Ἄμφω γὰρ, ἥ τε τραχύτης καὶ ἡ λαμπρότης καὶ τὰ ἑξῆς, τὴν ἀκμὴν ἀπεργάζονται, οὐ μὴν ἅπασί γε, δι' ὧν γίνονται, ὑποβεβήκασι, ἐννοίᾳ, μεθόδῳ, λέξει καὶ τοῖς λοιποῖς· διὰ δὴ καὶ χωρὶς ἑκάστην αὐτῶν τέθεικεν.

δ. Εἰ γὰρ κατὰ πάντα τῆς ἀκμῆς ἦσαν ἀπεργαστικὰ, εἰ καὶ μηδὲν εἶχον ἴδιον, τί τὸ κωλύον ὑπὸ τὴν ἀκμὴν αὐτὰς ἀγαγεῖν, καθὰ τὴν καθαρότητα καὶ τὴν εὐκρίνειαν ὑπὸ τὴν σαφήνειαν; ἀλλ' ἐπειδὴ καὶ [3] καθ'

---

1 Ἄξιον ζητῆσαι, Sicel., in quo est litt. β'., om. Schol. min. Καθ' ἑαυτάς· χωρὶς ἑτέρας ἰδέας, διῃρημένως. Ἐργαστικαί· ἀποτελοῦσι ταύτην. Ὑποβεβηκυῖαι· ὡσανεὶ δὴ αὐτῆς οὖσαι. Ἐν ἅπασιν· οὐ διὰ πάντων τῶν μερῶν. ib. ὅτι ἡ τραχύτης ἐννοίᾳ καὶ λέξει ὑποβέβηκε τῆς ἀκμῆς, ἡ δὲ λαμπρότης σχήμασι καὶ κώλοις. Περὶ ἑκάστης λέγομεν αὐτῶν· τῆς τραχύτητος δηλονότι καὶ τῆς ἀκμῆς. Διὰ τούτων. τῆς τραχύτητος καὶ λαμπρότητος. Ὁ γὰρ τραχὺς λόγος· γίνεται γὰρ, ὅταν τις τοῖς δικασταῖς ἐπιτιμᾷ. 2 Sicel. ποιεῖται, λέγει οὖν τὴν λύσιν τῆς ἀπορίας ἀνωτέρω αὐτὸς, ὅτι οὐχ οἷόν τε κ. τ λ. 3 καὶ Mon. om. est in Parr.

Osiris Neferhôtep, all one of the high functionaries of [illegible] of Amon. He who speaks with the [illegible] of Amon, Neferhôtep, he says: I am a man who loves his lord, who loves the [illegible] of Amon, who loves the [illegible] of Amon, who loves the [illegible] of Amon

νικὴν ἰδέαν ἀνάγεται, τὴν καλουμένην ἦθος, ἣν πέμπτην τάττει τῶν πασῶν ἰδεῶν οὐσῶν ἑπτά. [7]

ή. Ἡ μὲν ἐπιστολὴ περὶ ἀφέσεως ἐπιγέγραπται, ἐν ᾗ γέγραπται, ὅτε Ἀριστογείτων μὲν ἀφείθη, αὐτὸς δὲ οὔ· ἔφυγε γὰρ ἐπὶ τοῖς Ἀρπαλείοις χρήμασιν· ἐπιγράφεται δὲ καὶ περὶ τῶν Λυκούργου παίδων· ὁ δὲ νοῦς, εἰ δὲ ἐνθυμεῖσθε τὴν ἐξ Ἀρείου πάγου βουλήν, ἀναμνησθέντες, ὅτι Ἀριστογείτονα [8] ἐκρίνατε ἀφεθῆναι, ἐγκαλύψασθε.

ϑ'. Ἐπειδὴ οὐκ εἶπεν, ὑμεῖς τὸ [9] πρᾶγμα ποιεῖτε, ἀλλὰ καθολικῶς ἐχρήσατο τῷ ἀνθρώπων, διὰ τοῦτο ἐγένετο λεῖος ὁ λόγος, ὡς τῶν ἐχόντων τὸ εἰδικὸν μόνον ὄντων τραχέων.

ί. Ἄριστος [10] γὰρ τεχνίτης ὁ ῥήτωρ περὶ λόγων πολιτικῶν ἐπιστήμην γεγονὼς πανταχοῦ φυλάττειν ἐπείγετο τὸ μέτρον καὶ ἀκράτῳ μὲν τῇ κατ' ἔννοιαν τραχύτητι σπανίως κέχρηται, ὑφειμένας δὲ καὶ λειοτέρας ἀεὶ τὰς τοιαύτας ἐννοίας τῇ συμπλοκῇ τῶν μεθόδων ἀπεργάζεται. [11] — Συκοφαντουμένοις τε τοῖς Λυκούργου [12] παι-

---

7 Litt. ζ'. vide Vol. V. p. 494. v. 23—p. 495. v. 4 8 Mon. Ἀριστογείτων ἐκρίνατο. — Ep. III. p. 1485. 9 Ὑμεῖς τὸ πρᾶγμα — — — διὰ τοῦτο Mon. om. 10 Ven. caput inchoat in hac litt.: Δυσχερὲς δὲ παρὰ Δημοσθένει καθαρὰν εὑρεῖν τραχύτητα. 11 Litt. ιά., ιβ'. et primam partem litterae ιγ'. vide Vol. V. p. 495. v. 12—p. 496. v. 11. Schol. min. Θεωρικά· θεωρίας ἐποίουν ἐν ταῖς ἑορταῖς, οἷον ἱπποδρομίας τινὰς καὶ τοιαῦτά τινα, ἐν αἷς χρείαν εἶχον βοῶν. Γενναίων· οὐκ εἶπεν ὑμεῖς, ἀλλὰ γενναίων ἀνθρώπων, καὶ ἀπέδωκε τοῦτο πρὸς τὸ κοινόν. ib. τὸ παντάπασιν ἐκλελύσθαι, οὐ τὸ οὕτοι σωφρόνων. Τελευταῖα ταυτί· τῶν κώλων, τὸ εὐχερὲς τὰ ὀνείδη φέρειν. Πρῶτα τὰ ἄνω ῥηθέντα. Ἐφιλοτιμήθημεν· ἀντὶ τοῦ ἐσπουδάσαμεν. Ἐπιστολαῖς· τὰς Δημοσθένους ἐπιστολὰς λέγει ἤγουν λόγους. Τῷ τοιούτῳ· τῷ ἀδωροδοκήτῳ ἐξορίζοντές με. ib. ἀντὶ τοῦ ἐμοὶ, δηλονότι τῷ Δημοσθένει. Τραχὺ μέν· κατὰ μείζονος

σὶν ὑπὸ Μενεσαίχμου προθύμως ἐπικουρῶν καὶ τὴν ἑαυτοῦ κάθοδον πρυτανευόμενος· Ἀθηναίοις δὲ πρεσβευομένοις πρὸς Ἀργείους περὶ συμμαχίας ἄριστα συνεῖπεν, οὐδεμίαν τῶν λυπησάντων φροντίδα ποιησάμενος· ἐφ' ᾧ δὴ καὶ θαυμάσαντες αὐτὸν Ἀθηναῖοι [13] κατελθεῖν ἐψηφίσαντο, καὶ τὸν ἐν Πειραιεῖ τοῦ σωτῆρος Διὸς βωμὸν ἐξεμίσθωσαν αὐτῷ [14] πεντήκοντα ταλάντων, ἅπερ ἦσαν αὐτῷ τιμήσαντες ἐπὶ τῇ φυγῇ, οὐχ ὅτι τοσούτων ἄξιον ἦν τὸ ἔργον, ἀλλὰ μεταγνόντες ἐπὶ τῷ μεγέθει τῆς ζημίας· κωμῳδεῖ δὲ αὐτὸν Τιμοκλῆς ἐπὶ τοῖς Ἁρπαλείοις [15] λέγων·

Δημοσθένης τάλαντα πεντήκοντ' ἔχει;
Μακάριος, εἴπερ μεταδίδωσι μηδενί,

γὰρ εἴρηται τῶν ἐκκλησιαστῶν. Μεθοδευθέν· ἀντὶ τε τοῦ λειωθέν. [f. τοῦ τελειωθέν.] Συμπλακέν· τῷ εἰπεῖν. Τῷ πρὸ αὐτοῦ· τῷ τοιούτῳ καὶ οὐκ ἐμοί. Τῷ ἦν· ἦντινα ἀγνωμοσύνην ἐν μεταμελείᾳ γενόμενοι λύσεως. Ὦ τί ἄν· καὶ ταῦτα ἐν τῇ περὶ ἀφέσεως ἐπιστολῇ κεῖται οὕτως· οἵτινες, ὦ τί ἂν εἰπὼν μήτι ἁμαρτεῖν δοκοίην καὶ τὰ ἑξῆς. Τοιοῦτόν ἐστιν· τὸ ὦ τί ἂν εἰπὼν, μὴ ἁμαρτεῖν δοκοίην. Διαπόρησιν· τὴν ἐκ τῆς τελειότητός φησι· διαπορουῦντος γὰρ τὸ, ὦ τί ἂν εἰπών. Καθαρῶς δέ· ἵνα μὴ ὦσι παντάπασι τραχέα. Σημείωσαι, ὅτι δυσχερὲς εὑρεῖν παρὰ τῷ ῥήτορι καθαρὰν τραχύτητα. Ὁ δὲ Ἀριστογείτων· Ἀριστογείτονά φησι, καθ' οὗ γράφει ὁ Δημοσθένης τοὺς λόγους. Ψιλῶς· γυμνῶς, ἀναφανδόν. Κατ' ἐπιτίμησιν· ἀντὶ τοῦ οὐκ αἰσχύνεσθε. Μὴ ἄλλως πως· τουτέστι μὴ μετὰ παραμυθίας. Μικρῷ πρότερον· τὸ εἰπεῖν, τὸν ἐγκέφαλον ἐν κροτάφοις καὶ τὰ ἑξῆς. ib. ὡς καὶ πολλὰς φθάσας ἔφη ἐν τῇ ἐννοίᾳ ταύτης τῆς ἰδέας. — Litt. ιγ'. et ιδ'. recepit Sicel. primam sine nomine auctoris. Ven. post litt. ι. transit ad ιγ'. ἐπὶ τούτοις Δημοσθένην ἐκβεβηκότες. Ζητήσεως περὶ τῶν Ἁρπαλείων κ. τ. λ. Vol. V. p. 496. v. 3—11. 12 Ven. Sicel. Par. 2. add. τοῦ ῥήτορος. 13 Sicel. supra lineam: ὅτι οὐκ ἐμνησικάκησεν. 14 Sicel. αὐτοῦ. 15 Sicel. ἁρπαλίοις. paullo post. Codd. πεντήκοντα.

ιδ'. Διαφέρει [16] ἡ σφοδρότης τῆς τραχύτητος, ὅτι ἡ μὲν τραχύτης ἐπὶ μειζόνων προσώπων, ἡ δὲ σφοδρότης ἐπὶ τῶν ἰσοτίμων,

ιέ. Αἱ γὰρ τοιαῦται ἔννοιαι, εἰ μὴ μεθοδευθῶσιν ἀπαρακαλύπτως τάχα ἂν πάντα μᾶλλον οὖσαι φανεῖεν ἢ τραχεῖαι. — Ἐστραμμένη [17] μέν ἐστιν ἡ κατά τινα τροπὴν καὶ μεταφορὰν λεχθεῖσα· σκληρὰ δέ, ἥτις καὶ τῇ συνθέσει τῶν στοιχείων κατὰ [18] τὴν προφορὰν τραχύνει τὴν ἀκοήν, ὡς τὸ δαρδάπτων. Διαφέρει δὲ [19] τῆς τραχείας λέξεως ἡ σκληρὰ, τῷ [20] τὴν μὲν, ὡς ἔφαμεν, καὶ κατ' αὐτὴν τὴν προφορὰν φαίνεσθαι τοιαύτην, τὴν δὲ τραχεῖαν ἐκ μόνης τῆς μεταφορᾶς ἐμφαίνειν τὸ τραχύ, ὡς τό· περικόπτων καὶ λωποδυτῶν τὴν Ἑλλάδα. [21]

ις'. Ἡ γὰρ τοιαύτη πρὸς ἄλληλα μίξις ἐποίησε τὰς λέξεις σκληρὰς, οἷον τὸ ἀταρπός· τὸ γὰρ π καὶ τὸ ρ ἐπενεχθὲν βεβιασμένην ἐποίησε [22] κ. τ. λ. T. V. p. 496, v. 19— p. 497. v. 2. Ἔχει δέ τι τοιοῦτον καὶ τὸ ἐκνενευρισμένοι καὶ τὸ περικόπτων, εἰ καὶ μὴ τοσοῦτον, ὅσον αἱ προει-

16 Sicel. διαφ. ἡ τραχύτης τῆς σφοδρότητος. Par. 1, repetit haec inter schol. min. 17 Ven. Λέξις δὲ τραχεῖα ἡ τετραμμένη καὶ ἐφ' ἑαυτῆς σκληρά. Τετραμμένη [Par. ἐστραμμένη] μὲν κ. τ. λ. — — — λωποδυτῶν τὴν Ἑλλάδα. Mon. haec non habet, recepi ex Par. sunt etiam apud Sicel. sub nomine; Συριανοῦ καὶ τῶν λοιπῶν. 18 Ven. κατ' αὐτὴν τὴν προφ. 19 Par. 2. γάρ. 20 Par. 1, τό, Par. 2, Ven. Sicel. τῷ. 21 Phil. III. p. 116. 22 Par. 1, ἔχει. — v. 24. T. VII. κάτω κλωμένου. — v. 23. T. VII. τὸ π'., ἀλλ' ἀνάγκη. — v. 25. T. VII. πρωτεύοντος. — v. 27. Par. 2. Mon. τὸ π'. Par. 1. ἅμα τῷ π'. — Schol. min. Διωρυγμένοι· ἐπὶ κλεπτῶν γὰρ λέγει. ibid. ἀντὶ τοῦ, κατὰ τοῦτο αὐτὸ, ἐὰν λάβῃς αὐτὸ, ἐστὶ τραχὺ, εἰ δὲ, ὡς ἀπὸ τοῦ Τιμοθέου, οὐκ ἔστι τραχὺ, διὰ τὸ ληφθῆναι ὡς παράδειγμα. Ἀριστογείτονος· ἐν ἐπιστολῇ. Ὀλύνθιοι μέν· ἐν τῷ πρὸς Λεπτίνην. Ὁρᾶτε· ἐν Φιλιππικοῖς. Εἰ γὰρ ἀφέλοι· τὸ ἀπερικαλύπτως.

ρημέναι· τὸ γὰρ περικόπτων οὐ τοσοῦτον σκληρὸν, ὅσον τὸ ἔμαρπτεν· οὐ γὰρ ἔχει τὸ ρ πρὸ τοῦ π· τὸ δὲ ἐκνενευρισμένοι μάλιστα τῷ πολλῷ μέρει φεύγει τὴν τραχύτητα διὰ τὴν τῶν φωνηέντων μεταβολήν.

ιζ. Τοῦ Τιμοθέου· οὐ γὰρ ἑαυτῷ περιτίθησιν ἐνταῦθα τὴν ἐρώτησιν, ἀλλὰ Τιμοθέῳ τῷ στρατηγῷ.

Ὁ Δημοσθένης [23] παρήνει Ἀθηναίοις, φυλάττεσθαι τὸν Φίλιππον, καὶ μὴ τοῖς λόγοις αὐτοῦ προσέχειν μάλιστα· οὗτος γὰρ ὁ Φίλιππος λόγοις εἰρήνης ἀναφανδὸν χρώμενος τὰ τοῦ πολέμου λάθρα κατειργάζετο, ὅθεν παραινῶν τοῖς Ἀθηναίοις διαναστῆναι παραδείγματι τοῖς Ὀλυνθίοις [24] ἐχρήσατο· ἐκεῖνοι γὰρ τοῖς τοῦ Φιλίππου λόγοις πιστεύσαντες ὡς αὐτοῦ φίλοι δοκοῦντες εἶναι μικρὸν ὕστερον ὑπ' αὐτοῦ ἀπώλοντο· τούτῳ [25] οὖν τῷ τοῦ Δημοσθένους ὁ Ἑρμογένης ὡς τραχύτητος ἐχρήσατο παραδείγματι, καὶ φησιν οὕτως, ὅτι τὸ τοῦ Δημοσθένους ῥητὸν, τὸ φάσκον, οὐχ ὁρᾶτε, ὡς ἐναργὲς καὶ σαφὲς τούτων παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι, ᾧπερ ὁ Δημοσθένης εἰς τὸ διεγεῖραι τοὺς Ἀθηναίους παραδείγματι ἐχρήσατο τούτου τοῦ ῥητοῦ, εἰ καὶ τῆς ἐννοίας ἀφέλης τὴν μέθοδον, μέθοδος ἂν εἴη ἐννοίας ἡ πρὸς τοὺς Ἀθηναίους ἀποστροφὴ καὶ ὁ ἔλεγχος, καὶ εἰ ἀφέλῃς τὸ εἶναι παράδειγμα αὐτὸ τοῦ Δημοσθένους πρὸς τοὺς Ἀθηναίους, λογίσῃ δὲ αὐτὸν τυχὸν τὸν Δημοσθένην ἢ ἄλλον τινὰ, ὡς ἀπ' ἄλλου προσώπου ῥηθὲν τοὺς Ἀθηναίους ἀναμιμνήσκοντα, σφόδρα ἔσται τραχύ.

ιή. Ἴδια [26] μὲν σχήματα τραχύτητος τὰ προστακτικὰ καὶ ἐλεγκτικά· οὐ μέντοι καὶ τῶν ἄλλων ἀμοιρεῖ [27] σχημάτων, οἷον ἀποσιωπήσεως καὶ ὑποσιωπήσεως, ἀλλὰ κατὰ πρῶτον μὲν λόγον ἐξ ἐκείνου γνωρίζεται, κατὰ δεύ-

23 Ὁ Δημοσθένης παρήνει — — — σφόδρα ἔσται τραχὺ ex Parr. recepi. 24 Par. 1. Ἀθηναίοις. 25 Codd. τοῦτο οὖν τό. 26 Litt. ιή est apud Sicel. 27 Sicel. ἀπορεῖ.

τερον δὲ λόγον καὶ τὰ ἄλλα δέχεται· ἐνδέχεται γὰρ τραχείᾳ χρώμενον ἐννοίᾳ σχήματι [28] χρήσασθαι ἄλλης ἰδέας.

ιθ'. Ἀνοίκειοι καὶ ἀνακόλουθοί εἰσι πόδες οἱ μὴ συγγενεῖς ἀλλήλοις, οἷον πυρρίχιος καὶ σπονδεῖος, ἴαμβος καὶ ἰωνικὸς ἀπὸ ἐλάσσονος· οὐδεμίαν γὰρ συγγένειαν ἔχουσι πρὸς ἀλλήλους, οἵαν ἔχει δάκτυλος τυχὸν πρὸς ἀνάπαιστον, καὶ πρὸς δάκτυλον σπονδεῖος.

Cap. VIII.

Περὶ σφοδρότητος.

ά. Ἔποιτο [1] ἂν κατὰ ἀναγκαῖον λόγον ἡ σφοδρότης τῇ τραχύτητι, ἅτε καὶ κοινωνοῦσα τῇ προεξητασμένῃ, καὶ τοσοῦτον, ὥστε κατά γε ἐνίους ταὐτὸν εἶναι δοκεῖν καὶ κατὰ μηδὲν διαλλάττειν τραχύτητος, τὴν δὲ κοινωνίαν αὐτῶν καὶ τὴν ἐξαλλαγὴν, ἔνθα μάλιστα πλατύνει τὸν περὶ αὐτῆς λόγον ὁ τεχνικὸς, ἐπ' αὐτῆς ἤδη τῆς διδασκαλίας εἰσόμεθα.

β'. Διὰ τὸ κατὰ ἐλαττόνων εἶναι προσώπων καὶ καθ' ὧν [2] ἄν οἱ ἀκούοντες ἡδέως δέξαιντο· [3] ἐν γὰρ τῇ τραχύτητι λειαίνειν καὶ περιστέλλειν δεῖ τὴν ἐπιτίμησιν, ἐπειδὴ κατὰ μειζόνων γίνεται προσώπων.

γ'. Εἰ γὰρ μὴ προσδέχονται μετὰ ῥᾳστώνης, οὐκ ἔχει χώραν [4] ἐπὶ τῆς σφοδρότητος ἡ κατὰ μειζόνων ἐπιτίμησις.

---

28 Mon. Par. Sicel. σχήματα. scr. σχήματι. — Schol. min. Σφοδρότητι ἐναντίον· ἡ ἐπιείκεια ὑπὸ τὸ ἦθος ἀνάγεται.

1 Mon. ἔπειτα. 2 Mon. καθ' ὅν. 3 Par. δέξωνται. Par. 2. Mon. δέξαιντο. 4 χώραν Mon. om. Ὁ κοινὸς τόπος φανερὰς ἔχει τὰς λοιδορίας, καὶ κατὰ προσώπων τινῶν δια-

42. Die Stämme der israelitischen Völker, Berlin, Reimer, Hannover, Schmidt & Klaunig, 1885 (2. Auflage, Berlin, Reimer, 1887; 3. Auflage, Berlin, Reimer, 1889; 4. Auflage, Berlin, Reimer, 1892).

43. Israel, Jahrbücher f. d. Lehre u. Leben d. Juden, 1. Jahrgang, 1. Heft, Berlin, Reimer, 1887.

44. Die Israeliten zu Mekka von der Zeit Muhammeds, Berlin, Reimer, 1889.

45. Die Ehe bei den Arabern, Göttingen, Dieterich, 1893.

46. Das Gemeinwesen von Medina, Abhandlungen der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, Neue Folge, Band II, Nr. 4, Berlin, Weidmann, 1899.

47. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1893, S. 431–463, und 1895, S. 64–100. Separatabdruck mit Zusätzen und mit der Fortsetzung bis zum Ende des Islam, Berlin, Weidmann, 1897.

48. Reste arabischen Heidentumes gesammelt aus den Schriftstellern und Steindenkmälern, 1. Auflage, Berlin, Reimer, 1887; 2. Auflage, Berlin, Reimer, 1897.

49. Prolegomena zur ältesten Geschichte des Islam, Berlin, Reimer, 1899.

50. Muhammed in Medina, Berlin, Reimer, 1882.

51. Das arabische Reich und sein Sturz, Berlin, Reimer, 1902.

52. Skizzen und Vorarbeiten, Heft 1, Berlin, Reimer, 1884; Heft 2, Berlin, Reimer, 1885; Heft 3, Berlin, Reimer, 1887; Heft 4, Berlin, Reimer, 1889; Heft 5, Berlin, Reimer, 1889; Heft 6, Berlin, Reimer, 1899.

53. Das Kitâb al-Aghânî als Quelle für die älteste Geschichte, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1901, S. 414–447.

54. Die religiös-politischen Oppositionsparteien im alten Islam, Abhandlungen der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, Neue Folge, Band V, Nr. 2, Berlin, Weidmann, 1901.

55. Das Kitâb al-Aghânî, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 75–111.

56. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 169–214.

57. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 215–248.

58. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 249–268.

59. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 269–291.

60. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 292–318.

61. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 319–344.

62. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 345–368.

63. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 369–392.

64. Die Ehe bei den Arabern, Nachrichten von der Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, 1902, S. 393–416.

βαλλομένους ἐλπίδα." ἡ γὰρ λέξις μετρίως ἐμφαίνουσα τὴν τροπικὴν σεμνὸν ἐποίησε τὸν λόγον.

λγ΄. Παχύτερον,[27] ἀνοητότερον· παχεῖς γὰρ ἐκάλουν τοὺς ἀναισθήτους καὶ ὑώδεις, ὥσπερ λεπτοὺς τοὺς ἀκριβεῖς τε καὶ ὀξεῖς· καὶ λόγος οὖν παχύτερος ὁ ἀκύρως τε καὶ μὴ ἐναργῶς συγκείμενος· τὸ δὲ εὐτελέστερον ἀντὶ τοῦ ἰδιωτικὸν, ἄμεινον[28] δὲ ἀσαφέστερον.

λδ΄. Ὑπόξυλα[29] κυρίως ἀγάλματα καλεῖται, ὅσα ἀκρόλιθα ὄντα ἔμφασιν μὲν παρέχει τοῖς πόρρωθεν ὁρῶσιν, ὡς λίθινα ὄντα, ἔστιν δὲ πλὴν τῶν ἄκρων ξύλινα· εἰκότως οὖν καὶ τοὺς ταῖς ψυχροτέραις τροπαῖς χρωμένους ὑποξύλους ἐκάλεσεν, ὡς δοκοῦντας μὲν σεμνόν τι λέγειν, πόρρω δὲ σεμνότητος τῆς κατὰ λέξιν ἑστῶτας.

λέ. Φρύνιχος ἐν[30] τῇ σοφιστικῇ παρασκευῇ παρατίθεται τὸ ὑπὸ ξύλου ῥήτωρ καὶ ποιητής· εἴρηται δὲ, φησὶν, μεταφορικῶς ἀπὸ τῶν ἐκ ξύλων σκευῶν, οἷς[31] ἐπιπολῆς[32] ἐπελήλαται ἄργυρος· κεῖται δὲ κ. τ. λ. Vol. V. p. 486. v. 8 — 15.

λς΄. Τὸ παράδειγμα τῆς τοιαύτης λέξεως παραθέσθαι βουλόμενος ἐπὶ τοὺς ὑποξύλους κατ' αὐτὸν φάναι τὸν τεχνικὸν ἐτράπη σοφιστάς. Δημοσθενικὸν γὰρ ἐπὶ τῶν τοιούτων οὐκ ἂν λάβοις παράδειγμα.[33]

---

27 Mon. ταχύτερον. Ven. Περαιτέρω δὲ τούτων εἰ προέλθοιεν, καὶ παχύτερον αὐτὸν ποιοῦσιν, ἀντὶ τοῦ ἀνοητ. — — ἐναργῶς συγκείμενος. tum transit ad litt. λζ΄. 28 Mon. ἄμειψον. 29 Mon. τὰ ξύλα. Ven. post litt. λζ΄. Παρὰ δὲ τοῖς ὑποξύλοις τούτοισι σοφισταῖς. 30 ἐν et παρασκευῇ Mon. om. 31 Par. 1. ἧς. 32 Mon. οἷς ἐπὶ πολλῆς ἐπελήλατο ἄργος. correxi ex Par. 1. 33 Sequitur in Par. ad: δωροδοκούντων καὶ τὰ ἑξῆς, ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· [p. 240] ὅτε γὰρ περιῖὼν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, αἱ πόλεις ἑνάσουν, τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν τὰ μὲν

Mem. Count de Lacépède. Obs. sur l'Anatomie de quelques Poissons. Ann. du Museum d'Hist. Nat. tom. 1. p. 291. Cuvier, Leçons d'Anat. Comp. tom. 4. p. 437. Cuvier, Règne Animal, tom. 2. p. 406.

The Sturgeon, the Eel of the Ancients, the Silurus of Linnæus, the Acipenser of Artedi, Gronovius, Gmelin, Bloch, Lacépède, Cuvier, Shaw, Donovan, Turton, Pennant, Latham, Walbaum, Bonnaterre, Schneider

δ'. Ἐδίδαξεν, ὅτι αἱ ἰδέαι καὶ καθ' ἑαυτὰς δείκνυνται καὶ κεχωρισμέναι τῶν ἄλλων, καὶ πάλιν συμπλέκονται· τοῦτο οὖν ἐνταῦθά φησιν, ὅτι τῆς λαμπρότητος τῆς ἐν τῷ κάλλει οὐ δεῖται τὸ μέγεθος, ὅταν αὐτὸ καθ' ἑαυτὸ γνωρίζηται, καὶ τῶν ἄλλων ἰδεῶν κεχωρισμένον [6] φαίνηται, λεπτὴ μὲν γὰρ ἡ φαιδρότης ἐκείνη, ἡ δὲ τοῦ μεγέθους ἔχει δίαρμα· ἐν δὲ τῇ μίξει μετέχει δηλονότι κἀκείνης.

ε. Τουτέστι τῆς γοργότητος, ἥ τις οὖσα ἐναντία τῇ λαμπρότητι τοῖς κομματικοῖς χαίρει.

ς'. Ἐπειδὴ ἐν τῷ περὶ σεμνότητος τετάρτην ἐπέχειν τάξιν ἔφη τὰς ἐννοίας, αἳ περὶ ἀνθρωπίνων πραγμάτων, μεγάλων δὲ καὶ ἐνδόξων, διὰ τοῦτο νῦν φησιν, ὅτι ἐπὶ τούτοις ἐστὶ καὶ ἡ λαμπρότης, οἷον τοῖς διαπρεπέσι καὶ ἐνδόξοις· διαφέρει δὲ ἡ τετάρτη κ. τ. λ. Vol. V. p. 500. v. 6—15.

ή. Αἱ γὰρ ὑποστροφαὶ καὶ αἱ διακοπαὶ τὰς ἐννοίας οὐκ ἐῶσι φαίνεσθαι φαιδράς, κἂν ὦσιν ἄγαν πρὸς τῆς μεθόδου λαμπραί· ἡ γὰρ τοιαύτη μέθοδος ἀφανίζει τὴν ἔλλαμψιν [7] κατ' αὐτὸν φάναι τὸν Ἡρόδοτον. [8]

ι. Ἔνδοξον μὲν [9] τὸ παράδειγμα, πλὴν ἐνδοξοτέρως λέλεκται· εἰ γὰρ μὴ ἐμεθώδευσεν αὐτὸ λαμπροτέρως, φησὶν, ἢ κατὰ τὴν ἔννοιαν, οὕτως ἂν ἔλεγεν· „καλῶς οὖν συνεβούλευσας κινδυνεύειν ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων, οὕτω γὰρ ἐποίουν καὶ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες·“ ὁ δὲ σφόδρα θαυμασίως εἰς ὅρκον αὐτὸ ἀναγαγὼν ἐνδοξότερον αὐτὸ ἐποίησε καὶ λαμπρόν.

ια. Αἱ πλατεῖαι καὶ διογκοῦσαι τὸ στόμα καὶ ἐξαιρέτως τῷ α καὶ τῷ ω πλείστῳ χρώμεναι, καὶ αὖ ταῖς δι-

6 Post κεχωρ. Mon. repetit: τῶν ἄλλων. 7 respicit ad ἐλλάμψασθαι Herod. I. 32. 8 Litt. θ'. vide Vol. V. p. 500. v. 17—22. 9 Mon. καὶ γάρ. Par. 2. μὲν γάρ. Par. 1. γὰρ om.

φθόγγοις πλεονάζουσαι πλὴν τῆς ει, καὶ αἱ μετρίως τετραμμέναι καὶ ὀνομαστικαὶ καὶ αὐτὰ τὰ ὀνόματα.

ιβ'. Τοῦτο γὰρ ἴδιον [10] εἶναί φησιν εὐκρινείας, ἔννοιαν λέγω· ἰστέον δὲ, ὅτι θεώρημα λαμπρότητος κάλλιστον ἡμῖν παραδίδωσι πρὸς τὰς καταστάσεις· ὅταν γὰρ καταστατικῶς εἰσάγωμεν τὸν λόγον τῷ κατ' ὀρθότητα [11] καὶ ἀπόστασιν σχήματι κεχρημένοι, ἀναγκαῖον εὐθὺς ἢ πλαγιασμὸν ἢ ἄλλο τι τῶν τῆς περιβολῆς σχημάτων συμπλέκειν τῷ λόγῳ, εἴπερ τὴν λαμπρότητα βουλοίμεθα [12] διασώζειν.

ιγ'. Ἔτι καὶ τοῦτο δεῖγμα τοῦ δεῖν τὰ ἀξιωματικὰ τῶν ἔργων διὰ μακροτέρων μεθοδεύειν κώλων, τὸ λέγειν, ὅτι χαίρει ἡ λαμπρότης ἢ τὰ ἀξιωματικὰ τῶν ἔργων μελετώμενα τοῖς πλαγιασμοῖς· ἴδιον γὰρ τῶν πλαγιασμῶν τὸ διὰ μακροτέρων προφέρεσθαι κώλων, ἀλλὰ μὴ κομματικῶν.

ιδ'. Τὸ γὰρ κατ' ὀρθότητα σχῆμα προεῖπεν ἁρμόττειν καθαρότητι [13] ἐν τῷ περὶ καθαρότητος· προεῖπε γὰρ, ὅτι τὰ ἀσύνδετα, εἰ μακρὰ εἴη, ποιεῖ λαμπρότητα.

ιέ. Ἀσυνδέτως [14] γὰρ ὅλον εἰσενεχθὲν, [15] ὃ τῆς λαμπρότητος ἴδιον ἐπὶ τὸ καθαρὸν ἐξέκλινεν διὰ τὴν ὀρθότητα· καθαρὸν γὰρ διὰ ταύτην ἔμεινε καὶ ἁπλοῦν, λαμπρὸν δὲ οὐδαμῶς· λαμπρότητα γὰρ μάλιστα [16] χαρακτηρίζει ὁ πλαγιασμός.

ις'. Καθὸ οὐ περιβέβληται οὐδὲ χαίρει πλαγιασμοῖς, ὥσπερ ὁ λαμπρὸς, ἀλλὰ τοῖς κατ' ὀρθότητα κώλοις, δηλοῖ δὲ, ὅτι τῷ κατ' ἀπόστασιν σχήματι κοινωνεῖ καθαρότης τε καὶ λαμπρότης.

---

10 Ven. litt. γ'—ιά. omissis: Εἰδέναι μέντοι χρὴ, ὅτι ἐὰν μετὰ καταστάσεως εἰς ἀρχὴν ἀνενέγκῃς τὸν λόγον, ὀρθώσας, θεώρημα λαμπρότητος κάλλ. 11 Mon. τῷ κατορθώσαντι. 12 Ven. βουλόμεθα. 13 Mon. καθαρώτατα. 14 Litt. ιέ. et ις'. est in Sicel. 15 Sicel. εἰσαχθέν. 16 Sicel. μᾶλλον.

ιζ'. Τὴν διαφορὰν αὐτῶν ἀρκούντως ἐδίδαξεν ὁ τεχνικὸς, ὅτι αἱ μὲν λαμπρότητες οὐ μᾶλλον πραγμάτων εἰσὶν ἀφηγήσεις, ἢ ποιότητες πραγμάτων καὶ αὐξήσεις, ἡ δὲ καθαρότης αὐτὸ τὸ πρᾶγμα διηγεῖται ψιλῶς, πλὴν κἂν ἀποστήσῃς ἐν τῇ καθαρότητι τὸν λόγον, εἰσάγῃς [17] δὲ μετὰ ὀρθότητος διαρκοῦς, οὐδὲν ἧττον μένει καθαρὸς ὁ λόγος· ὥσπερ οὖν καὶ ὁ πλαγιασμὸς φαιδρὸν ποιεῖ τὸν λόγον, ἐναντίον γὰρ λαμπρότης καθαρότητος.

ιή. Κῶλα [18] τὰ μέλλοντα ποιῆσαι λαμπρὸν τὸν λόγον μακρότερα εἶναι δεῖ· καὶ τούτου παραδείγματα πάντα, ὅσα κἀν τῷ περὶ ἐννοιῶν λαμπρότητος εἰρήκαμεν· οἷον „οὐχὶ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ," καὶ τὰ [19] ἑξῆς· εἰ γὰρ καὶ τὰς ἐννοίας λάβῃς λαμπρὰς καὶ μεθοδεύσεις αὐτὰς προηγουμένως, καὶ μὴ ἐνδοιάζων, καὶ τὴν λέξιν πάλιν αὖ σεμνὴν καὶ τὰ σχήματα κατὰ ἀπόστασιν, καὶ ἁπλῶς τὰ εὐειδῆ, τὰ δὲ κῶλα μὴ ὦσι μακρὰ, ἐμποδίζεται κατὰ τοῦτο ἡ λαμπρότης καὶ εἰς ἑτέραν ἰδέαν, ὅσον γε κατὰ τοῦτο τὸ μέρος, καταφέρεται.

ιθ'. Μακρότερον εἶναι δεῖ· [20] ὅτι ὁ θέλων λαμπρὸν ἐργάσασθαι λόγον διὰ μακρῶν πάντως ἀπαγγέλλει κώλων καὶ τοῦτο μάλιστα λαμπρότητος ἴδιον. [21]

---

17 Parr. εἰσαγάγοις. Mon. εἰσάγεις. scripsi εἰσάγῃς. Schol. min. Καὶ πάλιν αἱ ἀποστάσεις· τὰ γὰρ κομματικὰ καὶ μικρὰ γοργότητος ἴδια. ib. αἱ διὰ μακροῦ ἐκφερόμεναι λέγονται ἀποστάσεις. Ἀκμαῖος ἦ· ταῖς ἐννοίαις δηλονότι. Τῶν ὅσων ἄλλων· τῶν λέξεων λέγει, ἀκμῆς γὰρ λέξεις αἱ τῆς λαμπρότητος καὶ τραχύτητος καὶ σφοδρότητος. Κἂν ἀποστήσῃς· τὴν ἔννοιαν δηλονότι. ib. διὰ μακροῦ εἴπῃς. Εἰς ἀρχὴν ἀνάγῃς· εἰς ἀρχὴν δευτέραν. Περιβλητικὸν ἐπαγαγών· ἀναγκαζόμενος ὑπὸ τοῦ πλαγιασμοῦ. Τῇ ὀρθώσει· τῷ ὑμεῖς. 18 Litt. ιή., ιθ'. est in Sicel. Κῶλα δὲ τ. μ. ποιήσειν τὸν λόγον· οἷον οὐχὶ λίθοις κ. τ. λ. [pro cor. p. 325.] 19 τὰ Sicel. om. 20 μακρότερον εἶναι δεῖ ex Sicel. inserui. — v. 21. Sicel. λόγων. 21 Ven. post

κά. Περὶ συνθήκης φαιδρᾶς τοσοῦτον μόνον εἰρήσθω, τὸ τὴν ἀνάπαυσιν παραφυλάττειν, ὅπως εἰς μακρὰν τελευτήσῃ, ἐπεί τοί γε ληπτέον ἐκείνας, ὅσας κἀπὶ τῆς σεμνότητος· τῆς δὲ ἀναπαύσεως σεμνῆς οὔσης, εἰ χρήσῃ ταῖς τροχαϊκαῖς κατὰ τὸ ἄλλο τῆς συνθήκης μέρος, οὐδὲν βλάψεις τοῦ λόγου τὸ λαμπρόν· τὸν γὰρ ῥυθμὸν ποιοῦσι λαμπρὸν αἱ τοιαῦται ἀναπαύσεις, μακρῶν τῶν κώλων γενομένων, κἂν ἐκ τροχαίων συγκείμενος ᾖ· τοῦτο δὲ ποιεῖν ἐπὶ τῆς σεμνότητος οὐχ οἷόν τε· τῶν γὰρ κώλων κομματικῶν ὄντων εἰ [22] τὴν συνθήκην ποιήσεις τροχαϊκὴν, [23] οὐ μετρίως βλάψεις τὴν σεμνότητα.

κβ. Σεμνὴν λέγει [24] ἀνάπαυσιν, ὅταν ὁ λόγος στῇ ἐπί τινος τῶν οἰκείων ποδῶν τῇ σεμνότητι χωρὶς καταλήξεως· ἐκεῖ γάρ φησι δεῖν ἐκφεύγειν τοὺς τροχαίους.

κγ. Τὰς αὐτὰς, φησὶν, ἐννοίας ὁ ἀκμαῖος λαμβάνει λόγος, ἃς καὶ ὁ τραχὺς καὶ σφοδρὸς, κατὰ δὲ τὰ λοιπὰ, ὅσαι τῇ σεμνότητι.

Γίνεται τοίνυν λόγος λαμπρός. [25] Τῷ μὴ σκοπουμένῳ σαφῶς δόξειεν ἂν ὁ τεχνικὸς τὴν αὐτὴν ἔννοιαν λαμβάνειν, ἣν ἐπὶ τῆς σεμνότητος ἐν τῇ τετάρτῃ τάξει τῶν ἐνυοιῶν τέταχε, τὴν περὶ ἀνθρωπίνων καταμόνας πραγμάτων, μεγάλων δὲ καὶ ἐνδόξων, καὶ δο-

---

litt. ιβ'. transit ad litt. κ'. Χρῆσθαι μὲν ἔστιν ὅτε καὶ τροχαϊκαῖς ἀναπαύσεσι. Ταῖς μερ. φησι κατὰ μέσας. vide Vol. V. p. 501. v. 11—15. Quae post litt. κ'. sequuntur, cod. om. 22 Mon. Par. 2. prima manu εἰς. manus secunda in Par. 2. corr. εἰ. 23 Par. 1. τροχαϊκὴν ποιήσεις. Sch. min. Ταῖς μὲν ἀποστάσεσι· διὰ μακροῦ δηλονότι. Ὁ τοὺς τραγικοὺς χορούς· ταῦτα πάντα τὰ σχήματα καθαρά εἰσι καὶ λαμπρὰ διὰ τὴν εὐθεῖαν. Τραχύτητι ἐναντιοῦνται· τῇ τραχύτητι ἐναντιοῦνται γλυκύτης καὶ ἐπιείκεια, αἵτινες καὶ τῇ σφοδρότητι. 24 Mon. λέγειν. scr. λέγει. 25 Haec et sqq. usque ad finem capitis ex Parr. recepi.

κεῖ τοῦτό πως ἀποπλανᾷν τοὺς μὴ διερευνῶντας ἀκριβῶς τῶν ἐγγεγραμμένων τὴν δύναμιν, ἐπεί τοι τῷ γε ἐπιστήμονι ῥᾷστα προφανεῖται [26] τῆς ἀπορίας ἡ λύσις ἐκ τῆς τοῦ τεχνικοῦ πραγματείας· οὐδὲν γὰρ ἀφίησι τοιοῦτον, ὃ τῆς τῶν μεταγενεστέρων παρανοίας δεήσεται, ἀλλὰ πᾶσαν αὐτῷ διασαφηνίζει τὴν διδασκαλίαν· ὅθεν ἔνιά γε τοῦ κειμένου ζητήσαντες τὴν λέξιν τοῦ τεχνικοῦ τεθείκαμεν, μηδὲν παραλλάξαντες· ὅρα γὰρ, ὅπως αὐτὸς ἐκ τῆς σχέσεως τοῦ λέγοντος καὶ τῆς ἡδονῆς τοῦ ἀκούοντος τὴν πᾶσαν ἀπορίαν διέλυσεν. Γίνεται γὰρ, φησὶ, λαμπρὸς ὁ λόγος κατά γε τὰς ἐννοίας, ὅταν πεποίθησιν ἔχῃ [27] τινὰ ὁ λέγων, ἐφ' οἷς ἂν λέγῃ, ἢ διὰ τὸ ἔνδοξον εἶναι, ἢ διὰ τὸ καλῶς πεπρᾶχθαι αὐτῷ, ἢ διὰ τὸ χαίρειν τοῖς λεγομένοις τοὺς ἀκούοντας, ὧν οὐδὲν ἐπὶ τῆς σεμνῆς ἐννοίας τῆς τετάρτην ἐν τῷ περὶ αὐτῆς λόγῳ τάξιν ἐπεχούσης ἐστὶν εὑρεῖν, πλὴν ἐπὶ τοῦ διῃρημένου καὶ ἐνδόξου πράγματος· ἔνδοξον γὰρ ὁ λέγων ἐπὶ τῆς σεμνότητος ἔννοιαν ζητεῖ, κἂν μὴ πέποιθεν ἐπ' αὐτῇ, κἂν μὴ τὸ λεχθὲν ἤδῃ τοὺς ἀκούοντας, κἂν σμικρὸν ᾖ, τῆς δὲ τῶν φιληδάνων μόνον ἀκοῆς καὶ ἀκολάστων ἀλλότριον, οὐ γὰρ ἐπὶ τοῖς τοιούτοις χρὴ τοὺς ἀκούοντας ἥδειν, οὐ γὰρ αὗταί γε ἔννοιαι λαμπρότητος, ἀλλ' εἰ λάβοις μὴ λίαν ἐνδόξους ἐννοίας, ἥδεται δὲ τὴν ἀπαρχὴν ἐπ' αὐταῖς ὁ ἀκούων, λαμπρὸν ποιήσεις τὸν λόγον· τούτων οὖν αὕτη ἡ ἔννοια διαφέρει τῆς σεμνότητος, καθὸ ἐκείνη μὲν κατὰ φύσιν γίνεται τοῦ πράγματος αὐτοῦ γε μόνου ἐξεταζομένου ψιλῶς· ἡ δὲ τῆς λαμπρότητος οὐ τοσαύτην ἐκ τοῦ πράγματος, ὅσην ἐκ τῶν παρακολουθούντων λαμβάνει τὴν δύναμιν· πλὴν σκόπησον, ὅπως μὴ καὶ ἡ δοκοῦσα συμφέρεσθαι ταύτῃ γε τῇ ἐννοίᾳ, κἂν τὴν ἐσχάτην ἐπὶ τῆς σεμνότητός τάξιν ἐπέχῃ, τὸν πολιτικὸν ὑπερβαίνῃ λόγον, καὶ ἁρμόττῃ κυρίως φιλοσόφοις· τοιαύτας γὰρ ἐπὶ τῆς

26 Par. 1 προφανιεῖται. 27 Par. 1. ἔχει.

διαρκοῦς σεμνότητος δεῖ λαμβάνειν τὰς ἐννοίας· ἐπὶ δὲ τῆς λαμπρότητος οὐ τοσοῦτον περισπούδαστον, ἐπηρμένην ἔννοιαν λαβεῖν, ὅσον τοιαύτην εὑρεῖν, ἥτις ἂν δυνηθείη κινῆσαι πρὸς ἡδονὴν τοὺς ἀκούοντας, ἢ πεποίθησιν τῷ λέγοντι παρασχεῖν, οἷον οὐχὶ λίθοις ἐτείχισα τὴν πόλιν καὶ ἑξῆς.

Τὸ ψήφισμα τοῦτο. Οἱ Θηβαῖοι τῶν Ἀθηναίων φίλοι· ἐδεξιοῦτο δώροις τοὺς Θηβαίους ὁ Φίλιππος, τῶν Ἀθηναίων ἀποστῆναι βουλόμενος· οἱ δὲ οὐκ ἐκτὸς εὐλόγου τοῦτο ποιεῖν ἐσπούδαζον προφάσεως, ὅθεν καὶ Ἀθηναίοις πολλὰ ποιεῖν αὐτοῖς προσέταττον, ὡς εἴ τινος πάντως ἀποτύχοιεν οἱ Θηβαῖοι, τότε καὶ τῶν Ἀθηναίων ἀποστῆναι ἀφορμὴν ἔχοντες· ὡσαύτως καὶ αἱ λοιπαὶ τῆς Ἀττικῆς πόλεις· τοῦτο γνοὺς ὁ ῥήτωρ ψήφισμα γέγραφε, μηδεμίαν αἴτησιν πρὸς Θηβαίων ἢ τῶν ἄλλων πόλεων τοὺς Ἀθηναίους παρακρούεσθαι, καὶ τοῦτον ἔχει σκοπὸν τό· „αὕτη τῶν περὶ Θήβας“ [28] καὶ τὰ ἑξῆς.

Προκινδυνεύσαντας τῶν προγόνων· ἐν τῷ περὶ στεφάνου· [29] εἰ γὰρ ὡς οὐ τὰ βέλτιστα ἐμοῦ βουλευσαμένου τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν· ἀλλ᾽ οὐκ ἔστιν, οὐκ ἔστιν, ὅπως ἡμαρτήκατε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ᾽ Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν, οὐδὲ τοὺς κρατήσαντας μόνους· δικαίως.

28 pro cor. p. 291. 29 p. 297.

Cap. X.

Περὶ ἀκμῆς.[1]

β'. Πολλήν τινα[2] *πεποίηται τὴν κοινωνίαν ἡ ἀκμὴ πρὸς τραχύτητα καὶ σφοδρότητα καὶ λαμπρότητα, ὡς δοκεῖν ἐξ ἐκείνων συνίστασθαι· κατὰ μὲν γὰρ ἔννοιαν καὶ μέθοδον κοινωνεῖ σφοδρότητι καὶ τραχύτητι, κατὰ δὲ λέξιν τραχύτητι,*[3] *σφοδρότητι, λαμπρότητι· κατὰ δὲ κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμοὺς λαμπρότητι,*[4] *ὥστε πῇ μὲν αὐταῖς κοινωνοῦσα, πῇ δὲ καὶ διεστῶσα εἰκότως ἴδιόν τινα κεκλήρωται τόπον.*

γ'. Τραχύτητος μὲν ἔννοιαι αἱ τῶν μειζόνων προσώπων ἐπιτίμησιν ἔχουσαι ἀπό τινος τῶν ἐλαττόνων προσώπων, μέθοδος δὲ τὸ ἀπαρακαλύπτως κατ' ἐπιτίμησιν

---

1 Litt. ά. vide Vol. V. p. 501. v. 19—22. 2 Ven. *Ἔννοιαι μὲν γὰρ ἀκμῆς καὶ ἔτι μέθοδοι αἱ αὐταί.* 3 Mon. τραχύτητα. 4 Mon. λαμπρότητας. — Sch. min. *Δείξομεν δὲ καταφανέστερον· ἀπὸ κοινοῦ τὸ δείξομεν. Τοιούτων ὀνομάτων· τῶν τροπικῶν δηλονότι. Ἐξ ἀποστάσεως· κατ' ἀπόστασιν γὰρ εἰρῆκται τὸ παρὸν χωρίον, ὅπερ ἴδιον σχῆμα λαμπρότητος. Καὶ πλέον ἔχει τι· λαμπρότητα δηλονότι. Ἐξ ἐπεμβολῆς· ἄν τε ἔλαττον ἄν τε μεῖζον ᾖ· τοῦτό ἐστιν ἡ ἐπεμβολή. Μειζόνως ἐκλάμπει· τῷ ἀπροσδοκήτως ἐκλάμπειν. Ἀπόστασις εἴη· τὸ ἀπροσδοκήτως εἰσαγόμενον, καὶ χρὴ σημειώσασθαι, ὅτι οὐ τὴν διὰ μακροῦ ἀπόδοσιν μόνον, ἀλλὰ καὶ τὸ ἐξ ἐπεμβολῆς εἴτουν ἀπροσδοκήτως εἰσαγόμενον ἀπόστασιν ἐκάλεσεν. Τὸ ἀποστατικόν· συνάπτεται γὰρ ἡ ἀπόστασις τῇ καταστάσει· ὁ γὰρ ἀκούσας τοσοῦτον ὑπειπὼν συνημμένην προσμένει τὴν ἔννοιαν. Τοσοῦτον ὑπειπών· ἀντὶ τοῦ, οὕτως εἰπῆς. Ἐνταῦθα ἀπόστασιν τοσοῦτον ὑπειπὼν λέγει. Τὸ ἀποστατικόν· τὸ ἐπαγόμενον λέγει, ἐκεῖ τὸ νὴ Δί' ἔδει γάρ. Ὅπερ ἐλέγομεν· ἐπαναλαμβάνει πάλιν τὸν λόγον, ὅπερ φησὶν ἐλέγομεν. Τὸ ἐξῆς εἰ ἀποστροφή τις καὶ ἦθος ἔχει.*

μὴ συμπλέκοντα τοῖς λειαίνουσιν εἰσάγειν τὰς ἐννοίας· σφοδρότητος δ' ἔννοιαι αἱ κατ' ἐλαττόνων προσώπων ἐπιτιμητικαὶ καὶ ἐλεγκτικαί· μέθοδος δὲ ἡ αὐτὴ τῇ τραχύτητι.

δ'. Τὰς ἐννοίας καὶ τὰς μεθόδους τὰς αὐτὰς, φησὶν, ἐπὶ τῆς ἀκμῆς δεῖ λαμβάνειν, ἃς ἐπὶ τῆς τραχύτητος καὶ σφοδρότητος, καὶ οὐδὲν δεῖ περὶ τούτων πολυπραγμονεῖν τοὺς ἅπαξ ἐν τῷ περὶ τραχύτητος καὶ σφοδρότητος λόγῳ μεμαθηκότας.

έ. Ἐκ τῆς τραχύτητος καὶ σφοδρότητος, τουτέστιν αἱ τροπικαὶ καὶ σκληραὶ ἀφ' ἑαυτῶν, λαμπραὶ δὲ λέξεις αἵ τε σκληραὶ καὶ διογκοῦσαι τὸ στόμα.

ς'. Τὴν λέξιν, φησὶν, αὐτῶν τούτων τῶν ἰδεῶν δεῖ λαμβάνειν, παρεμβάλλειν δὲ καὶ τῆς λαμπρότητος, ἵνα ὥσί πως μεμιγμέναι.

ξ. Διαρμα ἔχει καὶ ὄγκον, καὶ οὐ τοσοῦτον τέτραπται, ὅσον διογκοῖ τὸ στόμα· εἶπε γὰρ ἐν τῷ περὶ σεμνότητος, ὅτι αἱ λέξεις αἱ ἔχουσαι τὸ η καὶ τὸ α καὶ τὸ ω πλατεῖαί εἰσιν, ἃς καὶ λαμπρότητί φησιν ἁρμόττειν· ἔδει δὲ γράφειν διῆρται.

ή. Εἰ μὲν [5] διῄρηται ἔχει, ἀντὶ τοῦ οὐχ ὡς ἐν τραχύτητι, κομματική ἐστιν ἡ φράσις, ἀλλὰ κατὰ μείζονα κῶλα διῄρηται, ἅπερ ἔγνωμεν λαμπρότητος οἰκεῖα· εἰ δὲ διῆρται ἔχοι, ὅτι δίαρμα καὶ ὄγκον ὁ λόγος [6] εἶχε διὰ μακροτέρων τῶν κώλων ἐξενεχθείς.

θ'. Τὰ στοιχεῖα μάλιστα πλεονάζει τὰ κατὰ τὴν [7] προφορὰν διαγκοῦντα τὸ στόμα· ὅρα γὰρ πῶς ἐπὶ πασῶν τῶν λέξεων, πλὴν τὸ ἐμπέπτωκε, τὸ α καὶ τὸ ο

---

5 Ven. Post litt. β'. Ἕτερως πως διῄρηται ἐν λαμπρότητι, ἢ διῆρται. 6 Ven. ὁ λόγος. Post ἐξενεχθεὶς Ven. addit: Κατὰ μὲν οὖν λαμπρότητος σχῆμα ἀκμὴ γέγονεν, κατὰ ἀπόστασιν γὰρ εἰρηνήνεκται τὸ προκείμενον χωρίον, ὅπερ ἴδιον σχῆμα λαμπρότητός ἐστι. 7 Mon. κατὰ τὴν κατὰ, delevi posterius κατά.

στοιχεῖον ἐπὶ τελευτῆς τέθειται, ἃ μάλιστα ποιεῖ τὸν λόγον λαμπρόν· εἴρηται γὰρ, ὡς τὸ ο στοιχεῖον, εἰ καὶ βραχὺ, πλὴν τὴν αὐτὴν ἔχει δύναμιν κατὰ τὸν ἦχον τῆς φωνῆς, ἣν καὶ τὸ ω.

ί. Σχήματά φησι τῆς ἀκμῆς, ἅπερ καὶ λαμπρὰ καὶ σφοδρά· καὶ τοῦτο δηλοῖ ἐκ τῶν παραδειγμάτων.

ιά. Λαμπρότητος σχῆμα αἱ ἀναιρέσεις, τὰ ἀσύνδετα, αἱ ἀποστάσεις· σφοδρότητος [8] τὰ κατὰ ἀποστροφὴν καὶ δεικτικόν.

ιβ'. Τὸ ἦθος δηλονότι τοῦ λέγοντος ἐμφαίνουσα· δηλοῖ δὲ πῶς ἂν καὶ γένοιτο καὶ κατὰ τὸ ἦθος σφοδρότης.

ιγ'. Ἔννοιαι μὲν τραχεῖαι καὶ σφοδραὶ ποιοῦσιν ἐννοίας ἀκμῆς, καθὰ μεμαθήκαμεν, μέθοδος δὲ αὖ πάλιν ἡ τούτων αὐτῶν τῶν ἰδεῶν τὴν ἀκμαίαν μέθοδον, τὴν λέξιν οὐ μόνον αἱ τούτων, ἀλλ' ἤδη που καὶ τῆς λαμπρότητος· τὰ δὲ σχήματα τῆς ἀκμῆς ποιεῖ σχήματα λαμπρότητος καὶ σφοδρότητος· περὶ δὲ τῶν λοιπῶν οὐ δεῖ ζητεῖν, τὰ γὰρ ἄλλα πάντα τὰ αὐτὰ ἔχει τῇ λαμπρότητι, λέγω δὴ κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμούς, ὥστε ἐν ἑτέροις ἔχει τὸ εἶναι, καὶ ἰδίαν ὑπό-

---

8 Mon. σφοδρότης. Sch. min. Τὸ καί μοι μηδὲν ὀργισθῇς καὶ ἀποστροφὴ μέν ἐστιν ἀλλὰ καὶ ἦθος, εἴρηται δέ, φησὶν, οὕτως ἐν ἀποστροφῇ σὺν ἤθει, ὥστε μὴ δόξαι πικρῶς εἴτουν σφοδρῶς λέγεσθαι διὰ τὴν ὑπόληψιν τοῦ προσώπου χρηστὴν οὖσαν. Διὰ τὴν ὑπόληψιν· κατὰ κοινοῦ ληπτέον τὸ διὰ, ὡς ἂν οὕτως ᾖ, διά τε τὴν ὑπάληψιν, καὶ διὰ τὸ μηδέν γε ἧττον ἔχειν τὴν σφοδρότητα. Χρηστῶν τούτων· ἐν τῷ ὑπὲρ στεφάνου· εἶτα λέγει, ὡς οὐδὲν ὅμοιός εἰμι ἐκείνοις ἐγὼ, σὺ δὲ ὅμοιος, Αἰσχίνη, καὶ ὁ ἀδελφὸς ὁ σός· ἄλλος δέ τις τῶν νῦν ῥητόρων, ἐγὼ μὲν γὰρ οὐδένα φημὶ, ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστὲ καὶ τὰ ἑξῆς. Καλὸν ἀνδριάντα· σφοδρὸν γὰρ καὶ ἠθικόν. ib. Σημείωσαι γῦν, πῶς ἂν γένοιτο καὶ κατ' ἦθος σφοδρότης.

στασιν οὐκ ἔχει· διὰ δὴ τέτακται μετ' ἐκείνας, ὑφ' ὧν καὶ γίνεται καὶ συνέστηκεν.

ιδ'. Ἐπειδὴ ἐννοίας εὑρεῖν ὁ τεχνικὸς, αἳ τὴν σύστασιν ἐκ λαμπρότητος ἔχουσιν καὶ ἀκμῆς, ἀπορεῖ, ποῦ δεῖ τάττειν αὐτὰς, τῆς μὲν γὰρ ἀκμῆς οὐχ οἷόν τε λέγειν αὐτὰς, ποιοῦσι γὰρ ταύτας ἔννοιαι τραχύτητος καὶ σφοδρότητος, οὐδαμῶς δὲ λαμπρότητος· πάλιν δ' αὖ οὐκ εἰσι λαμπραί· ἔχουσι γάρ τι καὶ τῆς ἀκμῆς· ἔστι δὲ τὸ κινῆσαν τὴν ἀπορίαν χωρίον τοῦτο· [9] „μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον·“ καὶ πάλιν· „ἀλλ' [10] ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος·“ ταῦτα γὰρ τί δεῖ καλεῖν ἀκμαστικὰ ἢ λαμπρὰ, ἢ τὸ συναμφότερον, ὃ καὶ μᾶλλον, [11] εἶτα ἀντιτίθησι, φαίη γὰρ ἄν τις ἴσως, ὅτι κατὰ τὸν προειρημένον λόγον τὰ ἴδια τῆς λαμπρότητος συνῆλθεν ἐπὶ τῶν ἐννοιῶν τούτων ἀκμαστικῶν οὐσῶν· οἷον τὰ κῶλα μακρὰ ὄντα, ἡ συνθήκη διαρμα ἔχουσα, ἡ ἀνάπαυσις σεμνὴ καὶ τὰ ἑξῆς· πολλαχοῦ δὲ καὶ τὴν λέξιν ἔφαμεν, καὶ τὸ μέγιστον, φησὶ, τὰ ἀποστατικὰ τῶν σχημάτων· ὥστε εἰ λέγοιμεν ταῦτα μεμίχθαι ἐξ ἀμφοῖν, ἔκ τε λαμπρότητος καὶ ἀκμῆς, τὸ μέχρι τούτου Λασθένης καὶ τὰ τοιαῦτα εἰς ταῦτα ἐμπίπτει· ἀκμαστικὰ γάρ εἰσιν, εἴγε ἡ ἀκμὴ πάντως ἔχει πολλὰ τῶν ἰδίων λαμπρότητος· ἔν-

---

9 pro cor. p. 241. 10 pro cor. p. 248. 11 Schol. min. καὶ ἀκμαῖα δηλονότι καὶ λαμπρά. Καὶ ὅσα τοιαῦτα· ποῖα ταῦτα φησὶ, τὸ τόδε καὶ τόδε. Σφοδρά πως εἶναι δοκεῖ· καλῶς τὸ δοκεῖ, οὐ γὰρ ἐπιτιμητικὴ λίαν ἡ σφοδρότης ἐνταῦθα, ὡς ἐν τῷ βάρβαρος, ὄλεθρος Μακεδών. [Καλῶς τὸ δοκεῖ — — Μακεδὼν est etiam in Ven.] Σχήματα αὐτά· τὰ ἀφηγηματικὰ καὶ ἀσύνδετα καὶ λαμπρά. Κατὰ προσώπων· κατὰ τῶν προδοτῶν. Ταῦτα μεμίχθαι· οὐδετέρως τὸ θηλυκὸν ἐξενήνοχε· τὸ γὰρ ταῦτα τὴν λαμπρότητα καὶ τὴν ἀκμὴν ποιεῖ. Ἃ ποιεῖ τὴν ἀκμήν· τραχύτης, λαμπρότης.

νοιαι γὰρ, φησὶ, σφοδραὶ συνελθοῦσαι μετὰ σχημάτων καὶ κώλων λαμπρῶν ἀπετέλεσαν τὴν ἀκμὴν, ὥστε παράλογον οὐδὲν, εἰ συνῆλθεν ἀκμὴ καὶ λαμπρότης, κατὰ φύσιν γὰρ [12] τὸ ἀεὶ μεμίχθαι θέλουσι, καὶ τὸ πλεῖστον ἐκ τῆς λαμπρότητος ἡ ἀκμὴ λαμβάνει τὴν σύστασιν.

ιέ. Ἐνταῦθα ζητεῖ ὁ Ἑρμογένης τὸ, „μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου," ποίας ἰδέας ἐστὶν, ἀκμῆς ἢ λαμπρότητος, καὶ ἀκμῆς ἐδείχθη, ὅτι ἔνιαι λέξεις τῶν ἰδίων τῆς λαμπρότητος καὶ τὰ πλείω σχήματα, καὶ τὰ κῶλα καὶ συνθήκη καὶ ἀνάπαυσις καὶ ῥυθμὸς ποιοῦσι τὴν ἀκμὴν, ἐννοίας δὲ καὶ μεθόδους μόνη ἔχει ἡ ἀκμὴ τὰς τῆς σφοδρότητος· ἔδει οὖν μὴ λέγειν τὰ κῶλα ταῦτα μεμίχθαι ἐκ λαμπρότητος καὶ ἀκμῆς, εἴγε ἐξ ἀνάγκης καὶ κατὰ φύσιν ὁ λαμπρὸς λόγος καὶ ἀκμαῖός ἐστιν, ἐπειδὴ ἐκ τῶν τῇ λαμπρότητι προσηκόντων, ὡς εἴρηται, ἀκμὴ γίνεται· ἀλλ' ὅτι λαμπρά ἐστιν ἡ ἀκμαία μόνον, οὐδὲν δὲ διαφέρει, ἀλλὰ ταὐτόν ἐστι λαμπρὰ κῶλα καὶ ἀκμαῖα· λύει τοίνυν ταύτην τὴν ἔνστασιν κατωτέρω εὐθὺς, ὅπου λέγει· ἀλλ' εἰδέναι χρὴ, ὅτι πρῶτον μὲν ἐνταῦθά φαμεν ἀκμὴν καὶ λαμπρότητα καὶ ἑξῆς.

ις. Εἶπε γὰρ, ὅτι λέξεις ἀκμῆς αἱ τῆς τραχύτητος καὶ σφοδρότητος καὶ λαμπρότητος· τὸ γὰρ ἀποστατικὸν λαμπρότητός ἐστι καὶ ἀκμῆς.

ιζ. Εἰς τὸ εἶναι δηλονότι ἅμα λαμπρὰ καὶ ἀκμαῖα, κατὰ κοινοῦ δὲ τό· φαίη τις ἂν εἰς ταὐτὸν ἐμπίπτειν ἡμᾶς, εἰ λέγοιμεν ταῦτα μεμίχθαι· ἡ οὖν σύνταξις οὕτως, ὥστε φαίη τις ἂν εἰς ταὐτὸν ἐμπίπτειν ἡμᾶς, εἰ λέγοιμεν ταῦτα τὰ κῶλα μεμίχθαι.

ιή. Λέγει γὰρ καθ' ὧν οἱ ἀκούοντες ἡδέως δέχονται τὰς λοιδορίας, κατὰ Φιλίππου, ὅτι λέλυκεν αὐτὸς τὴν

12 γὰρ Mon. om.

εἰρήνην· ἀκμῆς γὰρ ἴδιαι ἔννοιαι αἱ σφοδραὶ, ὡς εἶπεν ἄνω· καὶ σχήματα δὲ τὰ ἀφηγηματικὰ καὶ ἀσύνδετα καὶ λαμπρὰ λαμπρότητα καὶ ἀκμὴν ποιεῖ· ἀντὶ τοῦ κατὰ φύσιν ἡνωμένης τῆς ἀκμῆς [13] τῇ λαμπρότητι· ἡ λύσις οὖν τῆς ἐνστάσεως εἴρηται, ἥτις ἐστὶ τὸ κατὰ προσώπων ἀφηγηματικῶς καὶ ἀσυνδέτως.

ιθ'. Τὰ χωρία [14] ταῦτα ἀκμῆς μὲν μετέχει, ὅτι σφοδράς τε καὶ τραχείας ἐννοίας ἔχει μεμιγμένας· τραχείας μὲν τὰς κατὰ Φιλίππου, σφοδρὰς δὲ τὰς κατὰ προδοτῶν· μετέχει δὲ καὶ λαμπρότητος ἡ ἔννοια τῷ πεποιθέναι τὸν λέγοντα ἐφ' οἷς λέγει· μεθώδευται [15] δὲ λαμπρῶς, προηγουμένως γὰρ εἰσῆκται ἡ [16] ἔννοια, καὶ οὐχὶ ἐξ ὑποβολῆς· [17] σχηματισθὲν [18] δὲ κατὰ ἀπόστασιν καὶ λέξιν ἔχον μὴ τροπικὴν ἀλλὰ σεμνὴν, κώλοις τε μακροτέροις ἐξαγγελθὲν, λαμπρότητος ἱκανῶς μετέχει· [19] τραχύτητος δὲ μόνης σὺν λαμπρότητι [20] οὐκ ἄν τις φαίη κυρίως μετέχειν· διαφέρουσι γὰρ ἀλλήλων τε αὗται κατὰ τὰς ἐννοίας καὶ λαμπρότητος, καὶ [21] κατὰ τὰ λοιπά· ἀκμαῖος μὲν οὖν ὁ λόγος οὐκ ἂν εἴη μόνως, διότι [22] λαμπρός ἐστι κατ' ἔννοιαν, ὅπερ ἀλλότριον ἀκμῆς, τραχὺς δὲ καὶ σφοδρὸς οὐκ ἂν λέγοιτο, διότι τὸ ἐπιτιμητικὸν οὐκ ἔστιν ἄγαν πικρόν.

κ'. Ἐντεῦθεν λύει τὴν ἀνωτέρω ἔνστασιν οὕτως, ἡ ἀκμὴ αὐτὴ [23] καθ' ἑαυτὴν οὐ συνίσταται, ἀλλ' ἐκ τῶν

---

13 τῆς ἀκμῆς Par. om. 14 Ven. post litt. ἡ. Ὥστε φαίη τις ἄν, τί χρὴ λέγειν, ὅτι μέμικται λαμπρότητι ἐνταῦθα ἀκμή. Sicel. continet litt. ιθ'. et κ'. 15 Ven. μεθοδεύεται. 16 Mon. εἰ σὴ κατὰ ἔννοια. 17 Sicel. ἐπιβολῆς. 18 Mon. σχηματισται. 19 Mon. μέχρι. 20 Post λαμπρότητι habet Mon. ἱκανῶς μετέχει ἡ σφοδρότητος μόνης σὺν λαμπρότητι. 21 καὶ Sicel. om. 22 Sicel. διότι καὶ λ. 23 αὐτὴ Mon. Par. 1. Sicel. om. recepi ex Par. 2.

μερῶν τραχύτητος καὶ σφοδρότητος καὶ λαμπρότητος γίνεται. [24]

κά. Ἡ ἀκμὴ οὐχ ὑφέστηκε καθ' ἑαυτήν· πῶς οὖν ἡ μὴ οὖσα συμπλέκοιτ' ἂν ἑτέρᾳ συνθήκῃ ἢ ἀναπαύσει;

κβ'. Ἔννοιαι, φησὶν, τραχεῖαι καὶ σφοδραὶ ποιοῦσιν ἐννοίας καὶ μεθόδους ἀκμαστικάς· τὰ δὲ λοιπὰ τῆς λαμπρότητος ποιεῖ τὴν ἀκμὴν, πλὴν τῆς λέξεως καὶ τῶν σχημάτων· ἐπὶ γὰρ τούτων ἀναμεμιγμένως γίνεται, πῇ μὲν ἐκ τραχύτητος καὶ λαμπρότητος, ὡς ἐπὶ τῶν λέξεων, πῇ δὲ ἐκ σφοδρότητος καὶ λαμπρότητος, ὡς ἐπὶ τῶν σχημάτων.

κγ'. Οὐκ ἀναστρέφειν, [25] φησὶ, δύναται ὁ λόγος. οὐ γὰρ ἔχει τι ἴδιον ἡ ἀκμὴ, ἀλλ' αὕτη μὲν ἔχει τι λαμπρότητος, οὐ μὴν ἥ γε λαμπρότης ἔχει τι ἀκμῆς, εἰ μή τις λέγει τηνάλλως φληναφῶν, ὡς ταὐτόν ἐστιν ἀκμὴ καὶ λαμπρότης, διὰ τὸ ἐξισάζειν. οὐδὲν γὰρ μᾶλλον τὰ μακρὰ κῶλα καὶ τὰ ἀποστατικὰ σχήματα τῆς ἀκμῆς ἂν εἴη ἢ τῆς λαμπρότητος διὰ τὸ ἐπ' ἀμφοῖν διήκειν τὸν περὶ αὐτῶν λόγον.

κδ'. Ἔννοιαι μὲν τραχύτητος [26] καὶ σφοδρότητος ποιοῦσιν ἀκμὴν, λέξις δὲ ἥ τε αὐτῶν τούτων καὶ ἡ τῆς λαμ-

---

24 Post γίνεται Sicel. addit: ἃ ποιεῖ τὴν ἀκμήν. 25 Sch. min. Οὐκ ἀντιστρέφει, φησὶν, ὁ λόγος· ὃ μὲν γὰρ ἀκμαῖον, τοῦτο καὶ λαμπρὸν, ὃ δὲ λαμπρὸν, οὐκ ἔστιν ἀκμαῖον. Μέθοδοι τοιαῦται· ποιοῦσι τὴν ἀκμὴν ἀπὸ κοινοῦ. Εἴ τινι ἑτέρῳ· συνθήκῃ καὶ ἀναπαύσει. Τί καὶ λαμπρότητος· λέξεις ἐνίας, κῶλα, σχήματα καὶ τὰ ἑξῆς. Ἐρίζων· τὸ ἑξῆς, εἰ μή τις ταῦτα ἐρίζων λέγοι ἰσάζειν διὰ τὸ ἐπ' ἀμφοῖν εὑρίσκεσθαι. Ἐντεῦθεν· ἀπὸ τῆς λαμπρότητος ἐπὶ τὴν ἀκμὴν ἢ τὸ ἔμπαλιν. Αἰσθήσει· ἀκοῇ. Ἴδια· ἡ μακροκωλία. Ἀκμή· τοῦτο λέγει, ὅτι ἡ ἀκμὴ αὐτὴ καθ' ἑαυτὴν οὐ συνίσταται, εἰ μὴ δανεισθῇ ἀπὸ τῶν τῆς λαμπρότητος καὶ τραχύτητος σχημάτων, λέξεων καὶ τῶν λοιπῶν. 26 Sch. min. Ἐκ τούτων ἀποτελεῖται τῶν ἰδεῶν ἡ ἀκμὴ, τὸ δὲ ἀποτελούμενον ἄλ-

πρότητος καὶ σφοδρότητος, κῶλα δὲ καὶ τὰ λοιπὰ τῆς λαμπρότητος.

κέ. Ὁ ῥήτωρ· λέγει δὲ τὰς ἐπὶ τοῖς ἀγαθοῖς πράγμασιν· ἐν ταύταις γὰρ πεποιθότως ὁ ῥήτωρ ἀγορεύει, ὡς φθάσας Ἑρμογένης ἐτεχνολόγησεν.

κς'. Σημείωσαι, ὅτι τῶν μάλιστα λαμπρῶν τοῦτο τὸ χωρίον κατὰ τὴν ἔννοιαν τὸ „μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππῳ."

κζ. Πάντα [27] γὰρ ἐφεξῆς τὰ ἐν τῷ χωρίῳ τούτῳ περὶ τῶν κατὰ πόλεις προδοτῶν εἰρημένα κατὰ συζυγίαν

λο τί ἐστιν παρὰ τὰ ἐξ' ὧν ἀποτελεῖται. Ἀντακολουθοῦσιν· οὐ δύναται γὰρ εἰπεῖν, ὡς ἅπερ εἰσὶ λαμπρότητος, ταῦτα καὶ ἀκμῆς, καὶ ἅπερ ἀκμῆς, ταῦτα καὶ λαμπρότητος. ibid. οὐκ ἀναστρέφουσιν. Ἔχει γὰρ ταῦτα· σφοδρότης, τραχύτης, λαμπρότης. Χωρὶς τῶν ἑτέρων· χωρὶς ἀκμῆς καὶ λαμπρότητος. Ἰδιά γε ταῦτα· ταῦτα τὰ Δημοσθενικὰ τὸ „μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου." Ταῦτα ποῖα; πάντα τὰ προειρημένα, αἱ τραχεῖαι, αἱ σφοδραὶ ἔννοιαι καὶ τὰ λαμπρὰ κῶλα· οὐκ εἰσὶ γὰρ ἴδια ἀκμῆς, ποίας γάρ, ἥτις οὐδὲ ὑφίσταται καθ' ἑαυτὴν τὴν ἀρχήν, ἀλλ' ὅθεν μετήνεχθησαν, ἐκείνων εἰσὶν ἰδιά, σφοδρότητος, τραχύτητος, λαμπρότητος. Μεμίχθαι· εἰπών, ὅσα τε αὐτοῖς ἐστιν ὅμοια, ἐπεξηγεῖται τὸ, τίνα εἶπεν ὅμοια, καὶ λέγει, ὅτι ταῦτα ὅμοια ἔφη τὰ ὁμοίως τούτοις, τὸ „μέχρι τούτου Λασθένης," καὶ τὸ, „ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος" ἐξ ἀκμῆς καὶ λαμπρότητος μεμιγμένα. Σκεψώμεθα δέ· ἀντὶ τοῦ μνημονεύσωμεν τῶν λεχθέντων ἐν τῷ περὶ λαμπρότητος, ὁποίας ἐννοίας ἔφαμεν εἶναι λαμπράς. Συνήνεγκεν· συνέφερεν. Τετραδαρχουμένων· οἱ τῆς μιᾶς ἀρχῆς τέσσαρες ἄρχοντες. Συνιστᾷ δὲ ὁ ῥήτωρ, ὅτι οὐ δεῖ τοὺς ἄνδρας, οὐδὲ τὰς πόλεις ὑπείκειν τῷ Φιλίππῳ. Εἰ δὲ ὁμοίως· τὸ καθεῖλεν ἐλλιπῶς. Τῶν κατ' ἄνδρα· ἀπὸ τῶν προδοτῶν δηλονότι. Πεποιθήσει· ἀντίπτωσις γενικῆς ἀντὶ δοτικῆς. 27 Ven. post litt. ιϑ'. pergit: καὶ τῶν ἐπαναφορῶν διὰ τὸ κατὶ συζυγίαν ἐξενεχθῆναι θαυμαστὸν κάλλος ἐργασαμένων. Sicel. continet litt. κζ—κϑ.

δύο ἐννοιῶν προῆκται, λαμπρότητός τε πλείστης καὶ κάλλους μετέχει διὰ τὴν πεποίθησιν τοῦ λέγοντος. ἀποφαντικῶς γοῦν [28] αὐτὰ προάγει· καὶ γὰρ ἁπλῆ οὖσα ἡ ἐπαναφορὰ κάλλος προσάγει τῷ λόγῳ, πόσῳ πλέον διπλῆ γενομένη· ἐπαναφορὰ δέ ἐστι τὸ παρὰ τῶν καὶ πρώην εἰρημένων ἐπαναλαβεῖν, ὁποῖόν [29] τί ἐστι καὶ τὸ „μέχρι μὲν οὖν τούτου," προειπὼν γὰρ ἐπανέλαβεν.

κή. Συζυγία ἐστὶ κατὰ τοὺς τεχνογράφους τοὺς περὶ σχημάτων διαλαβόντας, ὅταν δύο προσθέντες [30] ἀντικείμενα ἀλλήλοις ἑκατέρῳ τὸ προσῆκον ἐπιφέρωμεν, ὡς ἐν τῷ ἐννάτῳ τῶν Φιλιππικῶν, [31] οἷον „ὁ δῆμος τῶν Ὠρειτῶν, ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δὲ ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δὲ ἐπιτήδειον ταῦτα παθεῖν ἔφη·" οὐ γὰρ ἑκάτερον κατέλυσε καθ' ἑαυτό, ἀλλὰ δι' ἀμφοτέρων ἐχώρησεν ὁ λόγος· εἰς δὲ τὰ τῆς λέξεως σχήματα τάττει τὴν συζυγίαν καὶ ὁ Τιβέριος, ὁ δὲ Ζηνόβιος προαπόδοσιν [32] τοῦτο κάλεῖ· οὐ συμφωνεῖ δὲ τούτοις ὁ Ἑρμογένης· οὐ γὰρ ὑποπίπτει τῷ ὅρῳ τῶν τεχνογράφων τὸ παράδειγμα τῆς συζυγίας. [33]

---

28 Sicel. γὰρ αὐτὰ προάγει, καὶ διὰ τὴν σύζευξιν τῶν ἐννοιῶν σὺν ἐπαναφορᾷ προελθοῦσαν· εἰ γὰρ καὶ ἁπλῆ οὖσα κ. τ. λ. usque διπλῆ γινομένη. Sqq. usque ad litt. κή. om., etiam Ven. desinit in γινομένη. 29 Mon. ὁ παίων. 30 Mon. προθέν. 31 Phil. III. p. 126. 32 ὁ δὲ Ζηνόβιος Mon. om. 33 Sicel. addit: ὃ τίθησιν. Sch. min. Τὸ παράδειγμα τῆς συζυγίας, ὃ προεῖπεν, ὅτι τὰ μακρότερα κῶλα λαμπρότητος ἴδια. Κατὰ συζυγίαν· τὸ „μέχρι," καὶ „μέχρι φίλος ὢν ὠνομάζετο," τὰ δύο μέχρι εἰσὶ συζυγία. Λαμπρὰ μὲν οὖν· ὅτι εἰ προέθετο ὁ ῥήτωρ κατηγορῆσαι Λασθένους, κατὰ τοῦτο ἦν λαμπρά, εἰ δὲ κατηγόρησεν, γέγονεν ἂν τραχέα. ibid. Εἰπὼν, ὅτι αἱ ἔννοιαι τοῦ „μέχρι τούτου Λασθένης" κοιναὶ λαμπρότητος καὶ ἀκμῆς καὶ πείσας, πειρᾶται δεῖξαι, μᾶλλον δὲ δείκνυσιν ἀκολούθως, ὅτι καὶ τὰ λοιπὰ κοινά, μέθοδος καὶ σχῆμα καὶ τὰ ἄλλα. Ἀφηγηματικὸν· ἀφηγήσεως γὰρ εἶδος τὸ „μέχρι τούτου Λασθένης."

κθ'. Σφοδρότητος [34] γὰρ ἴδιον τὸ κατὰ ἀποστροφὴν καὶ τὸ ἀποδεικτικόν, τὸ δὲ ἀφηγηματικὸν καθαρότητος, ὡς ἀνωτέρω ὁ αὐτὸς ἔφη.

λ'. Ἀκμὴν πάλιν φησὶν, ἐπειδὴ αἱ σφοδραὶ ἔννοιαι ἁρμόττουσι καὶ τῇ ἀκμῇ, ὥστε ἡ μίξις ἐκ δύο τινῶν συνιόντων γίνεται διαφερόντως, κυρίως εἴποι ἄν τις τὰς ἐννοίας μόνας τοῦ „μέχρι τούτου Λασθένης" μεμίχθαι· τό τε γὰρ προειρημένον συνίστησιν, ὅπερ ἐστὶν λαμπρότατον, καὶ κατὰ προσώπων λέγεται, τῶν προδοτῶν, [35] ὅπερ σφοδρότητος, [36] τὰ δὲ λοιπὰ καθαρᾶς ἐστι λαμπρότητος.

λά. Μέθοδος γὰρ λαμπρότητος, ὅταν ὡς θαῤῥῶν καὶ μὴ ἐνδοιάζων λέγῃ τις, ὅταν ἀφηγούμενος μὴ διακόπτῃ τὰς ἀφηγήσεις, ὅ ἐστιν ἐνταῦθα, καὶ σχῆμα δὲ τὸ ἀσύνδετον.

λβ'. Ὁ νοῦς οὗτος, κατὰ πρῶτον λόγον λέγοιτο ἂν λαμπρὰ, ἐπειδὴ καὶ ἡ ἔννοια καὶ ἡ μέθοδος καὶ τὰ λοιπὰ λαμπρότητός εἰσι, κατὰ δὲ δεύτερον λόγον ἀκμαστικά, [37] ἐπειδὴ καὶ ἡ ἀκμὴ καὶ ἀπὸ τούτων συνίσταται τῶν προσηκόντων τῇ λαμπρότητι, λέξεως, σχημάτων, κώλων, καὶ τῶν ἑξῆς.

λγ'. Διὰ τὸ τὴν ἀκμὴν, φησὶν, ἀπὸ τούτων συνίστασθαι, μεθ' ὧν καὶ ἄλλων συνίσταται, ἀνάγκη, φάσκειν ἐνταῦθα, κοινὰ αὐτῶν γενήσεσθαι καὶ ταῦτα. δοκεῖ

---

34 Litt. κθ'. est in Sicel. 35 Mon. προδήλων. 36 Sequitur in Mon. καὶ μέχρι φίλος ὀνομάζεται, τὰ δύο μέρη εἰσὶ συζυγίαι. 37 Mon. ἀκολαστικά. Sch. min. Ὅμως ἐνταῦθα· ἐν τῷ „ἀλλ' ὁ τὴν Εὔβοιαν·" ἐκεῖ δὲ εἰς τὸ „μέχρι τούτου." Σχήματι κέχρηται· κατὰ ἀποστροφὴν προσώπων, ὅπερ ποιεῖ ἡ σφοδρότης, καὶ γίνεται ἀκμὴ, οὐχὶ δὲ λαμπρότης. Ἡ λαμπρότης δὲ οὔ· οὐ δέχεται τὴν κατὰ προσώπων ἀποστροφήν. Καὶ μήν καί· διὰ τὸ τὸν καὶ σύνδεσμον συμπλέκεσθαι.

sir chris top. 1 (Sport) 1 (Sport) 1 (Sport)

σαφεῖ τὸ εὐτελὲς, ὃ καὶ ἐναντίον ἐστὶ τῷ μεγέθει, διὸ καὶ ἀναγκαῖος ὁ περὶ ἀξιώματος λόγος, ἀλλ᾽ οὐ κατὰ τοῦτο μόνον ἀκόλουθον ἂν εἴη λέγειν περὶ περιβολῆς,[2] ἀλλ᾽ ὅτι καὶ πλείονι τῶν ἄλλων ἁπασῶν ἰδεῶν,[3] καθ᾽ ἃς λόγου μέγεθος γένοιτο ἄν, ὁ ῥήτωρ κέχρηται.[4]

γ'. Ὑπὲρ[5] τὰς ἄλλας ἰδέας ὁ ῥήτωρ ἁπάσας πλεονάξει τῇ περιβολῇ, διότι χρὴ τὸν ἄριστον τῶν πολιτικῶν λόγων κεκρᾶσθαι μὲν ἄριστα ταῖς ἰδέαις ἁπάσαις, ταῖς μὲν ἐπὶ πλέον, ταῖς δὲ ἐπ᾽ ἔλαττον τοῦ τεχνίτου κατὰ τὸν προσήκοντα λόγον καιρῷ τε καὶ μέτρῳ κεχρημένου· διαφερόντως δὲ πλεονάζειν προσήκει τῇ περιβολῇ διὰ τὸ πολὺ συνεστραμμένον καὶ πυκνὸν ἐν ἅπασι τῆς ἰδέας ταύτης, διότι[6] καὶ τὴν παρὰ τῶν ἄλλων ὑπτιότητα τῷ λόγῳ προσγινομένην ἐκθεραπεύειν ἱκανή.

δ'. Τὴν[7] αἰτίαν, δι᾽ ἣν πλεονάζει κατὰ τὴν περιβολὴν, ὕστερον ὑπερτίθεται λέγειν, μετὰ τὴν ἐπίγνωσιν αὐτῆς τῆς περιβολῆς· οὐ γὰρ ἐγχωρεῖ, φησὶ, νῦν λέγειν, πρὶν προδιορίσαι καὶ προδιδάξαι τὴν φύσιν αὐτῆς· ὅτι δὲ ἐναντίον αὐτῇ ἡ καθαρότης, οὐ μόνον ἐν τῷ περὶ σαφηνείας, ἀλλὰ καὶ ἐν τῷ περὶ ἀκμῆς λέλεκται λόγῳ.[8]

ζ'. Τὸ[9] κατ᾽ ἄθροισιν δοκεῖ ἀκολουθεῖν τῷ ἀορίστῳ, ὡς ἐν τῷ „πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι“[10] ἔπεται

---

2 Sicel. addit: φησίν. 3 Sicel. ἰδεῶν ἁπασῶν. Sch. min. Ἐπιστήμη· πᾶσα γνῶσις ἐπιστήμη λέγεται. 4 Litt. β'. vide Vol. V. p. 504. v. 10—13. 5 Incipit hoc caput in Ven. Ἀλλὰ τὴν μὲν αἰτίαν, δι᾽ ἣν οὕτως πεποίηκεν ἐκεῖνος, ὕστερον δείξομεν. 6 Sicel. καὶ διότι καί. 7 Sicel. τὴν δὲ αἰτ. 8 Litt. ε. et ς'. vide Vol. V. p. 504. v. 13—18. 9 Litt. ζ'. est apud Sicel. sine nomine auctoris. 10 Sicel. πολλὰ ἔγωγ᾽ ἐλαττοῦμαι [pro cor. init. §. 3.] Sch. min. Ἐν τῷ ὑπὲρ τοῦ στεφάνου εἰς τὴν ἀρχὴν οὕτως· „ἓν μέν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνιζόμεθα· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ᾽ ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἐλεῖν τὴν γραφήν, ἕτερον δὲ ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει,

ges. d. phil. Fr. d. Universität, und ordentl. Prof. d. Philosophie an der Universität zu Berlin, Ritter des rothen Adler-Ordens 3. Cl. mit der Schleife, Mitglied der Akademie der Wissenschaften, geb. zu Berlin 1. Mai 1770.

H. Theodosius, Fürst von Anhalt, ord. Mitglied der Akademie der Wissenschaften, geb. zu Berlin 1. Mai 1770.

H. Johann Gottfried Wilhelm Pertsch, Professor, Inspector der Königlichen Bibliothek, Mitglied der Akademie der Wissenschaften, geb. zu Weimar 1. Mai 1770.

H. Johann Friedrich Wilhelm Koch, Professor, Mitglied der Akademie der Wissenschaften, geb. zu Berlin 1. Mai 1770.

κρινείας ἔφη σχῆμα εἶναι τὸ κατ᾽ ἄθροισιν. Ταῦτα γὰρ ἅτε κατὰ φύσιν ἔχοντα τὴν ἐναντιότητα οὐ δύναται συνυπάρχειν ἀλλήλοις· πῶς γὰρ ἂν συνέλθῃ ζωῇ θάνατος, ἢ τῷ ἡλίῳ τὸ σκότος; καὶ τοῦτο λέλεκται πολλάκις ἐν τοῖς φθάσασιν, ὡς οὐ κατὰ τὸν αὐτὸν ἀντίκειται τρόπον ὁ περὶ τῶν ἰδεῶν λόγος, καθ᾽ ὃν ἀλλήλοις ἀντίκεινται τὰ κατὰ φύσιν ἔχοντα τὴν ἐναντιότητα. τοὐναντίον γὰρ αἱ ἰδέαι πεφύκασι συνυπάρχειν ἀλλήλαις καὶ τότε μᾶλλον, ὡς ὁ τεχνικός φησι, γίνεται θαυμάσιος ὁ λόγος, ὅταν διὰ τῶν ἐναντίων ἰδεῶν εὖ κεκραμένος [13] περαίνηται.

ιέ. Προεῖπεν, [14] ὅτι ἐναντία σεμνότητι ἀφέλεια, ἣν νῦν καλεῖ λεπτόν, [15] καὶ ὅτι τῷ μεγέθει, ἥτις ἐστὶ γενικὴ ἰδέα, ἐναντία ἐστὶν εὐτέλεια. ἡ δὲ ὥρα, ἣν νῦν καλεῖ χάριν, ἐναντιοῦταί τισι τῶν ἰδεῶν, τῶν ὑπὸ τὸ μέγεθος ἀναγομένων. νῦν οὖν ἀντὶ τοῦ εἰπεῖν εὐτέλειαν χάριν εἶπεν, εἰδὼς ὅτι τὸ ἐναντιούμενον τοῖς εἴδεσι κατὰ συγγένειαν καὶ αὐτῷ ἐναντιοῦται τῷ γένει, τουτέστι τῷ μεγέθει.

ις᾽. Διὰ τί προειπὼν, ὅτι ἀντίκειται καὶ ἡ γλυκύτης τῇ σφοδρότητι καὶ ἰδίως ἡ ἐπιείκεια, ἐνταῦθα τὴν ἀφέλειαν λέγει; καί φαμεν, ὅτι [16] ἐπειδὴ ἴσως συγγενεῖς εἰσιν ἀφέλεια καὶ ἐπιείκεια, αἵ τινες καὶ ὑπὸ τὸ ἦθος ἀνάγονται, καὶ οὐ πολὺ τούτων [17] τὸ διάφορον, ἀλλὰ μὴν καὶ ἀφελείας εἶδος ἡ γλυκύτης.

---

13 Mon. κεκραμμένος. — Litt. ιδ᾽. vide Vol. V. p. 505. v. 6—9. 14 Litt. ιέ. et ις᾽. est apud Sicel. 15 Sicel. λεπτὸν καλεῖ, καὶ ἔτι τῷ μ. — — ἐναντίον εὐτέλεια. Sch. min. Τὸ λεπτὸν καὶ τὴν χάριν λέγει τὸ κάλλος· τὸ διῃρημένον πρὸς μέγεθος τὰ τοῦ μεγέθους εἴδη. ib. Χάριν καὶ ἡδονὴν τὴν γλυκύτητα λέγει, ἧ ἐναντία ἐστὶ τραχύτης, σφοδρότης, ἀκμή, ἃς γενικῶς ὀνομάσας ἐπήγαγεν εἰδικῶς, αἷς ἐναντίον ἡ ἐπιείκεια. ib. Τὴν γλυκύτητα λέγει, ἣν καὶ ὥραν καὶ ἡδονὴν καλεῖ. Ὡς ὁ ῥήτωρ· οὐκ οἶδε τὸν θεολόγον, ἢ γὰρ ἂν λέληθε τούτων. Περιττὸν καὶ μεστόν· αὐτὴν τὴν περιβολὴν λέγει. 16 ὅτι Sicel. om. 17 Par. 2. Sicel.

ιζ. Τόλμαν[18] καλεῖ τὸ σὺν τραχύτητι καὶ σφοδρότητι διαπλέξαι τὸν λόγον, τολμηρῶς γὰρ τηνικαῦτα πάσῃ κέχρηται καταφορᾷ κατὰ μειζόνων τε καὶ ἐλαττόνων προσώπων, ἅπαντας τοὺς ἐπιτηδείους πρὸς τοῦτο κινῶν τόπους· καὶ ἀκόσμητον μὲν λόγον καλεῖ τὸν τραχύτητος μόνης ἀνάπλεων, οἷα δὴ πολλὰ παρὰ τῷ Ἀριστογείτονί[19] ἐστιν ἐν τῷ κατὰ Δημοσθένους, ἅμα δὲ πιθανότητι προϊόντα τὸν ἠθικόν τε καὶ ἀληθινόν· ἕτοιμον γὰρ πρὸς πειθὼ[20] τὸ ἦθός τε καὶ ἡ ἀλήθεια οἷον τὸ, „καὶ τοῦτον οὐδ' εἰ[21] γέγονεν εἰδὼς οὐδὲ γιγνώσκων, ὡς μηδὲ νῦν ὤφελον," καὶ τὸ[22] „ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι."

τούτων. Mon. τοῦτο. 18 Ven. post litt. *l.* *Ἔνθα δὲ τόλμης δεῖ κάλλος, καὶ τὸ μὴ κεκοσμημένον ἅμα πιθανότητι· Τόλμαν* [Mon. *τόλμης*] *καλεῖ.* Sch. min. *Ἔνθα εἰσὶ τὰ νοήματα δύσκολα, ἵνα ποιήσῃ κάλλος, τοῦτο δέ ἐστι τόλμης. Σημείωσαι, ὅτι ἐν τούτῳ τῷ χωρίῳ πᾶσαν ἐναντιότητα τῶν ἰδεῶν διεξῆλθε. Εὔζωνον· σύντομον, ἀπέριττον, ὅπερ γοργότητος ἴδιον.* ib. *τὸ εὐσταλὲς καὶ εὐσταθὲς, εὐζώνους γάρ φησι στρατιώτας τοὺς τὰ ἀναγκαῖα φέροντας. Ἐνδιαθέτου ἐμφαντικὸν· μία ἐστὶν ἰδέα ἡ ἀληθὴς ἣν καὶ ἐνδιάθετον καὶ ἔμψυχόν φησι.* ib. *τὸ ἐμφαῖνον τὰ νοήματα τῆς ψυχῆς.* 19 Mon. et Par. 1. *Ἀριστογείτονι ἐν τῷ κατὰ Δημοσθένους.* Invertendum primum censui: *Δημοσθένει ἐν τῷ κατὰ Ἀριστογείτονος·* sed cum hunc verborum ordinem a scribis immutatum esse parum credibile sit, malim cogitare de Aristogitonis *ἀπολογίᾳ πρὸς Δημοσθένην*, cujus meminit Suidas s. v. *Ἀριστογείτων;* ubi quod addit „*τὸν στρατηγὸν*" delendum potius videtur, quam cum Hiesslingio [Quaest. Attic. Specimen, Cizae 1832. p. 4.] scribendum *πρὸς Λεωσθένην*, quam conjecturam probat Westermannus in histor. Gr. eloqu. P. 1. p. 99. et in ephemerid. scholast. A. 1833. n. 48. p. 379. Fortasse vero etiam post *Δημοσθένην* propter ὁμοιοτέλευτον excidit: *πρὸς Λεωσθένην.* 20 Mon. *προσπίθησον.* 21 Mon. *καὶ τούτου οὐ δεῖ.* quod praecedit: *οἷον τὸ* Ven. om. — Dem. in Mid. p. 539. 22 de fals. leg. p. 403.

ιή. Δοκεῖ πταῖσμα εἶναι γραφικόν· ἔδει γὰρ εἰπεῖν ἔνθα δὲ δεῖ τοῦ ἀμελοῦς· ἐναντίον γὰρ κάλλει, ὡς αὐτῷ δοκεῖ, τὸ ἀμελές· ἴσως δὲ τόλμαν ἂν λέγοι πάλιν τραχύτητα καὶ σφοδρότητα, τολμηρὸν γὰρ τὸ κατὰ μειζόνων λέγειν προσώπων, ὃ ἴδιον τραχύτητος, καὶ τὸ ἐπιτιμᾶν καὶ ἐλέγχειν, ὃ ἔχει σφοδρότης, ἄρρυθμοι δὲ αὐτῶν καὶ [23] αἱ συνθῆκαι, διὸ δέονται κάλλους.

ιθ'. Τῆς γὰρ [24] λαμπρότητος τοῖς μακροτέροις τῶν κώλων ἀεὶ χαιρούσης, ἀναγκαῖον ἔσθ' ὅπου κατά τινα καὶ [25] διαστήματα τὴν γοργότητα συμπλέκειν τοῖς κατ' ὄνομα κομματικοῖς, ἀγωνιστικώτερον ποιοῦσαν τὸν λόγον, οἷον [26] „Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Μεθώνην."

κ'. Πάλιν τὸ πιθανὸν καὶ ἡ πιθανότης οὐκ εἰσὶν ἰδέαι, ἀλλ' εἰσὶν ἀρεταὶ λόγου, ἃς ἐργάζονται ἀφέλεια καὶ ἀλήθεια, γλυκύτης [27] καὶ ἐπιείκεια· οἱ γὰρ ἠθικοὶ καὶ ἐνδιάθετοι λόγοι πείθουσιν ἑτοιμότερον τοὺς ἀκούοντας· ἐπειδὴ οὖν τῇ ἀκμῇ ἐναντίον γλυκύτης καὶ ἐπιείκεια, ἀντὶ τούτων τὸ ἐξ αὐτῶν ἀποτελούμενον εἶπεν.

Πάσαις [28] ταῖς ἰδέαις, φησὶν, εἴτε κεχωρισμέναις, τοῦτο γὰρ τὸ αὐτοῖς ἑκάστοις, εἴτε μεμιγμέναις, τοῦτο γὰρ τὸ ταῖς μίξεσιν αὐτῶν εἰ μέλλοι τις εὐκαίρως καὶ προσηκόντως χρῆσθαι.

---

23 καὶ Par. 1. Mon. om., recepi ex Par. 2. 24 Ven. litt. ιή. omissa: *Λαμπρότητι δὲ τὸ γοργὸν καὶ ἀγωνιστικόν.* 25 καὶ Par. 2. om. 26 Ol. I. p. 12. 27 γλυκύτης Par. 1. om. 28 *Πάσαις ταῖς ἰδέαις φ. ἐ. κεχ. τοῦτο γὰρ τὸ αὐτοῖς* Mon. omittens haec et sq. litt. κά. ita commiscet. *Μικρότατον καὶ οὐ μέγα, εἰ εὐκρίνεια καταμίγνυται ἑκάστοις, εἴτε μεμιγμ. — — — προσηκόντως χρῆσθαι περιβολὴν, ὅπου γε καθαρότης.* Disposui ad ordinem, qui est in Par. Sch. min. *Τῶν παρακολουθούντων, τῶν περιστατικῶν, παρακολουθούντων δὲ λέγει τοῖς πράγμασι. Διὰ φιλοτιμίαν· ἔστιν ἡ γνώμη τοῦ προσώπου. Ἐν τῇ περιβολῇ· Καθ' ὑπερβατὸν ἐσχημάτισται· ἔστι γὰρ οὕτως καὶ μᾶλλον ποιεῖν ἐν τῇ κατ' ἔννοιαν περιβολῇ τὸν λόγον.*

κά. Μικρότατον καὶ οὐ μέγα, εἰ εὐκρίνεια καταμίγνυται περιβολῇ, ὅπου γε καθαρότης ἡ ἄντικρυς ἐναντία περιβολῇ μίγνυται αὐτῇ, ὅ ἐστι θαυμαστὸν καὶ μεῖζον ἐκείνου.

κβ. Καλῶς προσέθηκε τὸ σχεδόν, ἡ μὲν γὰρ τῇ καθαρότητι ἐναντία, αὕτη δὲ διορθωτικὴ τῆς καθαρότητος δοκεῖ καὶ τῆς εὐκρινείας εἶναι, καὶ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ ἀναγκαία, δεῖ γὰρ τοῖς περιβλητικοῖς πᾶσιν, ὅτε αὐξηθεῖεν καὶ μεστὸν ποιοῖεν τὸν λόγον, παρεῖναί τι τῶν εὐκρινούντων, ὡς ἂν μὴ συγχέοιντο, ἀλλ' εὐκρινὴς ὁ λόγος γίγνοιτο.

κγ. Σημείωσαι, ὅτι ἀνάγκη τοῖς περιβλητικοῖς παρεῖναι τὴν εὐκρίνειαν, ἵνα μὴ ἡ σύγχυσις καὶ ἡ ἀσάφεια βλάπτῃ τὸν λόγον.

κδ'. Ἐκεῖ γὰρ εἶπεν, ὅτι ὅταν κατὰ ἀνάγκην τινὰ κινδυνεύῃ εἰς τὸ ἐναντίον τῇ σαφηνείᾳ [29] πίπτειν ὁ λόγος, διορθοῦται ἡ εὐκρίνεια.

κέ. Ἕκαστον γὰρ τῶν περιστατικῶν μορίων, εἴ τις διὰ πλειόνων τόπων ἐξεργάζεσθαι βούλοιτο, πολλὴν πλατύτητα ποιεῖ τῷ λόγῳ.

κς'. Ἴσως τοῦτό ἐστιν, ὃ καλεῖ Αἰσχίνης ἀπὸ τῆς ὁμοιώσεως, οἷαί εἰσιν αἱ παραβολαί, ὡς Δημοσθένης ἐν δευτέρῳ Φιλιππικῶν· „ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότερα εἶναι δεῖ, οὕτως καὶ τῶν [30] πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει·“ τὸ δὲ ὅμοιον διαφέρει τοῦ ἴσου· τὸ μὲν γὰρ ὅμοιον ποιότητος, τὸ δὲ ἴσον πηλικότητος· καὶ Μινουκιανὸς ἐν τῷ περὶ τῶν στάσεων δευτέρῳ ὡς εἴδη διάφορα τίθησι τό τε ἀπὸ τοῦ ὁμοίου καὶ τὸ ἀπὸ τοῦ ἴσου ἐν τῷ συλλογισμῷ.

κζ. Ὡς ἐν τῷ πρὸς Λεπτίνην, „καὶ γὰρ ἂν ἄλογον

29 Mon. συναφείᾳ. Par. πίπτειν ὁ λόγος τῇ σαφηνείᾳ. 30 τῶν πράξ. — ὑποθέσεις Mon. om., recepi ex Dem. Ol. II. p. 21.

εἴη,[31] εἰ μίαν μὲν πόλιν ἀπώλεσεν ἡ ναῦς δέκα, περὶ προδοσίας ἂν εἰσήγγελλον αὐτὸν οὗτοι· ἐπεὶ δὲ τοὐναντίον[32] ἑπτακαίδεκα μὲν πόλεις εἷλεν, ἑβδομήκοντα δὲ τριήρεις ἀπώλεσεν ἢ ἔλαβε·" τῷ γὰρ προσκτήσασθαι ἐναντίον τὸ ἀπολέσαι, διαφέρει δὲ τὸ ἐναντίον τοῦ ἀντικειμένου, ὅτι ἐν μὲν τῷ ἀντικειμένῳ ἔνεστι πρᾶγμα γεγονὸς ἢ μὴ γεγονός· οἷον ἠρίστευσεν, οὐκ ἠρίστευσεν· ἐν δὲ τῷ ἐναντίῳ δύο, λελοιπέναι τὴν τάξιν καὶ ἠριστευκέναι.

κή. Πάντων[33] μὲν ἄμεινον καὶ τελεώτατον ὁ φιλόσοφος Ἀριστοτέλης παραδίδωσι τὰ περὶ τόπων ἐν τοῖς οὕτως ἐπιγραφομένοις τοπικοῖς βιβλίοις, καὶ Βασιλικὸς[34] δὲ ὁ σοφιστὴς ἐν τῷ περὶ τόπων μονοβιβλίῳ τούτους τε ἀπαριθμεῖται τοὺς τόπους, καὶ ἄλλους ἀμφὶ τοὺς εἴκοσι, δι' ὧν πλατύτερον τῶν πραγμάτων οἷόν τε ποιεῖσθαι τὰς ἐργασίας.[35]

κθ'. Ὡς ἐν τῷ πρὸς Λεπτίνην,[36] „οὐ γὰρ εἰ μὴ χρήματα ἀπόλλυτε μόνον σκεπτέον, ἀλλ' εἰ καὶ δόξαν χρηστὴν, περὶ ἧς μᾶλλον σπουδάζετε ἢ περὶ χρημάτων."

λ'. Εἶτα οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ

---

31 εἴη Mon. om., absorptum sine dubio sequente εἰ. recepi ex Dem. p. 481. 32 Sch. min. Τοῦ γένους· ὡς τὸ πονηρὸν ὁ συκοφάντης, ὃ προεῖπεν αὐτός. Τοῦ εἴδους· ταῦτο δὲ φύσει κίναδος [Cod. κίνμιδος] τἀνθρώπιόν ἐστι. [pro cor. p. 307.] Τοῦ ὅλου· ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως, ὅλον γὰρ ἡ ἀκρόπολις, μέρος δὲ ὁ ἐγγὺς τῆς Ἀθηνᾶς τόπος. Ἀπὸ τοῦ μείζονος· τὰ τοιαῦτα γὰρ ποιεῖ καὶ τὰ ἐπιχειρήματα, ὡς ἔμαθες ἐν τῷ περὶ ἐργασίας ἐπιχειρημάτων. Πρόσληψιν λέγει τὸ ἔξωθεν λαμβανόμενον. 33 Ven. post litt. ιθ'. Δύναται γὰρ καὶ αὔξεσθαι ἕκαστα τούτων, ἕκαστον γὰρ τῶν περιστατικῶν μορίων, εἴ τις διὰ πλειόνων τόπων ἐπεξεργάζεσθαι βούλοιτο, πολλὴν πλατύτητα ποριεῖ τῷ λόγῳ. ἔστι δὲ ἀπὸ τοῦ μείζονος, ἴσου, ἐλάττονος. πάντων μὲν οὖν. 34 καὶ Βασιλικὸς — — — μονοβιβλίῳ Par. 1. om. Par. 2. habet τῷ π. τ. μονοβίβλῳ. 35 Ven. transit ad litt. λβ'. [quam vide Vol. V. p. 506. v. 13. — p. 507. v. 3.] a litt. λβ'. ad litt. μή. 36 p. 459.

δύναιτ' ἐκεῖνος, ταῦτα παιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε; ἐν Ὀλυνθιακῷ πρώτῳ· [37] ἰστέον δὲ, [38] ὅτι τὸ ὅμοιον ποιότητός ἐστι, τὸ δὲ ἴσον πηλικότητος· διαφέρουσιν οὖν ἀλλήλων ταύτη.

λά. Ὡς [39] ἐν τῷ κατὰ Μειδίου, κ. τ. λ. Vol. V. p. 506. 5 v. 10. — 507. v. 3.

λγ'. Ἡ γὰρ περιβολὴ ἐκ τῶν παρακολουθούντων γίνεται τῷ πράγματι, ταῦτα δὲ αὔξησίς ἐστι τῶν περὶ τὰ πρᾶγμα, διὰ δὴ καὶ οὐ προσῆκε τῶν τοιούτων ἐν τῷ περὶ ἰδεῶν διαλαβεῖν, ἀλλ' ἐν τῷ περὶ πίστεως· οὐ γὰρ 10 ἔννοιαι ταῦτα περιβολῆς, ἀλλ' ἐπιχειρήματα καὶ αὔξησις τῶν ποιούντων περιβολήν. [40]

λέ. Διὰ τὸν Αἰσχίνην λέγει, ὅτι ἀφεὶς εἰπεῖν τὰ τῆς πρεσβείας ἄλλα εἶπε, δι' ὧν ἐμισθώθη. [41]

λς'. Ὡς ὁ ποιητὴς ἀπὸ τῆς ὀργῆς Ἀχιλλέως ἤρξατο, 15 ὃ δεύτερον ἦν, εἶτα ἐπήγαγε τὴν αἰτίαν τῆς ὀργῆς, ὃ ἦν πρῶτον.

λζ. Μέθοδος περιβολῆς τὸ κεχρῆσθαι τῷ κατ' ἐπεμβολὴν σχήματι ἀνατρέψαντα τῶν πραγμάτων τὴν τάξιν.

λή. Τῷ γὰρ ἐνταῦθα ἐγίνοντο οἱ ὅρκοι [42] ἀκόλου- 20

---

37 p. 16. 38 ἰστέον δὲ ὅτι τὸ ὅμοιον — — ἀλλήλων ταύτη Par. om. 39 ὡς Mon. om. recepi ex Parr. 40 Litt. λδ'. vide Vol. V. p. 507. v. 4 — 9. 41 Par. 2. ἐμισθώθη. Mon. ἐμισώθη. Par. 1. ἐμνήσθη. omnes δι' ἧς. rectius Par. 1. inter sch. min. ubi totum scholia repetit: δι' ὧν. ibid. κατ' Αἰσχίνου ὁ λόγος. 42 Schol. min. Ἀποδεικνύει ὁ Δημοσθένης, ὅτι ὁ Αἰσχίνης παρεπρέσβευσεν· ὤμνυε γὰρ ὁ Φίλιππος, ὅτε εἰρήνη ἐγίνετο. Οὔτε μικρὸν· ἐπεμβολή. Ἐπισυνάπτειν· μάθε τί διαφέρει τὸ ἐπεμβάλλειν τοῦ ἐπισυνάπτειν. Παυδοκείῳ· ἐν τῷ παραπρεσβείας εἰς τὸν δεύτερον Φιλιππικόν. Ἐπισυνῆπται· τὸ ἐνταῦθα ἐγίνοντο οἱ ὅρκοι. Ἡ ποιότης· σημείωσαι, ὅτι ἡ ποιότης περιβάλλει. Αἰσχρῶς· ἐπίκρισις. ib. ἐπίκρισις γὰρ τὸ αἰσχρὸν· ὦ Ἀθηναῖοι. Ἀλλὰ νῦν οὐ περὶ τούτου· περὶ τῆς ἀληθείας ὕστερον ἐρεῖ.

ϑόν ἐστι τὸ, ὅτε δεῦρο ἤδη τὸ στράτευμα ἄγων ἐβάδιζε Φίλιππος.

λϑ'. Ἕτερον ἀντὶ τοῦ σεμνὸν, σεμνότητος γὰρ σχῆμα εἶναι τὴν ἐπίκρισίν φησι τὸ αἰσχρῶς, ὦ Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν.

μ'. Πρότασις, ὅτι συμφέρων ὁ νόμος ἐστὶ, κατασκευὴ, οὐ γὰρ οἱ πένητες ἀδικηθήσονται, οὐκέτι [43] γὰρ ἀπὸ μικρῶν ἀναλωμάτων ἀτέλεῖς ἔσονται οἱ πλούσιοι, οὐκέτι ὑστερήσει τῶν καιρῶν ἡ πόλις.

μά. Σημείωσαι, [44] ὅτι ἐν τῷ τετάρτῳ τῶν Φιλιππικῶν τὰς κατασκευὰς τοῦ προοιμίου προτάττει τῆς προτάσεως, ὁ δὲ σοφιστὴς Ἀσκληπιὸς κατασκευὴν εἶναι λέγει ἄνευ προτάσεως, καὶ ἐοικέναι φησὶ τῷ πρώτῳ προοιμίῳ τοῦ Ἀρχιδάμου Ἰσοκράτους, Ἑρμογένους λέγοντος ἐναντίον εἶναι.

μβ'. Ὅπως μὲν κατὰ ἐννοίας καὶ μεθόδους περιβάλλεται ὁ λόγος, ἱκανῶς ἐν τοῖς προλαβοῦσιν ἐδίδαξε, λέξιν δὲ ἰδίαν περιβολῆς οὐκ εἶναί φησιν.

μγ'. Ἀντὶ τοῦ λίαν ἀμαθῶς, οὐδὲν γὰρ ἐξετάσαντες ἀβασανίστως οὕτωσί πως τὸ δόξαν αὐτοῖς ἐνομοθέτησαν.

μδ'. Ἐν τῷ περὶ δεινότητός φησιν, ὅτι ἐστὶ λόγος μὴ ὢν μὲν δεινὸς, δοκῶν δὲ εἶναι· καὶ πάλιν ὢν μὲν δεινὸς, οὐ δοκῶν δὲ, καὶ ἄλλος ὁ δοκῶν καὶ ὢν δεινὸς, ὥστε εἶναι εἴδη τρία. λέγει οὖν νῦν δεινότητα τὴν κατὰ μέθοδον τὴν [45] οὖσαν καὶ δοκοῦσαν, τὸ ταῖς ἰδέαις ἁπάσαις τοῦ

---

43 Mon. οὐκ ὅτι ἀπὸ μικρῶν ἀνελομένων. 44 Sch. min. Σημείωσαι, ὅτι ἐν τῷ περὶ τοῦ στεφάνου πρὸ τῶν προτάσεων τίθησι τὰς κατασκευάς. ib. Ἀπὸ τοῦ ὁρῶν φησι τὸ ναυτικὸν μέχρι τοῦ ἔθηκα νόμον κατασκευή ἐστι τῆς προτάσεως. Ἔθηκα νόμον· τοῦτο πρότασις. Σημείωσαι, ὅτι λέξις ἰδία περιβολῆς οὔποτ' ἂν εὑρεθείη. Τὸ ἰδίᾳ ἐπιῤῥηματικῶς τινες. Ἄλλαι τινές· ὥσπερ αἱ κοιναὶ καὶ συνήθεις, φησὶν, ἦσαν τῆς καθαρότητος. Εἰ μή τις· ἐκ διπλασιασμοῦ. 45 Parr. τὴν καὶ οὖσαν καί. Sch. min. Τὸ

λόγου καὶ πάσαις ἐννοίαις εἰδέναι, πότε δεῖ, καὶ ποῦ, καὶ πῶς χρήσασθαι, καὶ μὴ μόνον εἰδέναι, ἀλλὰ καὶ δύνασθαι. Σημείωσαι,[46] ὅτι λέξις ἰδία περιβολῆς οὔποτ' ἂν εὑρεθείη.

με. Ὅπερ ἐστὶ μέθοδος δεινότητος· μέθοδος δὲ περιβολῆς καὶ ἡ ἐπιμονὴ, ἣν ὁ Τιβέριος ἐν τοῖς σχήμασι κ. τ. λ. Vol. V. p. 507. v. 15—20.

μς. Διὰ τὸ ἐπιμεῖναι τῇ ἐρωτήσει, ὅταν ἰσχύωμεν[47] τῷ πράγματι.

μζ. Σημείωσαι, ὅτι ἐοικότα σχήματα λέγει τῇ ἀπαριθμήσει τό τε ἀπαριθμητικὸν καὶ τὸ κατὰ προτίμησιν· τί δὲ διαφέρει ἀπαρίθμησις ἀπαριθμητικοῦ[48] δηλοῖ τὰ ἐνταῦθα λεγόμενα.

γὰρ τί ἐροῦμεν, καὶ τί φήσομεν; ἰσοδυναμοῦσιν. Τὸ προορώμενος καὶ λογιζόμενος τὸ αὐτό ἐστι. Δεσπότης καὶ κύριος τὰ αὐτά ἐστιν. Τόγε ἡμῖν δοκοῦν· καὶ τί εἴρηκεν, ὅτι περιβολῆς ἴδιαι λέξεις οὐκ εἰσὶ κατά γε ἐμέ. ib. οὐ τὴν αὐτὴν ἐκείνοις ἔχει δόξαν, Ὅταν ἐπιμένωμεν· ἐπὶ μὲν γὰρ τῶν ἐνδόξων πραγμάτων ἐπιμένομεν, ἐπὶ δὲ τῶν αἰσχρῶν ἀπαλλαττόμεθα. [Par. 2. ταχὺ ἀπαλλ. uterque ἐπὶ] ib. Τί ἐστιν ἐπιμονὴ, εἶπε κατὰ τὰς εὑρέσεις ἐν τῷ περὶ πνεύματος. 46 σημείωσαι — εἰρεθείη Par. om. 47 Mon. ἰσχύομαι. 48 Mon. ἀπαριθμεῖται. Sch. min. Τοῦτο ποιεῖ· ἐμμένει. Οὐ φαῦλον· οὐκ ἄτοπον. Ποιεῖν περιβολήν· λέγει τοῦτο, ὅτι καὶ τὸ ἐπιμένειν μέθοδός ἐστι περιβολῆς. Πεποιηκὼς καὶ κεχρημένος τὰ αὐτὰ, ἐπιμένει γάρ. Καὶ γὰρ ἐνταῦθα· ἰσοδυναμεῖ γὰρ τὰ δύο κῶλα, καὶ τὸ ἓν περιττὸν διὰ τοῦτο. Ἀνταπόδοσιν· τὸν δὲ σύνδεσμον. Σημείωσαι, τίνι διαφέρουσιν αἱ διὰ μακροῦ ἀποδόσεις καὶ ἐπαναλήψεις αἱ διὰ μακροῦ. Πρῶτον μὲν ὦ Ἀθην. Πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίας. Πάλιν πρώτου· ποιεῖται ἐπανάληψιν ἀπὸ τοῦ πρώτου. ib. Τοῦτο ἕνεκα μὲν τῆς ἐπαναλήψεως εὐκρινείας ἐστὶν, ἕνεκα δὲ τοῦ διὰ μακροῦ ἀποδεδόσθαι περιβολή. Μάλιστα μὲν οὖν· ὅταν προτιμᾷς ἕτερον ἑτέρου. Καθ' ὑπόθεσιν· διότι λαμβάνει τὸ μὴ ὂν ὡς ὄν. Τὸ κωλῦσαι· ἰστέον, ὅτι τοῦτο οὐκ ἔστιν

μή. Οὐ [49] γὰρ μόνον κατὰ πλαγιασμὸν ἐξενήνεκται τὸ χωρίον, ἀλλὰ καὶ σὺν τοῖς περιστατικοῖς διαπέπλεκται, πράγμασι, προσώποις, αἰτίαις, ὅπερ ἐστὶν ἔννοια περιβολῆς· ἔτι γε μὴν ἐν πολλοῖς μέρεσι τοῦ χωρίου καὶ τὰς κατασκευὰς λέγει πρὸ τῶν πρατάσεων, ὅπερ ἔστι μέθοδος περιβολῆς, οἷον· [50] „ταῦτα δὲ ὁρῶν Φίλιππος, οὐ γὰρ ἦν ἀφανῆ, καὶ τοῖς παρ' ἑκάστοις προδόταις χρήματα ἀναλίσκων πάντα συνέκρουε καὶ πρὸς ἀλλήλους ἐτάραττε·" τοῦ γὰρ πάντα συγκρούειν προτάσεως οὔσης κατασκευή ἐστι τὸ χρήματα ἀναλίσκειν τοῖς ἑκασταχοῦ προδόταις. [51]

νά. Τὸ κέχρηται συμφορᾷ, καθὸ μὲν μικρόν ἐστι καὶ κομματικὸν καὶ καθ' ἑαυτὸ τὴν διάνοιαν ἀπήρτισε, καθαρόν ἐστι, καθὸ δὲ κατ' αὔξησιν εἴρηται, περιβλητικόν ἐστι κατ' ἔννοιαν· τὴν γὰρ ἀτιμίαν αὔξων συμφορὰν ἐκάλεσεν, ὥστε τὸ μὲν κῶλον καθαρόν, ἡ δὲ ἔννοια περιβλητική.

νβ'. Ἡ μὲν λαμπρότης [52] οὐχ ἁρμόττει, διότι παρὰ τοῖς ἰδιώταις οὐχ οἷόν τε ἔδοξε πράγματα γίνεσθαι. ἡ δὲ

ὑπομερισμός, καθὸ οὐκ ἔχει τὸν δὲ σύνδεσμον. ib. ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. Μειζόνως· τοῦτο τὸ χωρίον, φησὶ, καὶ ἐννοίᾳ καὶ μεθόδῳ περιβέβληται καὶ πολλοῖς ἑτέροις. ib. Τὸ Δημοσθενικὸν τοῦτο χωρίον τό· τοῦ γὰρ Φωκικοῦ. 49 Ven. περιβέβληται δὲ τοῦτο μειζόνως οὐ μόνον κατὰ τόδε σχῆμα, ἀλλὰ καὶ κατὰ ἔννοιαν καὶ κατὰ μέθοδον, καὶ κατὰ ἄλλα σχήματα πλείονα· οὐ γὰρ μόνον κ. τ. λ. 50 pro cor. p. 230. 51 Litt. μθ' et ν'. vide Vol. V. p. 508. v. 5 — 15. 52 Ven. litt. νά. omissa: Τῶν δὲ ἄλλων ἰδεῶν, αἳ ποιοῦσι τὸ μέγεθος τῶν λόγων, ἐν μὲν ἰδιωτικοῖς σχεδὸν οὐδεμία πλὴν σφοδρότητος ἁρμόττει. Ἡ μὲν λαμπρότης κ. τ. λ. Sch. min. Τῆς περιβολῆς· Ἀπὸ κοινοῦ τῆς περιβολῆς τὰ παραδείγματα μυρία. Οὐ γάρ ἐστιν· Πάντα, φησὶν, ὡς εἰπεῖν τὰ τοῦ ῥήτορος περιβέβληται. Τὸ συμφορᾷ καθολικόν ἐστι. Ἀπολαβών· εἰ μὴ τῷ Δημοσθενικῷ χωρίῳ τι διελὼν, τοῦτο γὰρ τὸ ἀπολαβών, εἶπε; ὅτι καθαρὸν καὶ ἀπερίβλητον. ibid. Τὸ ἑξῆς οὕτως· ἀλλὰ τὸ διαρκὲς εἰ διαρκοίη καὶ ὅλως τὰ ἑφεξῆς ἅπαντα.

τραχύτης οὐ παραληπτέα, διότι κατὰ μειζόνων προσώπων οὐκ ἂν χρήσαιτο καταφορᾷ ἰδιώτης, ὅπερ τραχύτητος ἴδιον. διὰ τὰ αὐτὰ δὲ οὐδὲ τῇ ἀκμῇ χρηστέον ἐν ἰδιωτικοῖς, ἀπὸ γὰρ τῆς μίξεως τῶν προειρημένων γίνεται. σφοδρότης δὲ ἁρμόδιος ἰδιώταις· εὑρίσκεται γὰρ ἐν αὐτοῖς τὰ μὲν μείζονα, τὰ δὲ καταδεέστερα πρόσωπα· ἔγνωμεν δὲ, ὡς αἱ τῶν καταδεεστέρων προσώπων ἐπιτιμήσεις ἴδιαι σφοδρότητος, καὶ ταύτην δὲ οὐ καθαράν φησιν εὑρίσκεσθαι ἀντὶ τοῦ οὐχὶ ἄκρατον, πρῶτον μὲν γὰρ οὐ [53] πάντως καὶ πεποιημέναις χρήσεται λέξεσιν ὁ ἰδιώτης ἐπιτιμῶν, οἷόν ἐστι τὸ ἰαμβοφάγος καὶ γραμματοκύφων, αὗται γὰρ τραχύτητος ἴδιαι, ἔπειτα δὲ [54] τῷ ἤθει συμπλέξει τὴν τραχύτητα, ὅπως ἂν ἰδιώτῃ πρέπων [55] μᾶλλον ὁ λόγος φαίνηται.

νγ'. Ἀντὶ τοῦ κατὰ τραχύτητος καὶ σφοδρότητος καὶ λαμπρότητος προάγειν τὸν λόγον· ἡ γὰρ ἀκμὴ ἐκ τῶν τριῶν τούτων γίνεται· [56]

πῶς οὐ περιβεβλημένα, τὰ δὲ λοιπὰ διὰ μέσου· φησὶ δὲ, ὅτι ὁ ἀπολαβὼν κομματικὸν χωρίον Δημοσθενικὸν λέγοι ἄν, ὡς καθαρόν ἐστι καὶ ἀπερίβλητον, ὥσπερ τό· Σαννίων ἐστὶ δήπου τις· ἀλλ' εἰ πρὸς τὸ διαρκὲς καὶ συνεχὲς ἀπίδοι τοῦ λόγου, αὐτοῦ τε τοῦ Σαννίωνος καὶ τῶν ὁμοίων, εὑρήσει μὲν ταῦτα τὰ δοκοῦντα καθαρὰ περιβεβλημένα. Σημείωσαι, ὅτι οὐδὲ τὸ ἦθος τοῦ ῥήτορος τραχὺ φαίνεται. Ἐπιφοράν· καταδρομήν. Ἐν τοῖς κατὰ Φιλίππου· ἐν τοῖς δημοσίοις. 53 οὐ Par. 1. om. 54 δὲ Mon. om. 55 Par. μᾶλλον πρέπων ὁ λ. φαίνηται. Ven. πρέπων ἔτι μᾶλλον. Mon. πρέπων μᾶλλον. Ven. et Mon. φαίνοιτο. 56 Ven. litt. νγ'. omissa: οὐ μὴν οὐδὲ ἐνταῦθα ἐκείναις μᾶλλόν ἐστι πλεονάσαι. καὶ γὰρ κ. τ. λ. Vol. V. p. 508. v. 21. — p. 510. v. 2. Schol. min. Ἐφέλκονται νοήματα· τοιοῦτόν ἐστι καὶ τό· ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος, ἵνα μικρόν τι καυχήσωμαι. Ἀφ' ἧς ἡμέρας· ἐκράτησεν, ἠχμαλώτησεν ὁ Φίλιππος πρὸ τοῦ τὸν Δημοσθένην τοῦ κοινοῦ προΐστασθαι· ἀφ' ἧς δὲ ἡμέρας προΐστατο, ἐκωλύετο ὁ Φίλιππος.

Ἐπιτρέχον [57] ἐστὶ σχῆμα τὸ δι' ἑνὸς κώλου ἀπαρτίζον ἔννοιαν καὶ εὐθὺς μεταβαῖνον εἰς ἑτέραν καὶ αὐτὴν δι' ἑνὸς κώλου πληρουμένην, καὶ μεταπηδῶν εὐθὺς εἰς ἄλλην ὁμοίως, οἷον θεραπεύειν τὸν πρόεδρον, λύειν τὴν ὑποψίαν, ἔλκειν τὴν ἐκκλησίαν ἐφ' ἑαυτόν· περισυναπτικὸν δὲ ἐκεῖνο τὸ εὐθὺς ἐπάγον τῇ προτάσει τὴν ἀπόδοσιν, ὡς τοῦτο· πρότασις μὲν, τὸ ἐπειδὴ ἐκκλησία μὲν οὐκέτ' ἦν ὑπόλοιπος οὐδεμία, ἀπόδοσις δὲ διὰ τὸ προκατακεχρῆσθαι. Τὸ ἐπιτρέχον ἐπιτροχασμός ἐστι, τὸ παρακείμενον σχῆμα τῷ συναθροισμῷ καὶ τῇ ἐπιμονῇ· διαφέρει δὲ ἐκείνων, ὅτι τὰ πολὺ διεστηκότα συνάπτει, ὡς ἐν τῷ ἐννάτῳ τῶν Φιλιππικῶν· [58] „ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται πρότερον, ἦκεν ἐπ' Ἀμβρακίαν, καὶ ἐπέχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγαρεῖς ἐπεβούλευσαν πρῴην·“ ἰστέον δὲ, ὅτι τὸ ἐπιτρέχον σχῆμα τὸ αὐτό ἐστι τῷ κατ' ἐπιδρομήν, οὗ μέμνηται Οὐλπιανὸς, οἷον, „ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ.“ Πλαγιασμὸν δὲ ἀνωτέρω τοῦτο Ἑρμογένης φησίν· ἐν δὲ τῷ περὶ γοργότητος ἐπιτρέχον, καὶ πάλιν· „ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει·“ τάχους γὰρ τὸ σχῆμα ποιητικόν· ἐπιτροχασμὸς δὲ καὶ τὸ, „ὡς Πρόξενον οὐχ ὑπεδέξαντο, ὡς ἀσεβεῖς εἰσιν, ὡς ὅ τι ἂν δήποτε αὐτῶν κατηγορῇ·“ ἔστι δὲ ἐπιτρέχον σχῆμα διὰ τὸ τὰς ἐννοίας ἔχειν ὥσπερ ἐν δρόμῳ ἠρτημένας ἀλλήλων.

νζ'. Ἐκ τοῦ τὰ διεστηκότα συνάγειν καὶ συνάπτειν ἕτερα ἑτέροις προειρημένοις, τοῦτο δὲ τὸ ἐπιτρέχον σχῆμα ἐργάζεται.

νή. Ὑποστάσεις [59] καλοῦνται τὰ σχήματα ταῦτα, οἱονεὶ ὑποστῆσαι καὶ δεῖξαι τὸ πρᾶγμα δυνάμενα· τίς γὰρ ἐναργέστερον τοῦτο δείξειε τοῦ καὶ τοὺς ἀντιδίκους ὁμο-

57 Ἐπιτρέχον ἐστὶ — — ἠρτημένας ἀλλήλων Mon. om., recepi ex Parr. 58 Phil. III. p. 118. 59 Ven. litt. νζ'. omissa: Ἔτι ἐφέλκονται νοήματα καὶ ὑποστάσεις.

λογοῦντας παρεχομένου; ἢ πάλιν πῶς οὐκ ἐναργὲς ταῦτα παρὰ θεῶν αἰτεῖν, ὅσα τῇ πόλει καὶ τοῖς ἐνοικοῦσιν εὐχόμεθα προσεῖναι; [60]

60 Sequitur in Par. 1. Ἐκ τοῦ δευτέρου Ὀλυνθιακῶν δεύτερον προοίμιον ἀπὸ τοῦ δυνατοῦ· τὸ μὲν οὖν, ὦ Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι καὶ διὰ τούτων τῶν λόγων προτρέπειν κ. τ. λ. usque ad μέγαν αὐτὸν γεγενημένον, οὐχὶ παρ' αὐτοῦ. Συμπλήρωσις τοῦ δευτέρου λόγου· ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν κ. τ. λ. usque ad ταῦτ' εἰπεῖν πειράσομαι. In Ven. sequitur: Ἀλλὰ συντεθέντα δύο κώλοις ἑτέροις συνεζευγμένοις ὥσπερ ἐν στροφῇ τὴν ἀνταπόδοσιν ἔχει. Ὁ κατὰ συζυγίαν, φησὶ, μερισμὸς δύο ἐννοιῶν πρὸς δύο ἐννοίας τὴν ἀνταπόδοσιν ἔχει. Eadem sunt in Par. Ven. addit: ὥσπερ ἐν στροφῇ καὶ ἀντιστρόφῳ. tum sequitur litt. νθ'. — Sch. min. Parr. Ἡ σωτηρία τῇ πόλει· δηλονότι περιγίνεται. Δύο γὰρ κῶλα· τὰ πρότερα λέγει δύο, ὧν τὸ μὲν ἔληξεν εἰς τὰς δαπάνας, τὸ δὲ δεύτερον εἰς τὸ γίνεται, τῶν δ' ἑφεξῆς δύο κώλων τὸ μὲν εἰς τὸ ἀφθονίας λήγει, τὸ δὲ εἰς τὸ τῇ πόλει· ὅσων γὰρ κώλων ἡ στροφὴ, τοσούτων καὶ ἡ ἀντίστροφος· ἀριθμῷ γὰρ κοινωνοῦσιν ἀλλήλαις καὶ μέτρῳ, μόνῃ δὲ διαφέρουσι τῇ τάξει. Sch. min. αὐτοῖς ἐπεμβάλλονται διὰ τὸ πλεονάσαι τὴν περιβολὴν τῷ μερισμῷ προστεθέντος τοῦ μερισμοῦ. — Ἐπεμβολῆς καὶ μεστότητος καὶ τοῦτο, ὅτι μὲν ἀναμφηρίστως ὁ μὲν ἀνθορισμὸς καὶ ὁ συλλογισμός εἰσι τοῦ διώκοντος, ὁ δὲ ὅρος καὶ ἡ λύσις τοῦ συλλογισμοῦ τοῦ φεύγοντος, ἅπασι δῆλον· ἐπὶ δὲ τοῦ παρόντος ὑποδείγματος καὶ τὰ ἑξῆς· πρὸ γὰρ τοῦ ἀποδοθῆναι τῷ προτέρῳ μὲν τὸν δὲ, ἐπενεβλήθη μέσον ἕτερος μὲν καὶ δέ. Ἰσχυρὸν καθίστησιν· ἐκ τοῦ κατὰ Ἀριστοκράτους [p. 654.]· „τὸ τοίνυν ψήφισμα τουτὶ τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν διδὸν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος, μή τινα αἰτίαν ἔχωσι [Cod. ἔχουσι], παριστὰν, τοὺς μὲν ἀσθενεῖς, τὸν δὲ ἕνα ὄντα ἰσχυρὸν καθίστησι." Μεστὸν ἐποίησε τὸν λόγον· μεστὸν κατὰ τοῦτο λέγει, ὅτι συνέπλεξε μὲν πολλοὺς, καὶ δὲ πολλούς. Καθ' ὑπόστασιν λέγεται μερισμὸς, ὡς ὅταν τις λέγῃ· οὕτως ἐξήλεγξα τὸν ἐχθρὸν ἄδικον, ὡς καὶ αὐτὸν ἀναστάντα ὁμολογῆσαι τὸ ἀδίκημα,

ξ. Τὸ παλαιὸν περὶ τοὺς βωμοὺς χοροὺς ἱστάντες ᾖδον μέλη τινὰ ἐπινίκια, ὧν ὕμνοι θεῶν ἦν τὸ προοίμιον· κρατοῦντες δὲ τὰς ἀλλήλων χεῖρας ἐστρέφοντο ἅμα τῷ ᾄδειν περὶ τὸν βωμὸν, καὶ τοῦτο ἐκαλεῖτο στροφὴ, εἶτα εἰς τὸ ἐναντίον ἐστρέφοντο, καὶ τοῦτο ἐκαλεῖτο ἀντιστροφή· μετὰ τοῦτο ἱστάμενοι ᾖδον, καὶ τοῦτο ἐκαλεῖτο ἐπῳδός· ταῦτα δὲ ἐποίουν εἰς μίμησιν καὶ σύμβολον τοῦ παντός· αἱ μὲν γὰρ τῶν πλανωμένων σφαῖραι κινοῦνται ἐκ δυσμῶν ἐπὶ ἀνατολὰς, αἱ δὲ ἀπλανεῖς τοὐναντίον, ᾗ τε γῇ ἐν μέσῳ ἵσταται. ἰστέον δὲ, ὅτι τῇ τάξει μόνῃ διαφέρει ἡ ἀντιστροφὴ τῆς στροφῆς, οἷον τῷ εἶναι δευτέρα· ἐπεὶ καὶ τῷ ἀριθμῷ τῶν κώλων καὶ τῷ μέτρῳ κοινωνεῖ· ἡ δὲ ἐπῳδὸς καὶ τάξει καὶ μέτρῳ καὶ ἀριθμῷ διαφέρει αὐτῶν.

ξά. Ἡ παρίσωσις κ. τ. λ. Vol. V. p. 511. v. 4—7. τῆς δὲ κατὰ τὸ τέλος παρισώσεως τὸ μέν ἐστιν ὁμοιόπτωτον· τὸ δὲ ὁμοιοτέλευτον· ὁμοιοτέλευτον μὲν, οἷον τὸ Ἰσοκράτους ἐν [61] Ἑλένῃ· „τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον ἐποίησε, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν κατέστησε·“ τὸ γὰρ ἐποίησε καὶ κατ-

καθὼς καὶ ὁ Δημοσθένης περὶ τοῦ Φιλίππου πεποίηκε. Σχῆμα ἐξ ἀναιρέσεως συμπλεκτικὸν, οὐ μόνον κλέπτης, ἀλλὰ καὶ ἀνδροφόνος. Περιουσιαστικὰ, τέλεια, πεπλησμένα, ὅ ἐστι περιβλητικά. — Litt. νθ'. vide Vol. V. p. 510. v. 2 — p. 511. v. 2. 61 ἐν Mon. om. — §. 16. p. 234. Bekk. — Sch. min. Τὸ γὰρ ὡς τότε δημηγορῶν ἔφη, ἐπεμβολῆς ἐστι. Σημείωσαι, ὅτι γοργὸς ὁ λόγος, ὅταν μὴ μακραὶ αἱ ἐπεμβολαί. Τὸ ὅπερ καὶ ἀληθὲς γοργότητος. Ὅρᾳς πῶς εὐκίνητος· σφόδρα καλῶς ὁ πονεῖν βουλόμενος ὁρᾷ, θεῖε Ἑρμόγενες. Ad alterum: ὅπερ καὶ ἀληθές· τοῦτο ἡ ἐπεμβολὴ, καὶ προσεπακουστέον τὸ τό. Κἂν τῷ περὶ αὐτῆς προσεπακουστέον τὸ λόγῳ. Ἔστι γὰρ καὶ καθαρῶς· σημείωσαι, ὅτι ἐνδέχεται περιβάλλοντα καθαρῶς λέγειν καὶ ἀνάπαλιν.

κατέστησεν ἰσοσύλλαβον καὶ ὅμοιον τῷ τόνῳ· ὁμοιόπτωτον δὲ, ὅταν εἰς τὰς αὐτὰς πτώσεις λήγωσιν αἱ περίοδοι ἢ τὰ κῶλα, οἷον τὸ Ἰσοκράτους· „τῆς ὑπὸ μὲν Ἀθηναίων ἢ Λακεδαιμονίων στρατηγουμένης, [62] ὑπὲρ δὲ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀθροιζομένης.“ [63]

Cap. XII.

Περὶ ἐπιμελείας καὶ κάλλους.

δ'. Κάτω [1] ἡ ἀπόδοσις εἰς τὸ, „ἐπεὶ δὲ ἔστι τινά,“ ἃ δὴ σαφῶς ἐκτρέπων τῶν ἄλλων, πολλὰ γὰρ εἰπὼν ἐπαναλαμβάνει εἰπών· „κάλλος γὰρ λόγου κυρίως μὲν,“ ὃ προείρηται· αὐτοῦ δὲ τοῦ λόγου κυρίως κάλλος ἐστὶ τὸ σύμμετρον καὶ εὐειδὲς ἐκ πάσης καὶ ἑκάστης ἰδέας κεκραμένον.

ε'. Κυρίως [2] καὶ κατὰ πρῶτον λόγον καὶ προηγουμένως κάλλος εἶναι λέγει τὴν ἐξ αὐτῆς ἰδέας καὶ μέρους ἑκάστου [3] συμμετρίαν· κατὰ δεύτερον δὲ λόγον κάλλος, φησὶν, ἐστὶ λόγου τὸ εὐαρμόστως χρήσασθαι ταῖς ἐννοίαις καὶ τεταγμένως, ἀλλὰ μὴ χύδην.

ς'. Καὶ ἔστι περιληπτικώτερον μὲν τὸ μέλος, οἷον κεφαλὴ, χεὶρ, πούς· περιεχόμενον δὲ τὸ μέρος, οἷον ὀφθαλμοὶ, ὦτα, δάκτυλοι, ἀναλογοῦσι δὲ ἐν τοῖς λόγοις τοῖς μὲν μέλεσιν αἱ ἰδέαι, τοῖς δὲ μέρεσι τὰ ὀκτὼ ἑκά-

62 Par. 1. addit γῆς, quod abest a Mon. et Is. Paneg. §. 185. p. 88. Bekk. 63 Litt. ξβ'. et ξγ'. vide Vol. V. p. 511. v. 7.—16.

1 Litt. ά—γ'. vide Vol. V. p. 511. v. 20—p. 512. v. 14. 2 Ven. post litt. ά. Κάλλος ἐστὶ συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας, καὶ ἐστι περιληπτ. litt. ς'. 3 Post ἑκάστου sequitur in Mon. πρῶτον σημαινόμενον τοῦ κάλλους, omissis omnibus usque ad litt. ζ'., quae recepi ex Parr.

στης ἰδέας ποιητικά· καὶ τί ἐστι [4] κάλλος καθολικόν; συμμετρία, ὅ ἐστιν εὐαρμοστία καὶ ἡ ἐπανθοῦσα χροιά.

ζ. Δεῖ, [5] φησὶ, τὴν ποιότητα τοῦ λέγοντος καὶ τὸ ἦθος ἐκλάμπειν δι' ὅλου τοῦ λόγου, καθάπερ ἐν τοῖς σώμασιν τὸ καλούμενον χρῶμα· τὸ γὰρ φαινόμενον τοῦτο κάλλος ἐφελκτικὸν μέν ἐστιν, ἅτε κομμωτικὸν, [6] τὴν δὲ ποιότητα οὐκ ἐμφαίνει τοῦ λέγοντος, εἴτε περὶ τὴν λέξιν ἔχον τὴν σύστασιν· ὡρίσαντο δέ τινες τὸ ἐν σώματι κάλλος ἀληθὲς οὕτως κ. τ. λ. Vol. V. p. 512. v. 16 — p. 513. v. 5.

ϑ'. Οἷον τὴν οἰκονομίαν αὐτοῦ ἐμέμψατο καὶ τὴν ἀταξίαν, ἀλλ' οὐ κατὰ τὰ ἐνθυμήματα· κἂν γὰρ ἡ ἔννοια καὶ ἡ λέξις εὖ ἔχοι, ἀναρμοστία δὲ τούτων φαίνεται, οὐ καλὸς ὁ λόγος.

Οὐκ αἰτιᾶται [7] τὰς ἐννοίας ὁ Πλάτων, ἀλλὰ τὴν τάξιν καὶ τὴν συνθήκην αὐτῶν, ἤγουν διὰ τὸ μὴ ϑεῖναι τὰ πρῶτα ὡς πρῶτα κατὰ τὴν τέχνην, ἀλλὰ ἄλλην ἄλλως

---

4 καὶ τί ἐστι κάλλος — — χροιὰ Ven. om. 5 δεῖ Mon. om. Sch. min. Κάλλους τοῦ κατ' αὐτόν· τὸν λόγον τοῦ μεγέϑους. Ἀγλευκής· ὁ μοῦστος ἐῤῥήϑη γλεῦκος, παράγεται δὲ ἀπὸ τοῦ γλυκύς. Κάλλος τοίνυν τὸ συνιστάμενον ἐκ πασῶν τῶν ἰδεῶν καὶ γινόμενον ἓν κάλλος. Ἰδέας αὐτοῦ· αὐτοῦ τοῦ λόγου. Πρῶτον σημαινόμενον τοῦ κάλλους. Τισὶ συναρμόττειν· κατὰ κοινοῦ τὸ συναρμόττειν. Λέγω δὲ ταὐτόν· τοῦτο λέγει, ὅτι κἂν τε μίαν ἰδέαν αὐτὴν καθ' ἑαυτὴν ἐργάσῃ τοῖς οἰκείοις αὐτῆς κάλλεσιν, οἷον ἐννοίας, μεϑόδου, καὶ τῶν λοιπῶν, εἰκὸς κάλλος ἔχειν, κἂν τε πάσας ὁμοῦ συνθείης. Διόλου μλαν· τοῦ ῥήτορος τοῦ λέγοντος δηλονότι. Ἀλλὰ μὴ χύδην· σημείωσαι, ὅτι κἂν ἡ ἔννοια καὶ ἡ λέξις εὖ ἔχῃ, ἀνάρμοστον δὲ τούτων φαίνηταί τι, οὐ καλὸς ὁ λόγος. 6 Mon. h. l. et infra κομματικόν. Parr. κομμωτικόν. 7 Οὐκ αἰτιᾶται sqq. usque ad litt. ἰ. Mon. om. Sch. min. Σημείωσαι, ὅτι αἰτία ἐστὶ φίλων ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικούντων. — Λόγος ἐστὶ Λυσίου περὶ ἔρωτος, ὃν αἰτιᾶται Πλάτων, ὡς ἀναρμόστως συντεϑειμένον.

καὶ ὡς ἔτυχεν. Ἔξωθεν κομμωτικός. Ἰστέον, ὅτι διαβάλλοντες οἱ αἱρετικοὶ ὡς πλεονάζον ἐν τῷ λόγῳ τοῦ θεολόγου πορνικὸν εἰρήκασιν, ὡς ἐκεῖνος ἐπεσημήνατο ἐν τῷ συντακτηρίῳ γράψας· οὐδὲ τῶν πορνικῶν, ὡς ἄν τις ἔφη διασύρων ἡμᾶς, τῶν πόρνων καὶ λόγον καὶ τρόπον· ὑπόκειται δὲ τοῦτο ἐκείνῳ τῷ ῥητῷ· οὗτοι τῶν ἐμῶν λόγων ἔργον, οὐχ οὓς ἐρρίψαμεν, ἀλλ' οὓς ἠγαπήσαμεν. [8]

ιά. Τῷ ἔξωθεν κόσμῳ κομμωτικῷ, ὁ δὲ κόσμος ὁ ἐπικείμενος ἔξωθεν κομμωτικὸς περὶ τὴν λέξιν μόνον ἐστὶ καὶ τὰ ἑπόμενα τῇ λέξει· ἔστι δὲ καὶ ἕτερον κάλλος, ὃ καὶ ὡραῖον καλεῖται, τὸ ἐν γλυκύτητι, ὡς ὑποκατιὼν [9] αὐτός φησιν ἢ μᾶλλον ἐρεῖ.

ιβ. Ἔννοιαι, φησὶν, ἢ μέθοδοι τούτου τοῦ κάλλους οὐκ εἰσὶ, πλὴν εἴ τις λέγοι τὴν δριμύτητα, ἥντινα προσήκειν ἀφελείᾳ ἐρεῖ· ἧς ἀφελείας ἐπίτασις ἡ γλυκύτης, ἀνάγεται δὲ ὑπὸ τὸ ἦθος ἡ ἀφέλεια.

ιγ'. Δριμεῖαι [10] ἔννοιαί εἰσιν αἱ τροπικῶς [11] καὶ ἐμφαντικῶς εἰρημέναι, ὡς ἐπὶ κυνῶν ἡ φιλανθρωπία, καὶ

---

8 Litt. *i.* vide Vol. V. p. 513. v. 9—11. 9 Par. 1. ὑποκατιὼν ὁ λόγος αὐτὸς ἐρεῖ. Par. 2. ὑποκ. αὐτὸς ἐρεῖ. 10 Ven. post litt. ἡ. Ἔννοιαι δὲ αὗται καθ' ἑαυτὰς μέθοδοί τινες τοῦ τοιούτου κάλλους οὐκ εἰσὶ, πλὴν εἴ τις λέγοι τὴν δριμύτητα. 11 Mon. τροπικαί. Sch. min. τροπικῶς ἀντὶ τοῦ καλῶς συντεθεῖσθαι. Ἀποτετορνεῦσθαι· κατεσκευάσθαι, εἰς κάλλος ἀπεξέσθαι, εἴληπται δὲ ἡ λέξις ἀπὸ μεταφορᾶς τῆς τορείας. Ὃ προείρηται· τὸ εὐάρμοστον καὶ σύμμετρον. Ἐπικείμενος· τὸν κόσμον τοῦτον ἐπίθετον κάλλος μετὰ μικρὸν ἐρεῖ. ᾧ μόνῳ· ᾧτινι κομμωτικῷ. Ἐπισημαίνεσθαι· ἀντὶ τοῦ ἐπαινεῖν. ib. ἀντὶ τοῦ κροτεῖν ποιεῖ καὶ διεγείρει τοὺς ἀκροατάς. Τούτῳ χρησάμενος· τῷ κομμωτικῷ. Ἀναγκαῖον ὄν· ἀπὸ κοινοῦ τὸ φαίνεται. Περὶ τούτου τοῦ κάλλους· ἐπανάληψις τοῦτο τοῦ· ἐπεὶ δ' ἐστί τινα. ib. τοῦ κομμωτικοῦ. ib. τοῦ δευτέρου κάλλους τοῦ λόγου. ib. ταῦτα τοῦ κατὰ δεύτερον λόγον ἰδίως ὀνομαζομένου κάλλους. — Σημείωσαι, ὅτι καὶ Ἰσοκράτης πανηγυρικὸν ἐγράψατο καὶ Ἀριστείδης.

ἐπὶ Ἑρμιόνης ἡ φιλανδρία, καὶ ἐπὶ χαλινοῦ τὸ ἱππόδαμος· αἱ δὲ τοιαῦται τῶν ἐννοιῶν καὶ κάλλος οὐ μικρὸν προσάγουσι τῷ λόγῳ, ὡς εὐθὺς κινεῖν τὸν ἀκροατὴν, πολλῷ δὴ μᾶλλον ἢ τοὺς ἐρωτικοὺς τὰ λίαν εὐειδῆ τῶν προσώπων.

ιδ'. Τῆς ἐννοίας, φησὶν, ἐπὶ τοῦ τοιούτου κάλλους, λέγω δὴ τοῦ προφαινομένου καὶ κομμωτικοῦ καὶ τῆς μεθόδου μὴ εὑρισκομένης ἀκόλουθον ἂν εἴη περὶ λέξεως πρῶτον εἰπεῖν.

ιέ. Ἐναργεῖς, [12] ἀντὶ τοῦ σημαντικώτεραι, τὸ δὲ ἄλλο τι ἔφη ἀντὶ τοῦ ὄγκον ἔχουσαι καὶ διαρμα καὶ ὕψος· ὡς ἐν τῷ περὶ λέξεως καθαρότητος ἔφη.

ις'. Ἀντὶ τοῦ [13] καὶ σφοδραί· πολλὴ γὰρ ἡ συγγένεια τῇ τραχύτητι πρὸς τὴν σφοδρότητα.

ιζ. Κομμωτικῷ τῷ περὶ λέξιν, ὃ καὶ ἐπίθετον κόσμον καλεῖ, ὥσπερ καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς, ἐν τῷ περὶ χαρακτήρων τῶν ῥητόρων· ἔστι γὰρ καὶ ἕτερον κάλλος, ὃ καὶ ὡραῖον καλεῖ, τὸ ἐν γλυκύτητι, ὡς ὑποκατιὼν αὐτὸς ἐρεῖ.

ιή. Ἀντὶ τοῦ, ὡς [14] ἐν τῷ ἰδιάζοντι καὶ οἰκείῳ τῆς τοῦ κάλλους ἰδέας· διπλοῦν γὰρ τὸ κάλλος, ὡς ἀνωτέρω ἔφη· τὸ μὲν δι' ὅλου τοῦ λόγου διῆκον ἐκ τῆς ἐναρ-

---

12 Mon. οὐκ ἀργεῖς. scr. ἐναργεῖς. 13 Mon. τοῦ om. Ven. post litt. ιγ'. Ἐναργεῖς μὲν εἶεν ἄν καὶ ἴσως καὶ ἄλλο τι 14 ὡς Mon. om. Ven. litt. ιζ. omissa: Καλαὶ δὲ ὡς ἐν τοιούτῳ κάλλει οὐκ εἰσίν. Sch. min. Λέξις τοίνυν καλή· τοῦ κάλλους ἴδια δηλονότι. Ἐναργεῖς· ἐμφαντικαὶ, δριμεῖαι καὶ τραχεῖαι. Ὡς ἐν τοιούτῳ· τουτέστι σφοδρότητος. Τοιαῦται· σφοδραί εἰσι δηλονότι. Ταῦτά τοι· ἀντὶ τοῦ διό. Πλεῖον δέ· τὸ περὶ τὴν λέξιν, ὃ καὶ ἐπίθετος κόσμος ἐστίν. Ἀκούειν ὑμᾶς. ὅρα πῶς εἰσι πᾶσαι μονοσύλλαβοι καὶ δισύλλαβοι, μία δὲ τρισύλλαβος, περαιτέρω δὲ οὐ προέβησαν.

μονίου κράσεως τῶν ἰδεῶν, τὸ δὲ διὰ μόνων τῶν ποιούντων τὴν τοῦ κάλλους ἰδέαν προερχόμενον.

ιθ'. Αἱ γὰρ παρισώσεις κατὰ τούτους γίνονται τοὺς δύο τρόπους, ἢ κατὰ τὸ ποσὸν τῶν συλλαβῶν, ἃ κατὰ τὸν τεχνικὸν παρὰ τῷ ῥήτορι σπάνιον εὑρεῖν· καὶ δὴ καὶ ἄντικρυς ἂν ἀπεφηνάμεθα, μηδὲ εὑρεθῆναί ποτε παρὰ τῷ ῥήτορι τὴν τοιαύτην παρίσωσιν, εἰ μὴ ἓν ἡμᾶς ἐβιάζετο παράδειγμα τὸ, [15] καὶ τῇ πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν." Τὸ γὰρ βοηθεῖν καὶ λαβεῖν ἐστι παρίσωσις, τὸ θεῖν καὶ βεῖν, καὶ οὐχ ἁπλῶς παρίσωσις, ἀλλὰ καὶ τὸ καθ' ἑαυτὴν ἀκριβές. [16]

κ'. Εἶθε περισώζεσθαι καὶ τὴν θεωρίαν ταύτην ἐνῆν, ὅπως ἐντεῦθεν ἡμῖν περιεγένετο καὶ τὴν Δημοσθενικὴν καταλαβεῖν ἀκριβῶς· ἀφανισθείσης γὰρ αὐτῆς οὐκ οἶδα, εἴ τις ἠδυνήθη τοῦ προλεχθέντος ἀνδρὸς γνῶναι δεόντως τὴν περὶ τοὺς λόγους διοίκησιν· ταύτην οἱ δεινοὶ σοφισταὶ καὶ μέγα φρονοῦντες ἐπὶ τῇ τοιαύτῃ προσηγορίᾳ, ἅτε μηδὲν ἔχοντος σοφιστοῦ πλὴν τοῦ ὀνόματος· παράλογον γὰρ ὡς ἀληθῶς πεποίηκεν ὁ ῥήτωρ ἐν τοῖς προκαταρκτικοῖς τῇ τοιαύτῃ παρισώσει χρησάμενος, ὃ μηδαμοῦ φαίνεται πεποιηκέναι· ἀλλὰ καὶ αὐτὸς Ἰσοκράτης, ὁ χαίρων ἐν τοῖς τοιούτοις σχήμασι, φεύγει τὴν τοιαύτην ἐν τοῖς προοιμίοις παρίσωσιν· ἀλλὰ καὶ τοῦτο σφόδρα Δημοσθενικὸν φαίνεται τῷ καταλαβόντι τὴν αἰτίαν· χαίρειν γὰρ ὡς ἐπὶ τὸ πλεῖστον εἰώθαμεν, ὅταν τις τῶν δοκούντων εἶναι σοφῶν ἀπέλθοι νικηθεὶς ὑπὸ τοῦ τυχόντος ἀνδρὸς, καὶ ᾧ τὴν ἀρχὴν πάρεργον ἡ τοιαύτη σπουδή· διὰ τοῦτο καὶ Σωκράτη τὸν φιλόσοφον λέγουσιν ἀγαπᾶσθαι παρὰ τῶν ἰδιωτῶν τοσοῦτον, ὅσον μισεῖσθαι παρὰ τῶν ἀντιτέχνων·

15 in Androt. init. 16 τὸ γὰρ βοηθεῖν — — ἀκριβὲς ex Parr. recepi, Mon. om.

φρόνημα γὰρ ἔχων μέτριον καὶ οἷον ὁ πολὺς ἄνθρωπος ἐξήλεγχε συνδιαιτώμενος τοὺς ἀεροβατοῦντας κατὰ τὴν κωμῳδίαν καὶ πεφυσιωμένους, καί οὐ μόνων αὐτῶν τὸ φρόνημα συνέστελλεν, ἀλλὰ καὶ αὐτὸς ἰδιώτην ἑαυτὸν ἔλεγεν· οὕτως οὖν καὶ Δημοσθένης ἰδὼν τὸν Ἀνδροτίωνα τοῖς τοιούτοις μάλιστα σχήμασι χαίροντα, ἅτε καὶ ἀκροατὴν ὄντα τοῦ Ἰσοκράτους, εὐθὺς ἐν τοῖς προκαταρκτικοῖς ἐχρήσατο τῇ παρισώσει, ὅπως καὶ τοὺς δικαστὰς ἐπισπάσηται [17], καὶ ὁ πάντα τὸν βίον ἐπὶ τῇ τοιαύτῃ διαχειρίσει τῶν λόγων καταναλώσας ὑπὸ ἰδιώτου καὶ τοῦ τυχόντος ἀνδρὸς ἀπέλθῃ νικώμενος· ἀνάγκη γὰρ ἦν ἢ παραιτήσασθαι τὸν Ἀνδροτίωνα τὴν τοιαύτην παρίσωσιν, ἢ χρησάμενον μηδὲν μέγα ποιεῖν, ὅπου γε καὶ Διόδωρος τῶν τοιούτων σχημάτων ἐπιστήμων ἦν, ὁ περὶ τοὺς λόγους ἔχων ἀπόρως, καὶ πάντα μᾶλλον ἢ λέγειν εἰδὼς, ὅθεν οὐκέτι κέχρηται τῇ τοιαύτῃ παρισώσει· παρὰ γὰρ τὴν ἀρχὴν ἐνδειξάμενος εὐκατάληπτον οὖσαν τὴν τοιαύτην ἐπιστήμην ἀπηλλάγη τοῦ τοιούτου σχήματος, ἄτοπον ἡγησάμενος αἰθις ἐπιβουλεῦσαι καὶ προσκορῆ ποιῆσαι τὸν λόγον.

κά. Πρὸς [18] Ἀνδροτίωνα ἦν αὐτῷ τὸν Ἄνδρωνος ὁ ἀγὼν, ἄνδρα [19] τῶν Ἰσοκράτους ἄριστον μαθητῶν καὶ πρὸς ῥητορείαν κάλλιστα γεγυμνασμένον, διὸ παρευθὺς ἐκ προοιμίων τοιαύτῃ κέχρηται παρισώσει, οἵαν ἀλλαχοῦ φαίνεται διακόπτων, [20] ὅπως ἂν τὸ κομμωτι-

17 Mon. ἐπισπεύσεται. Sch. min. Ἐν προκαταρκτικοῖς· ἐν ἀρχῇ, ἐν προοιμίοις. Σπανίως χρῆται· τοῦτο λέγει, ὅτι αἱ παρισώσεις τριτῶς [l. τριχῶς] γίνονται, ἢ κατὰ τὴν λέξιν, ἢ κατὰ τὸ κῶλον, ἢ κατὰ συλλαβὴν, καὶ χρῆται ὁ ῥήτωρ σπανίως ταῖς κατὰ συλλαβήν. Κατ' ἐκείνους, σημείωσαι, ὅτι χρώμενος ὁ ῥήτωρ παρισώσεσι τριχῶς τὴν ἐν αὐταῖς παραμυθεῖται κακίαν. 18 Ven. post litt. ιή. Τοιαύτην γὰρ παρίσωσιν καὶ οὕτως ἐπιτετηδευμένην. Litt. κβ'. et κγ'. id. om. 19 ἄνδρα Ven. om. 20 Mon.

κὸν διαφύγοι κάλλος· ἰσοσύλλαβα γάρ πώς εἰσι τὰ τρία κῶλα καὶ ὁμοιοκατάληκτα, λέξει τε καθαρᾷ κεχρημένα καὶ συνθήκῃ περικαλλεῖ τῇ ἄνευ παντὸς συγκρουσμοῦ, αἵ τε ἀναπαύσεις τῶν κώλων εἰς μικρότερα μόρια λήγουσαι λίαν εὐειδεῖς εἶναι δοκοῦσιν. [21]

κή. Ἐν [22] παραβύστῳ γὰρ καθήμενος κάλλους μᾶλλον ἀντεποιεῖτο, ψυχαγωγεῖν ἐντεῦθεν σπεύδων τοὺς ἀκροατάς, οὐδὲν γὰρ ἐβλάπτετο μὴ προσούσης πιθανότητος διὰ τὸ μὴ εἶναι τὸν λόγον ἐναγώνιον, ὁ δὲ Δημοσθένης οὐ τέρπειν, ἀλλὰ πείθειν σπουδάζων φεύγει τοιουτοτρόπως καλλωπίζειν τὸν λόγον, ὅπως μὴ παντελῶς ἐκπέσῃ τοῦ ζητουμένου.

κθ. Ὅτι οἱ ἐπιτηδεύοντες καλλωπίζειν τὸν λόγον ὑποπτεύονται ὡς δεινοὶ, καὶ δυνάμει λόγων πείθειν τοὺς δικαστὰς παρεσκευασμένοι, ἀλλ᾽ οὐ τῷ λέγειν τὴν ἀλήθειαν· ὁ τοίνυν Ἰσοκράτης, φησὶ, μᾶλλον καλλωπισμῶν φροντίζων ἐχρήσατο παρισώσεσι πολλαῖς, ἐπειδὴ σοφιστὴς ὢν καὶ διδάσκαλος ῥητορικῆς ἐθηρᾶτο τὸν ἐκ τῆς ἀκοῆς ἔπαινον· ὁ γὰρ ῥήτωρ μᾶλλον τοῦ πείθειν τοὺς δικαστὰς καὶ δοκεῖν ἀληθεύειν ἐφρόντισε, διόπερ οὐδὲ ἐκαλλώπισεν, ἵνα μὴ τῇ ὑποψίᾳ ἀπίθανος γένηται.

λ. Σημείωσαι, [23] ὅτι αἱ [24] καθ᾽ ὅλον κῶλον παρισώσεις Δημοσθενικαὶ μάλιστα· καλοῦνται γὰρ καὶ γοργαὶ καὶ μάλιστα, εἰ ἀποστροφὴν ἔχοιεν.

λά. Ἴσα [25] λέγει τὰ κῶλα, ἐπειδὴ τῶν τριῶν ἕκαστον συλλαβῶν ἐστιν ἐννέα, τὸ μὲν πρῶτον ἄχρι τοῦ διδόμενα, τὸ δὲ δεύτερον ἄχρι τοῦ εἶναι, τὸ δὲ τρίτον ἄχρι τοῦ ἀποδοῦναι.

διακώπτων. Ven. Parr. διακόπτων. scribendum fortasse διασκώπτων. 21 Litt. κβ΄—κζ΄. vide Vol. V. p. 513. v. 23—p. 515. v. 5. 22 in Sicel. codicibus praefixum est nomen: Ἰωάννου. 23 Σημείωσαι Sicel. om. 24 αἱ Mon. om., recepi ex Sicel. 25 Sicel. ὅσα.

λβ'. Σχῆμα [26] ποῖον τῆς ἐπαναφορᾶς, ἡ μὲν γὰρ κατὰ κῶλόν ἐστιν, ἡ δὲ κατὰ κόμμα· αὗται μὲν οὖν ὅλων λέξεών εἰσιν ἐπαναλήψεις, ἡ δὲ παρίσωσις καὶ ἐν μιᾷ πολλάκις ἢ δευτέρᾳ συλλαβῇ θεωρεῖται, ὡς τὸ [27] Παυσανίου δὲ παυσαμένου· ἡ δὲ [28] ἀντιστροφὴ ἐναντία ἐστὶ τῇ ἐπαναφορᾷ, ὅτι τὴν παρίσωσιν οὐκ [29] ἐπὶ τῆς ἀρχῆς, ὡς ἡ ἐπαναφορά, δέχεται, ἀλλὰ πρὸς τὸ τέλος· [30] οἷον „ταξιάρχους παρ' ὑμῶν, ἄρχοντας παρ' ὑμῶν." [31] Σημείωσαι δὲ, ὅτι ἡ παρίσωσις ἐπί τε ἀντιστροφῆς καὶ ἐπαναφορᾶς λέγεται, ἀλλ' ἡ μὲν κατὰ τὴν ἀρχὴν ταύτην δέχεται, ἡ δὲ [32] κατὰ τὸ τέλος, εἴτουν ἡ ἀντιστροφή, ὡς ἡ τῶν παραδειγμάτων ἔκθεσις διδάσκει.

λγ'. Ἡ μὲν γὰρ ἐπαναφορὰ περιέχει τὴν παρίσωσιν, ἡ δὲ παρίσωσις, ἅτε μὴ οὖσα λόγου μέρος ὁλόκληρον, οὐκέτι τὴν ἀναφορὰν, ὥστε ἡ ἀναφορὰ [33] καὶ παρίσωσίς ἐστιν, οὐχὶ δὲ ἡ παρίσωσις καὶ ἐπαναφορά.

---

26 Ven. post litt. κδ'. Διαφέρει δὲ παρισώσεως τῆς κατ' ἀρχὰς τὸ σχῆμα τοῦτο τῆς ἐπαναφορᾶς. Ἡ μὲν κατὰ κῶλόν ἐστιν, ἡ δὲ κ. κ. αὗται οὖν. litt. λβ'. est etiam apud Sicel. Sch. min. Καθ' ὅλον κῶλον· τῶ ἰσοσυλλάβῳ. Δαιμόνιον· θεῖον. Κατὰ τὴν ἀποστροφήν· διάτι πρὸς τὸν Λεπτίνην ἐστράφη. Σημείωσαι, ὅτι τὸ χωρίον τῶν τριῶν ἐστιν ἰδεῶν. Σχεδὸν γάρ· πῶς γὰρ ὁ μὴ παθαινόμενος λέγοιτο τῇ ἀποστροφῇ. Τὸ προσήκει καὶ τὸ προθύμως πάρισά εἰσιν. Διδάσκουσι γάρ με· ἀντὶ τοῦ διδάσκουσί με τὴν παρίσωσιν. Αἱ κατὰ κῶλον· ὅτι καὶ αἱ κατὰ κῶλον ἐπαναφοραὶ, φησὶ, καλλωπίζουσι. Προὔδωκεν· ταῦτα ἐπαναφοραί. 27 Plat. Sympos. p. 185. C. 28 Ven. Τὴν δὲ ἀντιστροφὴν ἐναντίαν εἶναί φασι τῇ ἐπαναφορᾷ. 29 Sicel. οὐκέτι. 30 Ven. Sicel. πρὸς τῷ τέλει. Post ἄρχοντας παρ' ὑμῶν transit Ven. ad litt. λζ'. 31 Phil. I. p. 47. 32 Post δέχεται brevis lacuna in Par. 1. per rasuram; tum: ἡ ἀντιστροφὴ δὲ κατὰ τὸ τέλος. 33 Mon. τῇ ἀναφορᾷ. Sqq. οὐχὶ δὲ ἡ παρίσωσις καὶ ἐπαναφορά Par. 1. om. Idem addit:

λδ'. Ὅτι λαμπρότης κάλλους συγγενής· διὰ τοῦτο δὲ καὶ τῇ ἀκμῇ· εἶπε γὰρ τὴν ἀκμὴν γίνεσθαι ἐκ πλειόνων ἁρμοττόντων τῇ λαμπρότητι, ὅθεν καὶ τὰ λαμπρὰ τῶν σωμάτων πάντως καλά.

λέ. Σημείωσαι, ὅτι ἡ ἀντιστροφὴ ἐναντία τῇ ἐπαναφορᾷ, ἡ μὲν γὰρ ἐπαναφορὰ ἐν ἀρχῇ ἔχει τὴν παρίσωσιν, ἡ δὲ ἀντιστροφὴ ἐν τέλει. [34]

λϛ'. Τὸ ἄγαν [35] καταγίνεσθαι περὶ τὸν καλλωπισμὸν τοῦ λόγου ἐπιβεβουλευμένον τε καὶ διαπρεπῶς τετιμημένον [36] καὶ ἐπιτεταδευμένον αὐτὸν ἀποδείκνυσιν·

Τὸ μέχρι τούτου Λασθένης, ὡς αὐτὸς ἐν τῷ περὶ ἀκμῆς φθάσας ἐτεχνολόγει. Post λδ'. addit: εἴ τι ἀντιστροφή, τοῦτο καὶ παρίσωσις, οὐκ εἴτι παρίσωσις, τοῦτο καὶ ἀντιστροφή. 34 Litt. λϛ'. vide Vol. V. p. 515. v. 14—p. 516. v. 20. Sch. min. Ἡ ι ἐκεῖ μέν· ἀντὶ τοῦ καθό. Συγγένεια· σημείωσαι, ὅτι λαμπράτης κάλλει συγγενὲς, διὰ τοῦτο δὲ καὶ ἀκμῇ. ibid. γίνεται γὰρ ἐκ τῶν τῆς λαμπρότητος ἰδεῶν ἡ ἀκμή. Κάλλους ποιητικόν, τούτῳ διαφέρει ἡ ἀντιστροφὴ τῆς κατὰ τὸ τέλος παρισώσεως, ᾗ ἡ ἐπαναφορὰ τῆς κατ' ἀρχήν. Παράδειγμα τοῦ σχήματος· τῆς ἀντιστροφῆς· ἔστι δὲ τὸ χάριν καὶ χάριν καὶ Αἰσχίνης καὶ Αἰσχίνης, καὶ ἔχει καὶ ἔχει. Λάβῃ· ὅσα λάβῃ χρήματα. Συνανάλωσε· τοῦτο τὸ σχῆμα ἀντιστροφή ἐστι· καὶ ὁ θεολόγος, εἴπερ μηδὲ τοῖς συνθέτοις τὸ εἶναι συνθέτοις. Ὡς ἂν ἐκεῖνος· ὁ Φίλιππος δηλονότι. Τὸ ἔχει καὶ ἔχει ἐστὶν ἀναστροφή. Διώκειν δι' ἐμέ· ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτῷ, τῷ δ' ἀλήπτῳ θαυμάζηται, καὶ τὰ ἑξῆς κλιμακωτόν ἐστι καὶ ἐπαναστροφὴ καὶ ἀλλαχοῦ, οὐ τῷ δὴ καὶ τῷ λόγῳ, λόγον γὰρ ἀναθήσω τῷ θεῷ χαριστήριον, καὶ τοῦτο ἐπαναστροφή ἐστιν. Ἐπιβουλῆς· περιεργίας. Σημείωσαι, ὅτι παρίσωσις, ἐπαναστροφὴ, ἐπανάληψις διαφέρουσιν. Ὁμοίως ἐπιβεβουλεῦσθαι· ἐπινενοῆσθαι δοκεῖ. ib. περιειργάσθαι. Ἀνέστρεψεν· ἡ ἐπαναφορὰ τὴν λέξιν ἀντιστρέφει ἢ τὴν συλλαβήν, ἡ δὲ ἐπανάληψις τὸ κόμμα ἢ τὸ κῶλον ὡς ὁ στίχος τοῦ Ὁμήρου· ὁ αὐτὸς δὲ καὶ ὑποστροφή. 35 Ven. praemittit: Ἐκφανὲς δὲ τὸ τῆς ἐπιβουλῆς ἐγένετο καὶ τὸ τῆς ἐπιτηδεύσεως· τὸ γὰρ ἄγαν κ. τ. λ. 36 τετιμημένον καὶ Parr. om.

εἰκότως δὲ λόγου ἐπιβουλὴν τὸ κομμωτικόν φησι κάλλος, ἀπὸ μεταφορᾶς τῶν ἀτόπων μειρακίων, ὅσα τῷ φαινομένῳ κάλλει τὰς ἄφρονας δελεάζοντα τῶν γυναικῶν ἐπιβουλεύει τῇ σωφροσύνῃ· καὶ [37] γὰρ ἐκ τοῦ ἐναντίου σώφρων μὲν λόγος ὁ σεμνὸς, ὁ δὲ τὸ ἐκπρεπὲς κάλλος ἐπιτηδεύων ἐπίβουλος, [38] ὅτε ἐπιτηδεύων τις χρήσαιτο, ἀλλ' οὐκ εἰκῇ φράζων.

λή. Τοιαύτην γὰρ εἶναι δεῖ τὴν ἀναστροφὴν, ὥστε μίαν εἶναι μεσεμβολὴν, οὐκοῦν οὐκ ἔστιν ἀναστροφὴ, κἂν οἱ γραμματικοὶ διαῤῥήγνυνται τηνάλλως ληροῦντες, οὐ γὰρ ἴσασι τὸ ἴδιον τοῦ τοιούτου σχήματος. [39]

λθ'. Καὶ γοργὸν εἶπεν, ἐπειδὴ καὶ διὰ τοὺς μερισμοὺς ἐμπερίβολος γίνεται ὁ λόγος· ὁ γὰρ μερισμὸς περιβάλλει· εἰ καὶ τὸ εὐειδὲς καὶ αἱ ἀναιρέσεις μὴ ἦσαν ἴδια κάλλους,

μ'. Τὴν ἀρίστην παρὰ τῷ ῥήτορι τῶν ἰδεῶν ἕνωσίν τε καὶ σύγκρασιν [40] ἐκάλεσε σύμφθαρσιν ἀπὸ μεταφορᾶς τῶν διαφόρων σιτίων, ἅπερ ἐν τῇ γαστρὶ πρότερον ἀλλοιοῦνται καὶ τὴν οἰκείαν μεταβάλλει ποιότητα, εἶθ' οὕτως ἕνα χυμὸν κατ' [41] ἐπικράτειαν γεννῶσιν, θρεπτικόν τε καὶ σωτήριον τοῦ σώματος.

μά. Οἷον τὸ [42] παρὰ μὲν γὰρ τὰς τῶν χορηγιῶν δαπάνας, καὶ τὸ, ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλεῖον, ἐν ἑκατέρῳ γὰρ τῶν χωρίων ἀνὰ δύο ἴσαι συζυγίαι κώλων.

---

37 Mon. οὐ. Par. καί. 38 Post ἐπίβουλος Ven. transit ad litt. μ'. Διήκουσι γὰρ δι' ἀλλήλων σχεδὸν ἅπασαι παρά γε τούτῳ, καὶ καθάπερ ἐκ συμφθάρσεως ἕν τι λόγου πεποιήκασιν εἶδος τὸ κάλλιστον. 39 Par. addit: κατὰ τὴν λέξιν ποιεῖ ἐνάργειαν τὰ πληκτικὰ τῶν ὀνομάτων καὶ σημαντικὰ, οἷον ὁρᾶτε etc. usque ad προπύλαια ταῦτα, ut sub litt. λς'. 40 Mon. σύγκρισιν. Ven. σύγκρασιν. 41 Mon. καὶ οὐκ. Ven. ἕνα τινὰ χυμόν. omisso κατ' ἐπικράτειαν. — Litt. μά—μέ. Ven. om. 42 οἷον τὸ Mon. om.

Παρὰ μὲν γὰρ [43] *τὰς τῶν χορηγιῶν δαπάνας μικρὸν ἡμέρας μέρος καὶ τὰ ἑξῆς, ἃ τέθεικεν ἀνωτέρω.*

μγ'. Πολύπτωτόν ἐστι τὸ μεταβάσεις ἔχον ἀπὸ πτώσεως εἰς πτῶσιν, ἡ γὰρ μεταβολὴ καὶ ἐξαλλαγὴ τῆς φράσεως κάλλος καὶ ἡδονὴν ἐργάζεται· ὥσπερ καὶ τὴν γραφήν, φασὶν, τὴν ἐκ ποικίλων καὶ διαφόρων χρωμάτων [44] *καλὴν καὶ ἡδεῖαν* [45] *εἶναι συμβαίνει, τὸ δὲ πολύπτωτον ἔνιοί φασιν ὅμοιον εἶναι τῇ μεταφορᾷ, μεταβάλλεσθαι δὲ ταῖς πτώσεσιν, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου.* [46] *„οὗτοι*

---

43 *παρὰ μὲν γὰρ τὰς — — — τέθεικεν ἀνωτέρω* Mon. om., recepi ex Parr. Sch. min. *Τὸ εὐειδές· τὸ λαμπρὸν λέγει· ὅτι καὶ τὸ εὐειδὲς καὶ αἱ ἀναιρέσεις εἰσὶν ἴδιον κάλλους. Εἰ καὶ μὴ ἦν· εἰ καὶ τὸ εὐειδὲς καὶ αἱ ἀναιρέσεις μὴ ἦσαν ἴδιαι κάλλους. Ποικιλώτατος· ἵνα εὕρῃς τυχὸν ταῦτα σπάνια καὶ καθαρὰ παρὰ τῷ ῥήτορι. Κατὰ συζυγίαν μερισμοί· ὁ μέν, ὁ δέ. Τὸ κατὰ παρένθεσιν· τὸ μέσον εὑρισκόμενόν ἐστι· τὸ καθ' ὑπέρθεσιν τὸ πρὸς τὸ τέλος.* ib. *τὸ καθ' ὑπέρθεσιν ὑπερβατὸν ἔνιοι τῶν τεχνογράφων καλοῦσιν ὑπερβατὸν κατ' ἀναστροφήν.* ib. *καθ' ὑπέρθεσίν ἐστιν ἡ ἀναμεταξὺ τοῦ ἄρθρου καὶ τοῦ ὀνόματος ἐπεμβολὴ πλειόνων λέξεων.* ib. *τὸ καθ' ὑπέρθεσίν ἐστι τὸ δόξαν, τὸ δὲ φαῦλον τὸ κατὰ παρένθεσιν. Τὸ γὰρ ὅπερ καὶ ἀληθὲς ὑπάρχει, ἐστὶν ἐπεμβολή.* 44 Mon. *χρημάτων,* 45 Mon. *ἰδιαν.* omisso *εἶναι.* Sch.min. *Ὄντινα οὐ· καινοπρεπὴς αὕτη ἡ παροιμία οὐδεὶς κομήτης ὅστις οὐ. Καταφάσεις· καὶ ὁ θεολόγος· ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων, οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. Οὐκ ἄδηλον. καὶ ὁ θεολόγος, οὐκ ἄδηλον ὅποι τάξετε τὸ ζητούμενον.* 46 Imo de fals. leg. p. 436. Sch. min. *Περὶ τῶν ῥητόρων ὁ λόγος τῷ Δημοσθένει, τὸ δὲ πείθεσθε παθητικὸν πληθυντικὸν δεύτερόν ἐστι πρόσωπον. Πολύπτωτον· τοῦτο εἴρηται ἐν τῇ λαμπρότητι, ἀλλ' εἰ μέν ἐστι σύντομον, ἐστὶ κάλλους, εἰ δὲ μακρὸν, λαμπρότητος. Αὕτη τῶν περὶ Θήβας· τὸ αὕτη θηλυκὸν, τὸ τοῦτο οὐδέτερον.* ib. *καὶ ὁ θεολόγος· τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος· διὰ ταῦτα ἡ εἰκὼν τοῦ θεοῦ καθυβρίσθη. Μὴ διεστήκοι· διάστασιν τὴν ἀλλεπαλληλίαν τῶν φωνηέντων λέγει. Οὗτοι ἡγοῦνται· τοῦτο τὸ χωρίον ἀκριβῶς πολύπτωτον. Οὗτοι· οἱ ῥήτορες. Φι-*

γὰρ ἡγοῦνται, τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε."

μδ'. Τὰς εἰσφορὰς ἐκ πολλῶν συνηγμένας. τὸ δὲ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ τοῦ αὐτοῦ παραδείγματός ἐστιν.

μέ. Εἶπε γὰρ ἀνωτέρω, ὅτι ὑπέρβατόν ἐστι τοῦτο, κατὰ παρέκθεσιν ἐξ ἐπεμβολῆς, ὃ οὐχ ἁρμόττει κάλλει, ἀλλὰ γοργότητι καὶ περιβολῇ· τὸ δὲ καθ' ὑπέρθεσιν ὑπερβατὸν ἁρμόττει κάλλει, καθὸ δὲ ὅλως ὑπερβατόν ἐστιν, ἔχει τι ἐπιμελείας.[47]

μζ'. Διὰ τί ὁ περὶ τῆς ἀτελείας σχεδὸν ἅπας κεκαλλώπισται; ἐπειδὴ καὶ ὁ Λεπτίνης εἷς ἦν τῶν Ἰσοκρατικῶν,[48] ἢ ὃ καὶ μᾶλλον, ὅτι ὁ Φορμίωνος χαρακτὴρ τοιοῦτος ἦν, καὶ ἐπετήδευσε Δημοσθένης ζηλῶσαι αὐτὸν, τὴν δεινολογίαν ἔχων, ὥσπερ καὶ τὸν Λυκούργου χαρακτῆρα ἐμιμήσατο, τροπαῖς καὶ γνώμαις χρώμενος ἐν τῷ κατὰ Ἀριστογείτονος.

μή. Ἐπειδὴ τῇ τοιαύτῃ θεωρίᾳ περιτυχεῖν οὐκ ἔνεστιν, οὐκ οἶδα, κατὰ ποίαν φύσιν[49] μοχθηρὰν τῶν ἀνθρώπων ἢ τίχην ἀναγκαῖον ἡμᾶς εἰπεῖν, καὶ δὴ λέξομεν τοσοῦτον μόνον ὑπειπόντες, ὡς δεῖ τὸν περὶ ἀτελείας μὴ

λοτιμίας ἕνεκα· Τοῦτο λέγει, ὅτι οὐ χρὴ τοῦτο μόνον σκοπεῖν, ὅπως ὁ Λεύκων μὴ ἀδικηθήσεται ἀφαιρούμενος τὴν δωρεὰν τοῦ δήμου ἤγουν τὴν ἀτέλειαν, ᾧ εὐπόρῳ ὄντι οὐ διὰ χρείαν ἀλλὰ φιλοτιμίαν τοῦτο αὐτὸ σπουδάζεται, ἀλλὰ καὶ τοῦτο χρὴ σκοπεῖν, ὅπως καὶ εἴτις ἕτερος εὖ ποιήσας ἡμᾶς δεόντως εἴληφεν ἀτέλειαν, ταύτης μὴ ἀποστερηθῇ· ὅρα δὲ τὴν ἐπιπλοκὴν τῶν κώλων. ib. Ὧι σπουδὴ γένοιτ' ἄν περὶ τῆς δωρεᾶς φιλοτιμίας ἕνεκα, οὐ χρείας. Εὖ πράττων· ἐνταῦθα κάλλος ἐποίησε τὸ εὖ καὶ εὖ, καὶ ὁ μὲν καὶ ὁ δέ· οἱ σύνδεσμοι, καὶ ὁ ἀλλὰ, καὶ ὁ τέως, καὶ ὧδε ὁ μέν, καὶ ὁ δὲ πάλιν. Ὁρᾷς γάρ· τὸ ἑξῆς, πάντα τὰ κῶλα βραχέα πλὴν τῶν τελευταίων. 47 Litt. μς'. vide Vol. V. p. 517. v. 21—p. 518. v. 15. 48 Mon. ἰσοκρατιῶν sine articulo. 49 φύσιν et sq. ἢ Mon. et Par. 2. om. recepi ex Par. 1.

οὕτω κεκαλλωπίσθαι νομίζειν, ὡς τοὺς Ἰσοκρατικοὺς λόγους· οἱ μὲν γὰρ διὰ τὴν τοῦ σοφιστοῦ περὶ τὰ τοιαῦτα σπουδὴν ἐκπρεπὲς ἔχουσι τὸ κάλλος, μηδεμιᾶς ἐπιβουλῆς περὶ αὐτὸν γεγενημένης, ὁ δὲ περὶ ἀτελείας κεκαλλώπισται μὲν. ἀλλ' οὐ κατὰ πρῶτον λόγον, ὑφειμένως δὲ καὶ οὐ μάλα τι κομμωτικῶς· ἡ δὲ αἰτία, δι' ἣν τοῦτον τὸν λόγον ὁ Δημοσθένης διαφερόντως ἐκαλλώπισε καὶ διὰ τί τοιοῦτον αὐτῷ κάλλος ἐπέθηκεν, ἐντεῦθέν ἐστι κατάδηλος· δευτερολογία ὁ λόγος, καὶ τοὺς δικαστὰς εἶχεν ἤδη κεκμηκότας περὶ τὴν προτέραν ἀκρόασιν καὶ μὴ δυναμένους συνιέναι συνεστραμμένων λόγων, διὸ δὴ καὶ μάλα δαιμονίως ὁ ῥήτωρ ἐκαλλώπισε μὲν τὸν λόγον, ἀλλὰ μετρίως, καὶ οὐ κατὰ τὸν πρῶτον τρόπον τὸν Ἰσοκρατικόν, ἀλλὰ κατὰ τὸν δεύτερον, ὅς ἐστιν ὑφειμένος καὶ οὐ τοσοῦτον κομμωτικός· τοῦτο μέν, ὅπως ἀνακτήσεται τοὺς ἀκροατάς· τοῦτο δὲ πάλιν, ὅπως μὴ λίαν ἐπιβουλεύσῃ τῷ λόγῳ καὶ τὴν ἀρχὴν τελείως ἐκπέσῃ [50] τῆς καθαρότητος, διαφερόντως καλλωπίσας αὐτόν· ὥστε τὸ μὲν καλλωπίσαι τὸν λόγον ὁ ὑποκείμενος ἀκροατὴς παρεσκεύασε κεκμηκὼς ἐπὶ τῇ προτέρᾳ ἀκροάσει, τὸ δὲ μὴ οὕτως, ὥσπερ ὁ Ἰσοκράτης, ἡ πιθανότης, ἐξέπιπτε γὰρ ἂν αὐτῆς ἐπιμελῶς καὶ μὴ κατὰ δεύτερον αὐτὸν καλλωπίσας λόγον· εἰ δέ τις λέγοι, τί δήποτε μὴ καὶ ἐν τῷ κατ' Ἀνδροτίωνος ἐφρόντισε κάλλους, σκοπήσαι τὸ ὑποκείμενον πρόσωπον· Διόδωρος γὰρ ἦν ἄνθρωπος ἰδιώτης, καὶ σπεύδων φεύγειν τὸ νομίζεσθαι [51] λέγειν ἔμπειρος [52] καὶ τὸ δοκεῖν εἶναι δεινός· διὰ τί δὲ, φησὶ, μὴ καὶ τοὺς κατὰ Ἀριστογείτονος ἐκαλλώπισεν, ἀλλ' οὐκ οἶδα, ὅπως ἀπολογήσομαι, πρῶτον μὲν γὰρ παρ' ἐνίων νοθεύονται, πλὴν ἵνα καὶ συγχωρήσωμεν εἶναι τοῦ ῥήτορος, οὐκ ἠδύνατο

50 Mon. ἐκπέσοι. 51 Par. 1. νομίζειν. 52 Mon. λόγου ἄπειρος. Par. 2. λόγου ἔμπ. Par. 1. λέγειν ἔμπ.

παθαινύμενος καλλωπίζειν αὐτούς, ἐξέπιπτε γὰρ τοῦ πάθους, εἰ τοιαύτης συνθήκης ἐφρόντισεν.

μθ'. Ζητεῖται, [53] διὰ τί ἐν τῷ περὶ συνθήκης τῆς [54] καθαρότητος εἰπών, τίνες εἰσὶ πόδες ἁρμόττοντες τῇ ἰδέᾳ, καὶ πάλιν ἐν τῷ περὶ συνθήκης σεμνότητος, καὶ ὁμοίως καθ' ἑκάστην ἰδέαν ἐν τῷ περὶ τῶν οἰκείων ποδῶν διδάσκων ἐνταῦθα τοῦτο παρέλιπε, καὶ ταῦτα βουλόμενος ἐγγίζειν μέτρῳ [55] τὸν κεκαλλωπισμένον λόγον· φαμὲν, ὅτι εἶπε καὶ ἐνταῦθα· τί [56] γὰρ, φησὶ, καὶ μέτρου γε τοῦ οἰκείου κατὰ τοὺς πόδας τῷ λόγῳ καὶ τῷ εἴδει τοῦ λόγου, ὃ ἂν ἐργαζώμεθα· οἷον εἰ σεμνότητα [57] ἐργαζόμεθα, [58] μέλει [59] δὲ ἡμῖν [60] κάλλους, τὴν συνθήκην τῆς σεμνότητος ἐγγὺς [61] δεῖ εἶναι, καὶ τὴν λέξιν, οἵαν εἶπε τοῦ κάλλους, καὶ τὰ σχήματα, ἐννοίας γὰρ ἢ μέθοδον οὐκ ἔχει τὸ κάλλος ἰδίως.

ν'. Ὥστε ἰαμβόκροτά τε εἶναί τινα πολλὰ [62] καὶ ἐφθημιμερῆ καὶ ἐπῶν ἀκροτελεύτια, ἅπερ παρά τε Ἰσοκράτει καὶ Δημοσθένει φαίνονται πάμπολλα τοῖς ἀκριβῶς ἐπισκοπουμένοις, ἡμεῖς δὲ διεξιόντες τοὺς λόγους πλῆθος ἰάμβων ἐσημειωσάμεθα. — Ἰσοκράτης τε, ὡς καὶ ἀνωτέρω ἔφημεν, ἐν τῇ τέχνῃ φησὶν, „ὅλως δὲ ὁ λόγος μὴ λόγος ἔστω, ξηρὸν γὰρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ μάλιστα.“ [63]

---

53 Litt. μθ'. exstat apud Sicel. 54 τῆς Sicel. om. 55 Mon. μέρη. Sch. min. Σεμνοῦ λόγου μέτρον· οἷον τὸ τροχαϊκόν, καὶ τὸ ἐξ ἐπιτρίτων καὶ τὸ σπονδειακόν. Ἄλλης ἰδέας· οἷον τῆς καθαρότητος ἰαμβικὴ καὶ τροχαϊκή. — Σημείωσαι, ὅτι μάλιστα συνθήκης ὁ περὶ κάλλους δεῖται λόγος. 56 Sicel. φησὶ γὰρ μέτρου γε τ. ὁ. omisso τί. 57 Sicel. σεμνότης. 58 Par. 2. ἐργαζώμεθα. 59 Sicel. Mon. μέλλει. 60 Par. 2. ὑμῖν. 61 Sicel. ἐγγὺς μέτρου. 62 Par. 1. πολλὰ εἶναι sine τινά. Ven. post litt. μς'. Διόπερ δὴ μάλιστα, ὅτι ποιοῦμεν λόγον μέτρου πλησίον εἶναι τὸν ῥυθμόν. 63 Litt. νά—νή. vide

νθ'. Ὡς ἀκριβέστατος [64] κανὼν τῶν πολιτικῶν λόγων ὁ Δημοσθένης τὸ κομμωτικὸν οὐ προσίεται κάλλος. [65]

ξ'. Διόλου γὰρ ἂν [66] ἐκαλλώπισε τὸν λόγον, εἶτα ἐξ ἐπιπλοκῆς βραχέα [67] κῶλα εἰσάγων, ὡς ἀνωτέρω ἔφη, κρεμαμένην [68] εἰργάσατο τὴν ἀνάπαυσιν.

ξά. Ἔσπευσε γὰρ μήτε παντελῶς ἐπιβουλεῦσαι τῷ λόγῳ καὶ τὸν ἀκροατὴν ψυχαγωγῆσαι διὰ τοῦ τοιούτου κάλλους.

ξβ'. Τὸ σαφὲς καὶ ἀκόλουθον οὕτως· ἔχει τι τοῦ περικαλλοῦς· εἰς γὰρ βραχύτερόν τι μέρος [69] λόγου κατέληξεν· ἴδιον δὲ ῥυθμοῦ [70] κάλλους τὸ καταλήγειν τὰ κῶλα εἰς δισύλλαβον λέξιν ἢ μονοσύλλαβον· τοῦτο γὰρ λέγει μὴ [71] βεβηκότα ῥυθμὸν, ὃς [72] προσήκει τῷ κάλλει· ὥστε καθὸ μὲν ἡ ἔννοια βέβηκεν, ὡς φασιν, βέβηκεν ὁ ῥυθμός· καθὸ δὲ δισύλλαβος ἡ τελευταία λέξις, οὐ βέβηκεν.

ξγ'. Εἶπε γὰρ ἐν τῷ περὶ ἀναπαύσεως σεμνότητος, ὅτι σεμνὴν διαφερόντως ἔχει τὴν βάσιν ὁ ῥυθμὸς, [73] εἰ ἡ ἀνάπαυσις καταλήγοι ἢ παραλήγοι στοιχείῳ τινὶ πλατεῖ, τουτέστι τῷ α ἢ τῷ η ἢ τῷ ω.

ξδ'. Καλῶς προσέθηκε τὸ τελέως, ἔστι γὰρ τῇ μὲν ἐννοίᾳ βεβηκέναι τὸν ῥυθμὸν, οὐκ ἔτι δὲ τῇ λέξει, ὡς προείρηται.

Vol. V. p. 518. v. 20 — p. 521. v. 4. Litt. νγ' — ξέ. exstant apud Sicel. Ven. post litt. ν'. Ἔπειτα εἰ οἱ πόδες, ἐξ ὧν σύγκειται ὁ ῥυθμὸς, οἰκείως ἔχοιεν πρὸς ἀλλήλους καὶ μὴ ἀναρμοστοῦντες, τραχύτητα ποιοῖεν. Litt. νβ' — νς'. om. 64 Ven. omissa litt. νή. Ἐμέλησε γὰρ τῷ ῥήτορι τὸ μὴ διόλου καλλωπίζειν δοκεῖν. 65 Mon. κάλλος om. 66 ἄν Ven. Sicel. om. 67 Sicel. βραχείας. 68 Sicel. Ven. κρεμαμένην εἰργάσαιτο. Mon. ἀν. ἔφην κεκραμμένην ἐργάσασθαι. Par. 1. κεκραμένην εἰργάσατο. 69 Sicel. κατέληξεν ὁ λόγος.' 70 Sicel. καὶ κάλλους. 71 Sicel. Par. 2. οὐ. 72 Mon. οὐ. 73 Sicel. ῥυθμὸς δὲ ἢ ἡ ἀνάπ.

ξέ. Κεκαλλωπίσθαι γὰρ ἔφη τὸν πρὸς Δεπτίνην, διὸ ῥυθμοῖς ἐχρήσατο οὐ βεβηκόσι, καλλωπισμοῦ γὰρ [74], ὡς ἔφη, τὸ μὴ βεβηκέναι [75] τὴν ἀνάπαυσιν.

ξς'. Τοῦτο ἐπέμιξε καὶ ταῖς μὲν βραχείαις, ταῖς δὲ μακραῖς ἐχρήσατο καταλήξεσι, προσκορὲς γὰρ τὸ ὅμοιον· ταῦτα πάντα γὰρ [76] ῥυθμοί τινές εἰσιν. ἐν τούτοις κώλοις καὶ αἱ καταλήξεις εἰς βραχέα μέρη λόγου καὶ δισύλλαβα γεγόνασιν, οὗ πω πεπληρωμένης τῆς διανοίας καὶ βραχεῖα ἡ τελευταία συλλαβή, τουτέστι καὶ αἱ παραλήγουσαι βραχεῖαι τοῦ λέγει [77] καὶ τοῦ ἐρεῖ.

ξή. Τῷ Διονυσίῳ. Ἐκεῖνος γὰρ ἐν τῷ περὶ συνθέσεως ὀνομάτων τὰς μὲν διὰ τῶν μακρῶν φωνηέντων ἐξαγομένας λέξεις σεμνοτέρας εἶναί φησι καὶ τοῦ βεβηκότος οἰκείας ῥυθμοῦ, τὰς δὲ διὰ τῶν βραχέων εὐτελέστερας τε καὶ τοῦ κρεμαμένου· [78] ἐπειδὴ δὲ τὸ συνειπεῖν διὰ τῆς ει διφθόγγου [79] ἀμφοτέρας ἔχει τὰς ἐπὶ τέλους συλλαβὰς ἐξαγομένας, ἥτις εἰ καὶ μακρά ἐστιν, ἐντελέστερον ποιεῖ τὸν ῥυθμὸν διὰ τὸ παρεοικέναι τῇ τοῦ ι ἐκφωνήσει, ὅπερ συστέλλει καὶ σεσηρέναι ποιεῖ τὸ στόμα, ὡς καὐτὸς ἀνωτέρω φησὶν ἐν τῷ περὶ λέξεως σεμνῆς, εἰκότως ὡς διαμφιβάλλων ἔφη, εἴτε βεβηκὼς, εἴτε μὴ ὁ τοιοῦτος εἴη ῥυθμός· καθὸ μὲν γὰρ εἰς δυὸ μακρὰς ἔληξε, βέβηκε, καθὸ δὲ διὰ τῆς ει διφθόγγου ἐξαγομένας, [80] εὐτελής ἐστι.

ξθ'. Τὸν Ἁλικαρνασσέα λέγει Διονύσιον, ὃς περὶ χαρακτῆρος διέλαβε Λυσίου, Δημοσθένους, Ἰσοκράτους, Ὑπερ-

---

74 γάρ Mon. om. 75 Mon. τὸ βεβηκότα. 76 πάντα γάρ Mon. om. recepi ex Par. 1. in Par. 2. γάρ πάντα. 77 Mon. Par. 2. λέγειν καὶ τοῦ ἐρεῖν. Par. 1. λέγει et ἐρεῖ. — Litt. ξ'. vide Vol. V. p. 521. v. 8—15. 78 Mon. κεκραμμένου. 79 διφθόγγου Par. om. 80 Par. 1. ἐξεταζομένας. Quae sequuntur usque ad finem capitis, Ven. om.

Ὑπερίδου, Θουκυδίδου· καὶ περὶ λέξεως ἐδίδαξεν ἐν τῷ Δημοσθένους μάλιστα [81] λόγῳ, ὅτι τρεῖς εἰσι λέξεως χαρακτῆρες, ἡ μὲν γάρ ἐστιν ἐξηλλαγμένη καὶ περιττὴ καὶ ἐγκατάσκευος, καὶ τοῖς ἐπιθέτοις κόσμοις ἅπασι συμπεπληρωμένη, ἡ δὲ ἀφελὴς, ἣν ἐτελείωσεν ὁ Λυσίας· ἡ δὲ τρίτη μικτὴ καὶ σύνθετος ἐκ τούτοιν τοῖν δυοῖν, ἣν ἐπετήδευσεν Ἰσοκράτης καὶ Πλάτων· ὁ τοίνυν Δημοσθένης ἐξ ἁπάντων τὸ χρήσιμον ἐκλεξάμενος μίαν ἐκ πολλῶν διάλεκτον ἀπετέλεσε, ποικίλην καὶ μικτὴν ἐξ ἑκάστης ἰδέας, ἀλλὰ καὶ ἐν τῷ περὶ συνθέσεως ὀνομάτων περὶ λέξεως διαλαμβάνων λέγει, [82] „ὅτι περὶ μὲν τὰς τῶν γραμμάτων συμπλοκὰς ἡ τῶν συλλαβῶν γίνεται δύναμις ποικίλη, περὶ δὲ τὰς τῶν συλλαβῶν θέσεις ἡ τῶν ὀνομάτων φύσις παντοδαπὴ, περὶ δὲ τὰς τῶν ὀνομάτων ἁρμονίας πολύμορφος λόγος, ὥστε πολλὴ ἀνάγκη, καλὴν μὲν εἶναι λέξιν, ἐν ᾗ καλά ἐστιν ὀνόματα· κάλλους δὲ ὀνομάτων συλλαβαί τε καὶ γράμματα καλὰ αἴτια·“ διὰ τοῦτο κάλλους ἴδιον ὁ ῥυθμὸς, εἴτε βέβηκεν εἴτε μή· ἐπειδὴ κατὰ Διονύσιον ἡδύνει τὴν ἀκοὴν καὶ ποικίλλει, καὶ μὴ ἄρχεσθαι ἀπὸ τῶν αὐτῶν, μηδὲ λήγειν εἰς αὐτά, ἀλλὰ τὸ ἐξ ἁπάντων καλῶν ῥυθμῶν, τουτέστι ποδῶν, συγκεῖσθαι τὸν λόγον· ἀνάγκη γὰρ αὐτὸν οὕτω καλὸν εἶναι· τάττει δὲ τὸν [83] σπονδεῖον μετ᾽ αὐτῶν.

ὁ. Εἰ γὰρ ἡ δισύλλαβος λέξις καλλωπίζει, βραχὺ μέρος οὖσα λόγου, πολλῷ πλέον καλλωπίσει ἡ μονοσύλλαβος βραχύτερον οὖσα μέρος λόγου.

οά. Ἐπίθετον [84] κάλλος λέγει· διὰ τοῦτο [85] ἐν τῷ περὶ ἐπιμελείας καὶ κάλλους φησὶν, ὅτι τὸ τοιοῦτον κάλλος περὶ τὴν λέξιν καὶ τὰ σχήματά ἐστι καὶ ἕξης· ἔν-

81 Mon. καλλίστους λόγους. Parr. μάλιστα λόγῳ. 82 p. 196. Schaef. 83 Par. 2. τό. 84 Litt. οά. οβ'. sunt apud Sicel. 85 Sicel. διὰ τὸ ἐν τῷ π. ε. κ. κάλλους εἰπεῖν περὶ αὐτοῦ, ὅτι τὸ τ.

νοιαι δὲ καὶ μέθοδοι τοῦ τοιούτου κάλλους οὐκ εἰσὶν, ἐν δὲ τῷ περὶ γλυκύτητος, δι' ἧς φησι τὸν ὡραῖον γίνεσθαι λόγον, τὸ ἐκεῖ κάλλος δείκνυσι γινόμενον καὶ κατὰ ἐννοίας [86] τὰς μυθικὰς, καὶ μεθόδους τὰς τῆς καθαρότητος· ἐπίθετον κάλλος [87] φησὶ τὸ ἔξωθεν ἐπιτιθέμενον διὰ τῆς λέξεως καὶ τῶν σχημάτων καὶ τῶν ἄλλων ἰδεῶν [88] ἐννοίαις καὶ μεθόδοις.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ.

Cap. I.

ά. Τοῖς μὲν ἀκριβῶς τὰ ἐν τῷ προτέρῳ βιβλίῳ ἐπεσκεμμένοις ῥᾴδιον ἤδη καὶ τοῖς ἐν τῷ δευτέρῳ παρακολουθῆσαι καὶ χωρίς τινος ὑπομνήσεως· ἐπεὶ δὲ πρὸς τὴν ἀκριβεστέραν ἀνάγνωσιν τοῦ βιβλίου οἶμαι κἀνταῦθα χρήζειν τινὰ σαφηνείας, ἐπειράθην καὶ τοῦτο ὡς οἷόν τε διὰ συντόμων ἐπεξελθεῖν, Ἑρμῆς δὲ καὶ Μοῦσαι καὶ νῦν ἡγεμόνες ἡμῖν τῆς ἐπὶ τὸ βέλτιστον καὶ φιλομαθέστατον ὁδοῦ [1] κατασταῖεν.

β. Ἡ γοργότης τὸ πλεῖστον ἐπέχει περὶ τὰ σχήμα-

---

86 Parr. Sicel. λέγω τὰς μυθικάς. Sch. min. Ἰδοὺ καὶ τὸ φῶς, ὃ σημαίνει τὸν ἄνδρα, μονοσύλλαβόν ἐστι. 87 Sicel. ἐπίθετον δὲ κάλλος. Sch. min. Ἐπιθέτου· κομμωτικοῦ· ἐπίθετον γὰρ κάλλος τὸ ἐξ ἐπιτριμμάτων λέγομεν. Ὡραῖος λόγος· ἣν εἶπεν ἀνωτέρω λαμπρότητα ἐν τῷ περὶ φαιδρότητος. 88 ἰδεῶν ἐννοίαις καὶ μεθόδοις Sicel. om. — Litt. οβ'. vide Vol. V. p. 522. v. 15—22.

1 Mon. ὁμοῦ. scr. ὁδοῦ. Sch. min. Καλὸς μὲν οὖν· γνῶθι τὸ φιλοσύντομον, σχεδὸν γὰρ ἑνὶ κώλῳ περὶ ὧν φθάσας ἐτεχνολόγησεν τριῶν ἰδεῶν διείληφεν. Τὸ ἀνειμένον· ἡ ἀφέλεια.

τα καὶ τὴν συνθήκην καὶ τὰ λοιπὰ, μέσως δέ πως περὶ τὴν λέξιν καὶ μέθοδον, καὶ ἁπλῶς εἰπεῖν ἐν πᾶσι θεωρεῖται τοῖς ποιοῦσι τας ἰδέας πλὴν τοῖς ἐννοίας, ἔννοια γὰρ οὐκ ἔστιν γοργότητος.

γ'. Ὡς [2] φιλανθρωπίαν ἐπὶ κυνῶν καὶ φιλανδρείαν ἐπὶ ἀκόσμων γυναικῶν· ἰστέον δὲ, ὅτι ἡ ὀξύτης ἡ αὐτή ἐστι τῇ δριμύτητι.

δ'. Ἡ δριμύτης μερική ἐστιν ἰδέα, ἣν καὶ ὀξύτητα καλεῖ, προσήκει δὲ τῇ ἀφελείᾳ, ἥτις ὑπὸ τὸ ἦθος ἀνάγεται.

ε. Κατὰ κοινοῦ τὰ βραχέα ἀντὶ τοῦ ὀλίγον συμβάλλεται ἢ ἐναντιοῦται, εἴτε διὰ μακρῶν φωνηέντων ἡ λέξις ἐκφέροιτο, εἴτε διὰ βραχέων· ἡ μὲν γὰρ διὰ βραχέων συμβάλλεται τῇ γοργότητι, οἷον λόγος, ἡ δὲ διὰ μακρῶν ἐναντιοῦται, οἷον πολλάς. [3]

ζ. Μέθοδον μίαν ἡμῖν ἐπὶ τῆς γοργότητος παραδίδωσιν, οὐδὲ γὰρ ἂν εὕροις ἑτέραν πλὴν τῆς λεχθησομένης.

ϑ'. Τὸ ἑξῆς σχῆμα μὲν, φησὶ, διανοίας εἶναι δοκεῖ· ἐγὼ δὲ νομίζω λέξεως εἶναι σχῆμα τὴν ἀποστροφήν. [4]

---

2 Ven. litt. β'. omissa: *Εἰ μή τις ἄρα τὰ ὀξέα τῶν νοημάτων γοργὰ λέγοι, ὡς εἶναι φιλανθρ.* 3 Ven. litt. δ'., ε., ζ'., ϑ'—ιγ'. om. — Litt. ς'. et ή. vide Vol. V. p. 523. v. 8—20. Ven. post litt. ή. transit ad ιδ'. Sch. min. *τοῦ τέμνειν τὰς ἐννοίας καὶ συνάγειν αὐτὰς εἰς βραχυλογίαν, ὃ ἐπετήδευον οἱ Λάκωνες. Ἐν οἷς θεωρεῖται· δι' ὧν διαγινώσκεται. Τί γὰρ καὶ βουλόμενοι· φησὶν Αἰσχίνης ἐν τῷ λόγῳ τῷ περὶ παραπρεσβείας, ὅτι ὑμεῖς μὲν, ὦ Ἀθηναῖοι, πρεσβευτὰς μὲν ἐπέμψατε πρὸς Φίλιππον ὑπὲρ εἰρήνης, πρὸς δὲ τὰς πόλεις ὑπὲρ πολέμου· διαβάλλει δὲ ταῦτα Δημοσθένης, καὶ φησιν αὐτὸν ψεύδεσθαι, εἰ γὰρ πρὸς Φίλιππον μὲν ὑπὲρ εἰρήνης ἐπρεσβεύετε, πρὸς τὰς πόλεις δὲ ὑπὲρ πολέμου, φαύλων ἀνθρώπων ἔργον ἐποιεῖτε.* 4 Litt. ι. vide Vol. V. p. 524. v. 5—7. Sch. min. *Παρὰ σοὶ κατέλυσαν· ταῦτα γοργότητός ἐστι σχήματα. Προὐξένεις· ἀντὶ τοῦ φίλος ὑπῆρχες τῶν Μακεδόνων· παρὰ σοὶ γὰρ κατέλυον· αὐτὸν δὲ*

ιά. Ὥσπερ εἶπεν, ὅτι σαφήνειαν μὲν ἐργάζεται καθαρότης, εἰ δέ τι ἐναντίον συμπέσοι, τοῦτο διορθοῦται ἡ εὐκρίνεια, οὕτω κἀνταῦθα, φησὶ, τινὰ τῶν σχημάτων τὴν ὑπτιότητα διορθοῦται.

ιβ. Ὥσπερ ἐπὶ τῆς σαφηνείας προηγουμένως μέν ἐστιν ἡ καθαρότης, κατὰ δεύτερον δὲ λόγον ἡ εὐκρίνεια, τὸν αὐτὸν τρόπον κἀπὶ τῆς προκειμένης ἰδέας τὰ μὲν αὐτῆς ἕνεκα λαμβάνεται τῆς γοργότητος, τὰ δὲ τὸ συμβὰν ἁμάρτημα κατά τινα περίστασιν ἐπανορθοῖ τῇ γοργότητι, πλὴν οὐ τὴν αὐτὴν ἐπὶ τῆς σαφηνείας κἀνταῦθα τάξιν ἐφύλαξεν· ἐκεῖ μὲν γὰρ τὴν ποιοῦσαν κυρίως προέ-

---

ἀντὶ τοῦ τὸν Φίλιππον. Τμητικά· τέμνοντα τὰς ἐννοίας. Ἀφήγησίς ἐστιν ἡ μόνη εἰσήγησις τοῦ πράγματος χωρὶς τῶν περιστατικῶν· διήγησις δὲ ἡ μετὰ τῶν περιστατικῶν τιθεμένη. Δημηγορῶν· ὑπέστρεψεν εἰς τὴν προτέραν ἀφήγησιν καὶ ὁ θεολόγος· τί γὰρ ἂν κωλύσεις καὶ ἡμᾶς, τῷ βασιλεῖ κατὰ τὸ ἴσον ἀντιπαίζοντας Ῥωμαίων, ὡς δὲ ᾤετο καὶ τῆς οἰκουμένης ἁπάσης τὸν εἰδωλιανὸν εἰπεῖν, καὶ τὸν πισσαῖον καὶ καυσίταυρον· καὶ ἀλλαχοῦ· τί γὰρ ὂν ἁπλῆς ἐστι φύσεως ἐπιζητήσομεν· εἶτα ἡ γοργότης τραχεῖα, οὐ γὰρ δὴ φύσις αὐτῷ ἡ ἁπλότης καὶ τὰ ἑξῆς· ἐνταῦθα δὲ ὑποστροφὴν οὐκ ἔχει, ἀλλὰ γοργότητα. Καταπλοκήν· τοῦτο Οὐλπιανὸς ἐν τῷ περὶ μεταβολῆς ἐπιδρομὴν καλεῖ. ibid. Σημείωσαι ὅτι τὸ σχῆμα τῆς ἀποστροφῆς καταπλοκήν τινες ὠνόμασαν. Ἐπιτρέχον λέγεται, ὅτι πολλὰς ἐννοίας κατ᾽ ἐπιδρομὴν ἀφηγεῖται. ib. ἐπιτρέχον λέγεται τὸ σχῆμα τὸ συντόμως ἔχον τὰς ἀπαντήσεις. Ταυτὶ μέν· τὰ σχήματα δηλονότι. Προειρημένων σχημάτων· τῆς ὑποστροφῆς καὶ τοῦ ἐπιτρέχοντος. Ἐπαναφορὰ λέγεται, διὸ ἔχει τὰς ἐπιπροσθέσεις, καὶ κατὰ τὸ τέλος πάλιν ἔχει τὴν ἀντιστροφήν. Σχήματα μὲν οὖν τοῦ εἴδους· τῆς γοργότητος λέγει. Τὸ ἀσύνδετον· τὸ μὴ ἔχον σύνδεσμον ἢ τὸν μὲν ἢ τὸν δέ. Τὴν ἀνταπόδοσιν· τὴν μὲν καὶ δέ. Τὸ κατ᾽ ἀντιστροφήν· διότι πρὸς τὸ τέλος ἔχει τὸ παρ᾽ ὑμῶν. Καὶ σπουδαῖα· ἐνταῦθα ἔχει πάλιν τοὺς καὶ συνδέσμους. Καθ᾽ ἑκάστην· ἀντὶ τοῦ κατὰ μίαν συμπλοκήν.

ταξε τὴν σαφήνειαν, ἐν δευτέρῳ δὲ τέταχε τὴν ἐν παρέργῳ λαμβανομένην· ἐνταῦθα δὲ τὰ σχήματα τὰ κατὰ δεύτερον λαμβανόμενα λόγον τέταχεν· ἐπειδὴ ταῦτα μάλιστα ἐξαιρεῖ τὴν ὑπτιότητα, ἥτις καὶ ἐναντία τῇ γοργότητι, καθὰ καὶ πρὸ μικροῦ μεμαθήκαμεν.

ιγ'. Ταχεῖαι συμπλοκαὶ αἱ διὰ ἐλαχίστων γινόμεναι κώλων. ἴσμεν δὲ ὅτι συμπλεκτικὸς κατ' ἐξαίρετον σύνδεσμος ὁ καί. διὸ καὶ τὸ σχῆμα ἐκ τοῦ συνεχῶς ἐν ἀρχῇ τῶν κώλων τὸν καὶ ἔχειν[5] συμπλοκὴ καλεῖται.

Ἰστέον μέντοι, ὡς τοῦτο τὸ χωρίον ἔμφασιν ἔχει τιμητικοῦ λόγου καὶ γοργότητος καὶ περιβολῆς. γένη γὰρ εἴδεσι, καὶ ὅλα μέρεσι καὶ ἀόριστα ὡρισμένοις καὶ ἕτερα ἄττα περιβλητικὰ προσλαμβάνει· ἀναγκαῖον δὲ ὅλον παραθέντας τὸ παράδειγμα οὕτω ποιήσασθαι τὴν ἐξήγησιν· ἔχει δὲ οὕτως·[6] „ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφε-

5 ἔχειν Mon. om. dedi ex conj. Litt. ιδ'. v. Vol. V. p. 524. v. 8—15. 6 pro cor. p. 248. Sch. min. Ταῦτα πάντα ἔχουσι καὶ γοργότητος· εἰσὶ δὲ ἐμπερίβολα. Πλαγιασμοὶ μέν, ὡς τό· πολλῶν ὄντων καὶ μεγάλων, ἃ τὴν ῥητορικὴν συνίστησι· κατὰ συστροφὴν δέ, ὥσπερ τό· σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι. Καθ' ἑκάστην ἐκκλησίαν· τοῦτο λέγει, ὅτι καθ' ἑκάστην ἐκκλησίαν ἐγένοντο δημηγορίαι, ὅπερ τιμητικόν, οὐ μὴν ἐδόκει τέμνειν. Τοῦ δ' αὖ κατὰ συστροφήν· ἤγουν περιοδικῶς· οἷον, ἃ γὰρ ἐφυλαξάμεθα εἰρήνης ὑπαρχούσης, ταῦτα βέλτιον ποιεῖν πολέμου καθεστηκότος. ib. πολλὰ μὲν πράγματα ἔχει ἐνταῦθα· συνεσφιγμένα δὲ καὶ σύντομα, ὡς μηδὲ ἐκεῖνα εἶναι πολλά. Τούτῳ τῷ εἴδει· τῷ τέμνοντι μέν, μὴ δοκοῦντι δέ. ib. Ἐκ τοῦ κατὰ Φιλίππου δευτέρου. ib. Κατὰ Φιλίππου ἄρχεται οὕτως· πολλῶν, ὦ Ἀθηναῖοι, λόγων γινομένων, ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν, περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἀδικεῖ. Ἐν ἀμφοτέροις· τῷ προειρημένῳ καὶ τούτῳ. Τοῦ δ' αὖ καὶ ὄντος· διὰ τοῦ καὶ γὰρ καὶ συνδέσμου ἔκοψεν ἀμφότερα. Νῦν δὲ ἐκείνως· καὶ τέμνων, καὶ δοκῶν, καὶ τέμνων καὶ οὐ δοκῶν, καὶ οὐ δοκῶν τέμνων.

τεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμὸν,[7] καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δὲ Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' αὑτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν καὶ πόλεις Ἑλληνίδας ἃς μὲν αἱρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ·" ἐνταῦθα γένος μὲν περιβάλλει, τὸν Φίλιππον ἀδικεῖν ἀποφαίνων· γένος μὲν γὰρ ἡ ἀδικία, κ. τ. λ. Vol. V. p. 524. v. 20. — p. 525. v. 3.

ιέ. Πάνυ[8] κἀνταῦθα καὶ[9] τοῖς ἑπομένοις ὁ τεχνογράφος ἐξυμνεῖ τὴν δεινότητα, ὡς τῷ πολιτικῷ λόγῳ τὰ μέγιστα συμβαλλομένην, καὶ τὴν εὔκαιρον[10] χρῆσιν τῶν ἰδεῶν τῷ τεχνίτῃ χορηγοῦσαν· αὕτη γὰρ ἡμᾶς διδάσκει τόν τε καιρὸν, πηνίκα ταῖσδε ἢ ταῖσδε τῶν ἰδεῶν χρηστέον, ὅπερ τὸ πότε υηλοῖ· τὸ δὲ ποῦ, ἐν ποίῳ τῆς ῥητορικῆς εἴδει· ἢ ἐν ποίοις μέρεσι τοῦ λόγου, τὸ δὲ πρὸς ὅντινα, πρὸς ὑπερέχοντα πρόσωπα,[11] ἢ ἴσα ἢ καταδεέστερα, ἔνδοξά τε ἢ ἄδοξα ἢ ἀμφίδοξα, τὸ δὲ πῶς, διὰ ποίων ἐπιχειρημάτων τὰς κατασκευὰς ἐργαστέον.[12] Βραχεῖαν[13] καὶ βραχεῖαν εἰπὼν διὰ μὲν τῆς πρώτης τὴν μονοσύλλαβον ἐδήλωσεν, ἢ τρισύλλαβον, διὰ τῆς δευτέρας δὲ τὴν διὰ βραχέων φωνηέντων συνισταμένην, ἣν καὶ μᾶλλόν

---

7 Mon. πόλεμον. 8 Ven. Ἐκείνης γὰρ ἴδιον τὸ εἰδέναι καὶ τούτοις καὶ τοῖς ἄλλοις ἅπασιν εἴδεσιν πότε καὶ ποῦ καὶ πρὸς ὅν τινα καὶ πῶς προσήκει χρῆσθαι· πάνυ κἀνταῦθα κἀν τοῖς ἑπ. Litt. ιέ. est etiam apud Sicel. sine nomine auctoris. 9 Sicel. καὶ ἐν. 10 Sicel. in Par. et Vind. ἄκαιρον, in Par. correctum. 11 Sicel. in Par. et Vind. πρόσωπον. 12 Litt. ις'. ιζ'. ιή. extant apud Sicel. — Litt. ις' et ιή. vide Vol V. p: 525. v. 8. — p. 526. v. 4. 13 Βραχεῖαν et seqq. usque ad litt. ιζ'. Mon. et Sicel. non habent; recepi ex Parr.

φησιν ἐπιτηδειοτέραν εἶναι πρὸς γοργότητα τῆς ἁπλῶς δι' ὀλίγων συλλαβῶν συνισταμένης· τί γὰρ εἰ ἐκείνη σπουδειακή ἐστιν, ὡς ἥρως, αὕτη δὲ πυῤῥιχιακή, ὡς λόγος, νόμος καὶ τὰ τοιάδε.

ιζ'. Δῆλον [14] ἐκ τῶν σχημάτων, ὡς τὴν λέξιν εἶναι δεῖ βραχεῖαν, ὁποία γάρ ποτε ἂν ᾖ, βραχεῖα δὲ μόνον, συντελεῖ πρὸς γοργότητα, ἢ τὸ ἀνάπαλιν ἐναντιοῦται· εἰ δὲ λέξις τοιαύτη ἁρμόττει τῷ τοιούτῳ εἴδει, πολλῷ μᾶλλον καὶ κῶλα βραχέα. [15]

ιθ'. Τὸ βεβηκέναι καὶ ἑστάναι οὐκ ἔστι τάχους, ἀλλὰ τὸ σπεύδοντα προσιέναι, ὡς ἐπ' ἀνθρώπου βαδίζοντος· διὸ τὸ μὲν [16] βεβηκέναι σεμνότητος, τὸ δὲ τρέχειν καὶ μὴ ἑστάναι γοργότητος.

Cap. II.

Περὶ ἤθους.

ἀ. Ἔστιν ἦθος οὐ μόνον τοῦτο δὴ τὸ παρὰ τοῖς ῥήτορσι καλούμενον ἠθικόν, ἀλλ' ἤδη που καὶ τὸ ὑπερβαῖνον πολιτικὴν ζήτησιν, καὶ τῆς τῶν φιλοσόφων ἀγχι-

---

14 Sicel. δῆλον δέ, ὅτι ἐκ τῶν σχημάτων καὶ τὴν λ. 15 Ven. post litt. ιέ. Καὶ τούτου τεκμήρια ἐναργῆ πολλά, καὶ τῆς τραγῳδίας, ἔνθα ἐπείγεσθαι ὁ λέγων δοκεῖ, τροχαϊκῶς συντεθέντα. vide Vol. V. p. 525. v. 15. — p. 526. v. 4. 16 μὲν Par. 1. om. Sch. min. Λέξις μὲν γὰρ ὡ. ἑ. βραχεῖα· μὴ διὰ μακρῶν φωνηέντων, ἀλλὰ βραχέων. Σύγκρουσιν φωνηέντων· εἰ μὴ ἄρα θέλοι τις τραχύτητα ἐργάσασθαι, οἱ γὰρ συγκρουσμοὶ τῇ τραχύτητι προσήκουσιν. Ἔνθα ἐπείγεσθαι· τοὺς γὰρ ἀγγέλους τοὺς δεινόν τι ἀγγέλλοντας ἴσμεν ἀπαγγελόντας διὰ τροχαϊκοῦ μέτρου τὰ συμβάντα. Λογοειδέστεροι· πεζοφανέστεροι. Ἐν οὐδέν· καινοπρεπὲς τὸ ἓν οὐδέν. ib. ἐν λόγῳ δηλονότι. Ἐπιβολήν· τὴν ἀρχὴν, τὴν ἐπιχείρησιν.

νοίας δεόμενον, ὃ κατὰ ἐπιστήμην γινόμενον πρὸς τὸν λέγοντα μόνον ὁρᾷ, καὶ περὶ τὸ πρόσωπον ἔχει τὴν πᾶσαν ὑπόστασιν· ἀλλὰ περὶ τούτου μὲν, ὅπερ ἔφην, ἐπιστημονικοῖς ἀνδράσιν προσήκει ζητεῖν, οὐ πολιτικοῖς· τὸ γὰρ ἁρμόττον τῇ ὑποκειμένῃ πραγματείᾳ ἐκ τῶν λεγομένων γίνεται καὶ τὸ τοιόνδε ἦθος αὐτῷ ὁ λόγος παρατίθησι, κἂν δοκῇ πως ὁ φιλάργυρος καὶ ὁ λίχνος ἐκ πάλαι μεμελετηκότες ἔχειν τὴν τοιαύτην ὑπόληψιν, ἄλλως τε καὶ τὰ ὑποκείμενα πρόσωπα τοῖς ῥήτορσι διαβεβλημένα πώς εἰσι καὶ γελώμενα. τὰ δὲ τοῖς φιλοσόφοις σεμνὰ καὶ πλεῖστον ἀφεστῶτα τοῦ γέλωτος· ἀλλ' ἐπανιτέον ἐπὶ τὸ προκείμενον. Τοῦτο τὸ ἦθος [1] τὸ ὑποκείμενον ταῖς πολιτικαῖς ζητήσεσι διπλοῦν ἐστιν· ἢ γὰρ ἐπὶ παντὸς [2] διήκει τοῦ λόγου, καθάπερ ἐν σώματι χρῶμα, ἢ πλεονάζει καθὰ ἡ σεμνότης καὶ αἱ λοιπαὶ τῶν ἰδεῶν· εἰ δὲ μὴ πλεονάζοι, μερικῶς που γίνεται χρήσιμον· ἀλλὰ περὶ μὲν τοῦ ἤθους τοῦ διήκοντος μέχρι παντὸς τοῦ λόγου νῦν μὲν ὑπερτίθεται λέγειν· περὶ δὲ τοῦ ἐγκαταμιγνυμένου πανταχοῦ παραδίδωσιν, ὃ τριχῶς γίνεσθαί φησιν· ἢ γὰρ μειοῦμεν [3] κ. τ. λ. Vol. V. p. 526. v. 19. — p. 527. v. 7. καὶ τοῦτο προϊόντος τοῦ λόγου ἔσται φανερώτερον· ποιεῖ δὲ καὶ ἡ ἀλήθεια τὸ ἦθος, καθὰ δεδηλώκαμεν· ἣν ἐν μὲν τῇ ἀπαριθμήσει τῶν ἰδεῶν καθ' ἑαυτὴν τέταχεν ὡς ἀντιδιαστελλομένην ταῖς ἄλλαις ἰδέαις· ἐπὶ δὲ τοῦ παρόντος ὡς συμπληρωτικὴν αὐτὴν λαμβάνει τοῦ ἤθους, καθὰ τὴν ἀφελειαν καὶ τὴν ἐπιείκειαν καὶ ταῦτα μηδεὶς θαυμαζέτω· ἐν γὰρ τῇ ἀπαριθμήσει τῶν ἰδεῶν τῇ συνηθείᾳ [4] τῶν πολλῶν ἠκολούθησεν, ἅτε μὴ ποιούμενος ἀκριβῆ περὶ αὐτῶν διδασκαλίαν· ἐναντίον γάρ πως εἶναι πα-

1 τοῦτο τὸ ἦθος τὸ ὑποκείμενον Mon. om., recepi ex Parr. 2 Mon. ποτέ. 3 Mon. μιᾷ μέν. 4 τῇ συνηθείᾳ τῶν πολλῶν — — ἀπαριθμήσει τῶν ἰδεῶν Mon. om., recepi ex Parr. cfr. — Vol. V. p. 526. v. 16.

ρὰ τοῖς πολλοῖς τῷ ἤθει τὸ πάθος, ὅπερ οὐκ ἔστιν· ἦθος γὰρ καὶ τὸ πάθος αὐτό· καὶ τοῦτο σαφέστερον ἐν τῷ ἀληθινῷ δειχθήσεται λόγῳ· διὰ τοῦτο τοίνυν ὁ τεχνικὸς ἐν τῇ ἀπαριθμήσει τῶν ἰδεῶν ἐπακολουθήσας [5] τῇ συνηθείᾳ καθ' ἑαυτὴν τέταχε τὴν ἀλήθειαν· ἐνταῦθα δὲ τὴν προσήκουσαν ἀποδέδωκε τάξιν καὶ ὑπὸ τὸ ἦθος αὐτὴν ἀνήγαγεν, ἅτε καὶ ἀκριβεστέραν ἐπὶ τῆς διδασκαλίας τὴν ἀκολουθίαν ποιούμενος. [6]

γ'. Τὸ ἦθος [7] γενικόν ἐστιν ὄνομα κατηγορούμενον κατὰ διαφόρων, ἁρμόττον τῷ πρὸ αὐτοῦ. Χρησιμώτατόν ἐστι τὸ εἰδέναι, ὅπως [8] γίνεται τὸ ἦθος, καὶ χρησιμώτατον πάλιν τὸ [9] τὸν δυνάμενον ῥήτορα ποιεῖν καὶ ἐργάζεσθαι τὸ ἦθος, καὶ ποτὲ μὲν τέλειον [10] λόγον ἠθικὸν συγγράφειν, ποτὲ δὲ συμπλέκειν [11] ταῖς προειρημέναις ἰδέαις αὐτό.

δ'. Ἀφελὲς ἢ ἐπιεικὲς ἢ ἀληθὲς ἢ βαρύ. εἰς ταῦτα γὰρ διαιρεῖται τὸ ἦθος, ἢ ὅλῳ τῷ λόγῳ, ἀντὶ τοῦ δημηγορίᾳ Ἀλκιβιάδου ἢ Περικλέους· οὐ γὰρ ὁμοίως λεκτέον, ἐπειδὴ διάφορα τῶν ἀνθρώπων τὰ ἤθη. [12]

ε'. Πάλιν [13] καταχρηστικώτερον ἐνταῦθα τὰς ἰδέας εἴδη καλεῖ. στρατηγοῖς μὲν γὰρ ἡ πρεσβευταῖς σεμνότης ἁρμόττουσα φανήσεται, ἰδιώταις δὲ ἀφέλεια.

ζ. Τὸν λόγον λέγει, ἠθικὸν γὰρ κ. τ. λ. Vol. V. p. 527. v. 15. — p. 528. v. 3. διὰ τί δὲ ἐν ἀρχῇ τοῦ πρώτου βιβλίου τὴν ἀλήθειαν μὲν μίαν ἰδέαν εἶναι τελείαν

---

5 Parr. ἀκολουθήσας. 6 Litt. β'. vide Vol. V. p. 526. v. 8—13. 7 Τὸ ἦθος γενικὸν — — πρὸ αὐτοῦ Par. om., in Par. 2. scriptum in h. l. evanuit. Sqq. χρησιμώτατόν ἐστι — — ἰδέαις αὐτὸ sunt apud Sicel. 8 Sicel. πῶς. 9 Sicel. τὸ τὸν ῥήτορα ποιεῖν καὶ ἐρ. δυνάμενον τ. η. 10 Sicel. τελείου ἤθους λόγον. 11 Mon. συμπλέκον. 12 Litt. ε. vide Vol. V. p. 527. v. 7—14. 13 Ven. antecedentibus omissis: Καὶ μαθησόμεθά γε τοῦτο· οἷον τίνα εἴδη τίσιν ἁρμόττει προσώποις.

δηλῶν, καὶ συναριθμήσας αὐτὴν ταῖς ἄλλαις ἓξ ἰδέαις, ἐνταῦθα ὑπὸ τὸ ἦθος αὐτὴν τάττει, ὁμοίως τῇ ἀφελείᾳ καὶ τῇ ἐπιεικείᾳ, καὶ ταῦτα ἰσόῤῥοπον δοκοῦσαν εἶναι τῷ ἤθει, ὅσον ἐκ τοῦ ἐν ἀρχῇ καταλόγου τῶν ἰδεῶν· ἔδει γὰρ ἢ τὰς ἰδέας ἓξ εἰπεῖν τὰς πάσας ἐν ἀρχῇ, ἢ, εἰ ἠβούλετο καὶ τὰ εἴδη συναριθμεῖν τοῖς γένεσιν, μνησθῆναι ὤφειλεν ἐπιεικείας καὶ ἀφελείας καὶ βαρύτητος καὶ τῶν τῆς σαφηνείας καὶ μεγέθους εἰδῶν. ἀπορῆσαι οὖν ἄξιον.

ἡ. Εἴρηται [14] ἐν τῷ πρώτῳ, ὅτι ἦθος διαιρεῖται εἰς ἀφέλειαν, εἰς [15] ἐπιείκειαν, εἰς βαρύτητα· ἡ τοίνυν μίξις τῶν ἰδεῶν τούτων προσλαβοῦσα καὶ τὴν ἀλήθειαν τὸν ἠθικὸν ἀπεργάζεται λόγον. αἱ γὰρ ἐπιεικεῖς κ. τ. λ. [16]

Vol. V. p. 528. v. 3—8.

Cap. III.

Περὶ ἀφελείας.

ά. Ὡς φησιν αὐτός, τοῦ ἤθους τέσσαρά ἐστιν εἴδη, ἐπιείκεια, ἀφέλεια, τὸ ἀληθὲς καὶ ἐνδιάθετον, βαρύτης. διδάσκει δὲ πρῶτον περὶ ἀφελείας, εἶτα περὶ γλυκύτητος, ἐπίτασις γὰρ ἀφελείας ἡ γλυκύτης, ὡς αὐτός φησιν, ἐπάγει δὲ μετὰ ταῦτα καὶ τὸν περὶ δριμύτητος λόγον· προσήκει γὰρ καὶ αὕτη τῇ ἀφελείᾳ· προεῖπε δὲ, ὅτι σεμνότητι ἐναντίον ἐστὶν ἀφέλεια. διὰ τί δέ φαμεν, ὅτι ἐναντίον ἀκρίβεια; καὶ ζήτησις τῶν ὀνομάτων τῇ ἁπλότητι διὰ

---

14 Ven. post litt. ς'. Οὐ μὴν συμπληροῖ αὐτὸν, ὥσπερ ἥ τε ἀφέλεια καὶ ἡ ἐπιείκεια. 15 hoc et sq. εἰς Mon. Par. 2. Ven. om. Par. 1. habet. 16 Sch. min. Καθάπερ κἀκεῖναι· ἡ σεμνότης, ἡ λαμπρότης καὶ αἱ ἄλλαι ἰδέαι. Ἀληθὲς καὶ ἐνδιάθετον· ὅρα πῶς ἦν ἰδίως ἰδέαν ἀπαριθμεῖται, νῦν ὑποτίθησιν ὡς εἶδος τῷ ἤθει. ibid. Ὅταν ἐξαίφνης καὶ ἀπροσδοκήτως λέγοι τι ὁ ῥήτωρ, τουτέστιν ἀληθὲς καὶ ἐνδιάθετον.

σύνθεσιν, καὶ τὰ θεῖα ζητοῦμεν. ἐν δὲ ἀφελείᾳ οὐδὲ τὰ ἀνθρώπινα παντελῶς, περὶ ἀφελείας δὲ καὶ τῶν αὐτῇ προσηκουσῶν διαλέγεται πρῶτον, γλυκύτητος λέγω καὶ δριμύτητος· ἐπειδὴ μακρότερος ὁ περὶ αὐτῆς λόγος διαιρουμένης εἰς εἴδη δύο, εἶτα περὶ ἐπιεικείας, καὶ πάλιν περὶ τοῦ ἐνδιαθέτου.

β'. Ποιεῖ τὸ ἦθος καὶ ἡ ἀφέλεια, καθὰ καὶ πρὸ μικροῦ δεδηλώκαμεν, ἥτις γίνεται, ὅταν τοῖς εὐτελέσι πράγμασιν ἴσους ἀποδώσομεν καὶ τοὺς λόγους, μηδὲν ὑποβάλλοντες κατὰ τὸ νόημα, τούτῳ γὰρ τῷ τρόπῳ φυλάττεται τὸ τοιοῦτον εἶδος, τὸ γὰρ περινενοημένον ἐναντίον αὐτῇ, καὶ τὸ βιαιον, καὶ ἁπλῶς ὅσα ἀντίκεινται ταύτῃ,[1] τὰ αὐτὰ καὶ τῇ ἀφελείᾳ ἀντιπίπτει.

γ'. Τῶν οὐ πάντη [2] ἀνοήτων, ἀλλὰ κουφοτέρων καὶ ἃ χρὴ λέγειν ἢ μὴ, κρίνειν οὐκ εἰδότων· τοιοῦτον γὰρ ὡς ἐπίπαν μὲν οἱ παῖδες, ἤδη δὲ καὶ τῶν ἀνδρῶν ἔνιοι διὰ ἀβελτηρίαν.[3]

δ. Ἀνάγκη, φησὶ, πλέον εἰπεῖν περὶ τῶν ἀφελῶν ἐννοιῶν, τὰ γὰρ παραδείγματα ἐν τῇ καθαρότητι λεχθέντα πολιτικώτερα μᾶλλόν εἰσι καὶ αἱ καθαραὶ ἔννοιαι παρὰ τὰς ἀφελεῖς, καὶ τοῦτο μὲν ἔφη, ποῖαι δὲ οὔ· φησὶ τοίνυν τὰς μὲν μᾶλλον ἁρμόττειν τῷ πολιτικῷ λόγῳ, τὰς δὲ οὐδόλως, ἃς καὶ ἰδίας λέγει τῆς ἀφελείας.

ε. Ὅτι τῶν ἀφελῶν ἐννοιῶν αἱ μὲν μᾶλλον ἁρμόττου-

αύ η

1 Par. 1. τουιῳ. 2 Ven. καὶ ὑπό τι νηπίων, ἵνα μὴ ἀβελτέρων λέγῃ τις. 3 Διὰ ἀβελτηρίαν Ven. om. Sch. min.. Τῶν ἁπλάστων ἠθῶν· τίνες ἀφελείας ἰδίως ἔννοιαι; ἃς οὐδὲν ὅλως προσήκει πολιτικῷ. Ὑπό τι νηπίων· τὸ ὑπὸ ἀντὶ τοῦ διά· ἢ δι' ἡλικίαν τυχὸν ἢ δι' ἀφροσύνην. ib. Εὐτελισμοῦ τὸ τί οὐκ ἀόριστον. Κωμάσδω· κωμάζω· εἴρηται δὲ τὸ σ καὶ τὸ δ ἀντὶ τοῦ ζ τοῦ διπλοῦ. ib. Ἀμαρυλλὶς ἑταίρα τις ἦν. τὸ δὲ κωμάσδω ἀντὶ τοῦ κωμάζω, μεθύω, τὸ γὰρ ζ ἐκ τοῦ σ καὶ δ.

σι τῷ πολιτικῷ, αἱ δὲ ἧττον, αἱ δὲ οὐδέτερον, ἃς καὶ μᾶλλον εἴποι τις ἂν προσήκειν ἀφελείᾳ.[4]

ς'. Τὰς τῶν[5] ἁπλάστων ἠθῶν καὶ νηπίων, ἃς ἐξαιρέτως ἔχει ἡ ἀφέλεια, ἃς[6] οὐδὲ ὅλως προσήκειν λόγῳ πολιτικῷ φησι.

ϑ'. Ἀνάγκη[7] γὰρ τὸν περὶ εὐτελῶν διαλεγόμενον πραγμάτων εὐτελέσι κεχρῆσθαι ἐννοίαις, ὡς καὶ ἐν τῷ κατὰ Κόνωνος ὁ Δημοσθένης φησί. φήσαντες γὰρ καπνίζειν αὐτοὺς ὀψοποιουμένους ἔτυπτον καὶ τὰς ἀμίδας κατεσκεδάννυον καὶ προσούρουν· καὶ μετ' ὀλίγον φησὶ περὶ

---

4 Sequitur in Parr. Ὅταν συνηγορῇς — — βουλευτήρια. vide Vol.V. p.529. v.5—7. 5 Τὰς τῶν ἁπλάστων — — — ἀφέλεια inter schol. min. repetit Par. 1. 6 ἃς οὐδὲ ὁ πρ. λ. π. φησὶ Mon. om. Litt. ζ'. ἡ. vide Vol. V. p. 529. v. 7—14. Sch. min. οὐ χωρίζομεν τίς καθαρὰς ἔξωθεν τῶν ἀφελῶν, ἀλλ' ἀμφότεραι ἔν εἰσιν. Τὰς καθαρὰς οὔσας· ὅρα τὴν ἀκρίβειαν τοῦ τεχνικοῦ. Φρενῶν γε ἕνεκα· ἵνα ἔχῃ φρένας νηπίου ἁπλάστου. Γεωργῶν ἀγροίκων· ἐπειδὴ δύο σημαίνει τὸ τοῦ γεωργοῦ ὄνομα, τὸν ἁπλῶς γῆν ἐργαζόμενον, καὶ τὸν ἀγροῖκον. Θρύπτεσθαι τὸ ὑποκρίνεσθαί ἐστι καὶ βούλεσθαι μέν τι, ἄλλο δὲ ἠθικῶς προσποιεῖσθαι μετά τινος ἐμφάσεως τοῦ σώματος, ἐκ γὰρ τοῦ θρύπτω παράγεται ἡ λέξις, ὃ δηλοῖ κυρίως τὸ κλῶ. Ἀδύ τι· ἡδύ τι· τοῦτο τοῦ Θεοκρίτου ἐστὶ, ψιθύρισμα δὲ λέγει τὸν τῶν φύλλων κτύπον. Ἅ πίτυς· ἡ πίτυς. Τῆνα· ἐκείνη. Πλεῖστα αὐτῶν· τῶν βουκολικῶν. Τῶν λεγομένων ἰδίως· τῶν φιλαργύρων καὶ λίχνων. Ἀφελεῖς ἔννοιαι· ἑτέρας ἐννοίας λέγει, προσηκούσας ἰδιωτικοῖς λόγοις, ἐν δὲ τοῖς δημοσίοις οὐ πάνυ. Ἑτέρωθι· ἐν τῷ πρὸς Νικόστρατον περὶ ἀνδραπόδων Ἀρεθουσίων. Ἐκτίλλειν· τὸ λέγειν ἐπὶ ῥοδωνιᾶς ἐκτίλλειν ἀφελείας πολλῆς. Ἐφέσει· ἐφεστικὰ (sic) δικαστήρια λέγονται καὶ ἄχρι τῆς δεῦρο τὰ ἐξ ἄλλων εἰς ἄλλα παραπεμπόμενα, γίνεται δὲ ἐκ τοῦ ἀφίημι τὸ πέμπω. ib. ὅταν ἀπὸ δικαστηρίου φεύγῃς εἰς ἕτερον. Ταινίας· κεφαλοδέσμια, ἢ ζώνας, ἢ στεφανώματα. Κωμάζειν· ὑβρίζειν. Ἀριστοφανικὴ ἡ ἱστορία. 7 Ven. Ὅλως τε πολλὰ τοιαῦτά ἐστιν ἐν τοῖς ἰδιωτικοῖς.

Κόνωνος καὶ τοῦ υἱέος αὐτοῦ, ὡς μετὰ τὸ τυπτῆσαι αὐτὸν εἶδε τοὺς ἀλεκτρυόνας μιμουμένους τοὺς νενικηκότας. οἱ δὲ κροτεῖν τοῖς ἀγνῶσιν αὐτῶν ἠξίουν ἀντὶ πτερύγων τὰς πλευράς. [8]

ιδ'. Εἰρήκαμεν, ὡς ἡ ἀφέλεια ποιεῖ τὴν γλυκύτητα μετὰ ἐπιτάσεως προφερομένη, διὸ καὶ πλεονάζει παρὰ τοῖς ποιηταῖς.

ιέ. Τὸ τοιοῦτον ἔσται, φησὶν, οὐκ ἀφελὲς, ἀλλὰ ἄλλο τι ἀντὶ τοῦ ἔνδοξον παράδειγμα.

ις'. Λαμπρότητος γὰρ ἔννοια, ὅταν θαῤῥῶν τις λέγῃ· διὰ τὸ ἔνδοξα εἶναι τὰ πράγματα καὶ χαίρειν τοῖς λεγομένοις τοὺς ἀκούοντας.

---

8 Litt. ι—ιγ'. vide Vol. V. p. 529. v. 20. — p. 531. v. 6. Ven. litt. ι—β'. om. Sch. min. Ὥσπερ ὁ Ἀριστοφάνης ἐμιμήσατο τὸν Στρεψιάδην, οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ χωρὶς προσώπων. Μεθημερινοῖς· κατὰ Αἰσχίνου ταῦτα ἔφη Δημοσθένης. Καλαμίτῃ· τόπος. Τοῦ αὐτοῦ τύπου· τοῦ πλησιάζοντος εὐτελείᾳ. Εἰ καὶ σφοδρῶς· ἐπειδὴ κατὰ ἀντιδίκου εἴρηται. Ὠβέλισαν· ἀπὸ τῶν ὀβέλων μετήχθη ἡ λέξις. ib. ἀντὶ τοῦ νόθα πεποιήκασιν καὶ οὐ Δημοσθένους. Κυάμους· ἐπώλει ἐψητὰ ἔτνη, βοῶσα εἰς τὴν ἀγορὰν τίς βούλεται ὠνήσασθαι. Τρυπημάτων· τὸ ἀπό τινων μορίων τὴν συνουσίαν ποιεῖν· αἰσχρότατον δέ τι ἐνταῦθα λέγει. Ὠβελισμένον· νόθον ἡγούμενον. Ὁ κάπρος· οἷον κατακόρως οὐδὲν ἀπολαβών. Ἐγγὺς γάρ ἐστι· τὰ ἐπιχειρήματα τὰ ἀπὸ τῶν ἀλόγων καὶ φυτῶν. Τοῖς τοιούτοις· τοῖς τῆς ἀφελείας ἀπὸ τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν. Αὐτὸ ἐξαίρουσιν· τὸ ἀφελὲς φύσει. Προειρημένον παράδειγμα· ὃ εἶπεν, ὁ βοῦς κέρατι παίει, καὶ ἐξῆς· πλεονάζειν δὲ τοῖς κατὰ μέρος λέγεται ὁ βοῦς, ὁ ἵππος, ὁ κύων, ὁ κάπρος, ὅτι μέθοδος ἀφελείας τὸ πλεονάζειν τοῖς κατὰ μέρος ἐπεξιόντα. Τοὺς θεριστάς· Δημοσθενικόν ἐστι τοῦτο. Ἀόριστον ἐνταῦθα τὸ τοὺς ἄλλο τι μισθοῦ πράττοντας. Θεριστὰς κ. τ. λ. οὗτοι γὰρ ὡρισμένοι εἰσίν· ἐὰν δὲ εἴπῃ τοὺς ἄλλο τι πράττοντας, τὸ ἄλλο ἀόριστόν ἐστι. Σκαπανέας· τοὺς σκάπτοντας. Ἁμαλλοδέτας· τοὺς τὰ δράγματα συλλέγοντας.

ιζ. Εἶπε γὰρ ἐν τῷ περὶ καθαρότητος, ὅτι φαινόμενός τις λόγος καθαρὸς, οὐ μήν γε ὡς ἀληθῶς.[9]

κά. Ψιλὸν λέγει μηδενὸς ἔξωθεν συνεφελκομένου, ὥσπερ ἐν περιβολῇ· γράφεται δὲ οὕτως, ἀλλ᾽ ἢ τὸ ψιλὸν ἀντὶ τοῦ οὐδὲν διαφέρει ἢ τούτῳ τῷ ψιλὸν εἶναι,[10] ἀσαφέστερον δέ· ἐξ ἐπιβολῆς[11] δὲ εἶπε κατ᾽ ἐνίους, καίτοι ἐπιβολῆς οὐ προεμνήσθη, ἀλλά φαμεν, ὅτι ὅπερ εἶπεν ἀνωτέρω, ὅτι ἐπιπόλαιός[12] ἐστι βαθύτης, τοῦτο ἐνταῦθα ἐπιβολὴν ἐκάλεσεν, εἴπερ[13] ἄρα ἐπιβολὴν ἔγραψε καὶ οὐκ ἐπιπολήν· τὸ αὐτὸ γάρ ἐστι σημαινόμενον, ἐπιπόλαιον γὰρ λέγομεν τὸ ἄνωθεν ἐπικείμενον καὶ ὑπερέχον, καὶ[14]

---

9 Litt. *ιή*—*κά*. exstant apud Sicel. Litt. *ιή*—*κ΄*. vide Vol. V. p. 531. v. 13. — p. 532. v. 3. Ven. post litt. *ιγ΄*. transit ad *ιή*. *Αὐτίκα ὀξύτης καὶ τὸ ὀξέως τι εἰπεῖν ἤτοι ἁπαντῶντα λόγῳ τινὶ, ἢ ὁπωσοῦν.* Sch. min. *Ὡσαύτως· ἀφέλειαν δηλονότι ποιεῖ. Ἀλλὰ ἠθικά· τὰ ἑξῆς οὕτως· οὐ γὰρ ἀγωνιστικὰ ταῦτά γε, ἀλλὰ ἠθικά. Τῇ πίστει· τῷ ὅρκῳ. Τινὰ πίστιν· ἀπόδειξιν. Οὐκ ἀφελές· οὐκ ἔστιν ἀφελὲς, ἀλλὰ λαμπρόν. Οἰκείαν δύναμιν· τὴν παραδειγματικήν. Μεθωδεύθη μέν· οἷον τὸ δι᾽ ὅρκων πιστοῦσθαι πρᾶγμά τι ἀφελές· τὸ δὲ ἀπό τινος ἀποδείξεως πραγμάτων μεταπεσεῖν εἰς ὅρκον λαμπρότητος. — Ἄλλο τι ὄν· οἱονεὶ πίστις ἀγωνιστικὴ, μεθοδευόμενον μετέπεσεν εἰς ὅρκον, ὥστε οὐχ ὅρκος ἐστί· φυλάττον γὰρ τὴν οἰκείαν δύναμιν τῆς ἀγωνιστικῆς πίστεως προσέλαβε καὶ ἄλλο τι διὰ τῆς μεθόδου ἔξωθεν δηλονότι τὸν ὅρκον. Δεινότητος γὰρ ἴδιον· ἡ ταχεῖα ἀπάντησις δεινότητός ἐστι· Ἐπιπόλαιος, ἐλαφρά. Ὀνόματος ἕνεκα· ἢ ὀξύτης καὶ ἡ δριμύτης ταὐτόν ἐστιν, εἰ μὴ μόνον κατὰ τὸ ὄνομα διαφέρει. Λέξις μὲν γὰρ ἀφελής· ὥσπερ τὸ ἀδελφίζειν ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. Κλαυσίγελως· ὁ γέλως μετὰ κλαυθμοῦ, ὅπερ ἀφελείας ἐστί.* ib. *ἐν τῷ Αἰγινητικῷ.* 10 *εἶναι* Sicel. om. 11 Sicel. in Vind. et Par. *ἐπιβουλῆς*, omissis sqq. *κατ᾽ ἐνίους.* 12 Mon. constanter *ἐπὶ πόλεως.* 13 *εἴπερ ἄρα ἐπιβ. ἔγ. κ. οὐκ ἐπιπολὴν* Sicel. om. — v. 11. Sicel. *γὰρ λέγομεν τὸ ἄν. κείμενον.* Mon. *γάρ ἐστι τό ἄν. ἐπικ.* 14 *καὶ* Sicel. om. tum *ἐπιβολῇ τὸ ἕτερον ἐπιβ. καὶ φαινόμενον.*

ἐπιβολὴν τὸ ἑτέροις ἐπιβαλλόμενον καὶ ἐπιφαινόμενον ἄνωθεν, ἀντὶ τοῦ [15] πρώτην αἴσθησιν, γράφεται [16] οὖν ἐξ ἐπιπολῆς. — Ἡ γὰρ ὀξύτης [17] ποτὲ μὲν ἁπαντᾷ λόγῳ τινὶ, οἷον σὺ δὲ, ὁ δὲ ἀδελφὸς ὁ σός· καὶ ὁ θεολόγος· „ἐγὼ δὲ ὑμῖν, ὅτι αἰσχύνεσθε·“ ποτὲ δὲ ἁπλῶς ὀξέως ἐκφέρεται, οἷον μή μοι ταῦτα λέγε· καὶ τίς μοι νόμος ἡ Ναυάτου μισανθρωπία· ὡσὰν δὲ ἔχοι, ἐναντία ἐστὶ τῇ ἀφελείᾳ, φησὶν, ἀλλὰ τῷ ψιλὸν καὶ ἐξ ἐπιπολῆς εἰσάγεσθαι τὸ νόημα, καὶ ἀκατασκευάστως ἐκφέρεσθαι, καίπερ ὂν βαθὺ, ἀφελὲς εἶναι ἔδοξεν. — Ἡ ὀξύτης καὶ δριμύτης οὐδὲν ἀλλ᾽ ἢ ἐπιπόλαιός ἐστι βαθύτης, ἣν μέθοδον ἀλλ᾽ οὐκ ἔννοιαν λέγει δριμύτητος ἐν τῷ περὶ αὐτῆς λόγῳ.

κβ'. Αἱ ἴδιαι τῆς ἀφελείας καὶ ἠθικαὶ, γλυκύτητα δὲ λέγει ἀντὶ τοῦ ὥραν [18] καὶ ἡδονὴν καὶ ἁβρότητα.

κγ'. Περὶ τῆς δριμύτητος, ἐν δὲ τῷ περὶ γλυκύτητος διατὶ εἶπε, καίτοι ἐν αὐτῷ περὶ γλυκύτητος μὴ λέγων, ἀλλὰ μετὰ τὴν ὅλην περὶ αὐτῆς διδασκαλίαν· λέγομεν οὖν, ὅτι διὰ τούτου δείκνυσιν, ὅτι κ. τ. λ. Vol. V. p. 532. v. 13—17.

κδ'. Σεμνῆς γὰρ ἀναπαύσεως ἴδιον τὸ βεβηκέναι τὰ κῶλα, καὶ μὴ περιττεύειν συλλαβῇ· ἐκεῖ γὰρ εἶπεν, ὅτι ὁ μὴ βεβηκὼς ῥυθμὸς κάλλους ἴδιος. Σημείωσαι, ὅτι ἡ γλυκύτης κάλλος ἐστὶ τῆς ἀφελείας.

---

15 Sicel. τοῦ τὴν πρ. 16 Par. 2. γίνεται. Sic. γράφεται δὲ ἐξ ἐπιβολῆς. 17 Ἡ γὰρ ὀξύτης seq. usque ad litt. κβ'. ex Par. recepi. 18 Sch. min. Ὥραν τὴν δριμύτητα καλεῖ, περὶ ἧς μετὰ τὴν γλυκύτητα τεχνολογεῖ. Εἴτε ὀξύτητος· εἶτα καὶ ὀξύτητος. Ἴδια ἀφελείας· τὸ ἀδελφίζειν τυχόν. Λελυμέναι· ἵνα ὦσι χασμῳδικαί. Ἡ βεβηκυῖα· ἵνα καταλήγῃ εἰς μακρὸν ω. — Ὅρα πῶς τὴν ἀνάπαυσιν καὶ βάσιν εἶπε.

Cap. IV.

Περὶ γλυκύτητος.

ἀ. Οὐ μόνον ἡ ἀφέλεια, καθὰ δεδηλώκαμεν, ποιεῖ τὸ ἦθος τὸ πλεονάζον δι' ὅλου τοῦ λόγου, ἢ ἄλλως πως μερικῶς γιγνόμενον χρήσιμον, ἀλλὰ καὶ ἄλλαι συντελοῦσι πρὸς ἀναπλήρωσιν τῆς τοιαύτης ἰδέας, ὧν ἐστι μία καὶ ἡ γλυκύτης κατ' ἐπίτασιν γιγνομένη τῆς ἀφελείας· περὶ ἧς ἤδη λεκτέον μετὰ τὸν περὶ τῆς ἀφελείας λόγον· ἐξ ἧς καὶ γίνεσθαι πέφυκε, διὸ καὶ προσηκόντως μετὰ τὸ παραστῆσαι τὸν ἀφελῆ λόγον ἐπὶ τὴν γλυκύτητα μέτεισιν. [1]

γ'. Ὥσπερ ἐπὶ τῆς σεμνότητος καὶ τῶν' ἄλλων ἰδεῶν τὰς μάλιστα συντελούσας αὐτῇ τῇ ἰδέᾳ προτάττει ἐννοίας, τὸν αὐτὸν τρόπον κἀπὶ τῆς γλυκύτητος ποιεῖ· τὰς γὰρ μυθικὰς πάσας ἐννοίας λέγει τὸ πλέον ἔχειν τῆς ἡδονῆς καὶ τῆς γλυκύτητος.

δ'. Τό τε γὰρ [2] ἀφηγηματικὸν καὶ τὸ μυθῶδες πολλὴν ὑπτιότητα παρέχει τῷ λόγῳ, ὅπερ διὰ τῆς γοργότητος ἰάσατο δεόντως, ταχέως τε ἀφ' ἑκάστου ἀπαλλαττόμενος, καὶ κομματικώτερα τὰ κῶλα ποιῶν· καὶ τῶν μερισμῶν τὰς ἀποδόσεις ἐπιταχύνων, ὡς ἐν τούτῳ· „λαβεῖν μὲν ὑπὲρ Ἁλιρρόθιου τοῦ υἱοῦ παρὰ Ἄρεος, δικάσαι δὲ Εὐμενίσι καὶ Ὀρέστῃ οἱ δώδεκα θεοί." [3]

ε. Παρέσχε [4] χώραν τῷ ῥήτορι χρήσασθαι τοῖς μυθικοῖς ἐν τῷ κατὰ Ἀριστοκράτους ἡ πίστις καὶ ἡ δόξα τῶν

---

1 Litt. β'. vide T. V. p. 532. v. 22. — p. 533. v. 2. 2 Ven. Διὰ τῶν τῆς γοργότητος ἰδίων τὸ λίαν ὕπτιον ὁ ῥήτωρ παρεμυθήσατο. 3 c. Aristocr. p. 641. Sequitur in Parr. Οὕτως ἔχει τὸ Δημοσθ. κ. τ. λ. vide Vol. V. p. 533. v. 3—8. 4 Litt. ε—ζ'. Ven. om. Mon. παρέσκω χ. τ. ρ. χρήσασα. Sch. min. Δικαστηρίῳ· τὸν Ἄρειον λέγει πάγον, ἐν ᾧ μυθολογεῖται δικάσασθαι Ἄρην καὶ Ἀθηνᾶν.

τῶν ἀνθρώπων· οὐ γὰρ ἄλλως ἐδόξαζον ἢ οὕτως, τὸ κριθῆναι μὲν τοὺς θεοὺς ἐν τῷ Ἀρείῳ πάγῳ, καὶ πάλιν τὸν Ὀρέστην καὶ τὰς Εὐμενίδας, ἀλλὰ καὶ τούτων οὕτως ἐχόντων οὐκ ἔμεινεν ὁ ῥήτωρ ἐν τοῖς μυθικοῖς, ὑπτιότητα γὰρ ἐν τῷ πολιτικῷ λόγῳ ταῦτα ποιεῖ· διὸ καὶ ἐκ τῶν ἰδίων, φησὶ, τῆς γοργότητος τὸ λίαν ὕπτιον παρεμυθήσατο. Τεμὼν, ἀντὶ τῷ τμητικῷ χρησάμενος εἶδει· ἐδίδαξε γὰρ ἐν τῷ περὶ γοργότητος, ὅτι τῶν χρημάτων τὰ μέν ἐστι ποιοῦντα γοργότητα, τὰ τμητικὰ, τὰ δὲ ὀρθὴν τὴν γενομένην ἐν τῷ λόγῳ ὑπτιότητα, καὶ ὅτι ὁ τμητικὸς λόγος ἐν τοῖς σχήμασι καὶ τοῖς ῥυθμοῖς θεωρεῖται· ἔνεμεν οὖν ὁ ῥήτωρ τὰ πράγματα οὕτως.

ζ. Ὅτι γλυκύτητος[5] ἐννοιῶν εἴδη τρία, πρῶτον αἱ μυθικαὶ, δεύτερον αἱ διηγηματικαὶ καὶ μύθων οὖσαι ἐγγὺς, τρίτον αἱ ὀλίγον[6] τρῦ μυθικοῦ κοινωνοῦσαι· ἕτερα δὲ εἴδη παρὰ τὰ τρία λέγει δύο, οἷς οὐκ ἀπονέμει τάξιν ἰδίαν διὰ τὸ συμπλέκεσθαι τοῖς τρισίν. — Λέγουσι[7] τὸν Πᾶνα σκιαζόμενον ὑπὸ τῆς ἀσπίδος ἐν τῷ καιρῷ τῆς ναυμαχίας, καὶ τὸν Διόνυσον χορεύοντα ἐν τῷ πολέμῳ ὑπερμαχεῖν Ἀθηναίοις.[8]

Εὐμενίσι· μυθικὰ γὰρ ταῦτα λέγει πάντα. Ὑπτιότητα· ἐὰν γὰρ ἐπιμείνῃς τοῖς μυθικοῖς, ὑπτιότητα ποιεῖς. 5 Eadem usque ad litt. ή. Parr. etiam post litt. γ'. inserunt. Sunt etiam apud Sicel.. Σημείωσαι, ὅτι γλ. ἑ. φησὶ τρία. Sch. min. Σημείωσαι, ὅτι ἡ γλυκεῖα ἔννοια ἡ τρίτη, ὅτι ἐπ. ὀλίγον μετέχει τοῦ μυθικοῦ. 6 Mon. οὐ λόγον. Sicel. τρίται αἱ ὀλίγαι. 7 λέγουσι τὸν Πᾶνα — — — Ἀθηναίοις Mon. om. Sch. min. Ἰάκχου· Διονύσου. Ἄλλοτε ἄλλην ἔχει δύναμιν· ἅτε κατὰ σχέσιν λαμβανόμενον τοῦ ἀκούοντος. Ἄλλῃ ἀπολαύσει· ἀκοῇ, ὀσφρήσει. Ὕσδων, κλάδων. [cfr. Bast. ad Gregor. Cor. p. 585.] Ἐν τῷ πρώτῳ συντάγματι· ὕσδων δὲ τῶν ὄζων, οἱ γὰρ Αἰολεῖς τὸ σ εἰς υ μεταβάλλουσιν, ὡς τὸ ὄνομα ὔνομα, τὸ δὲ ζ εἰς σ καὶ δ, ζυγὸν σδυγόν. Μαλίνων· ἀντὶ τοῦ μηλίνων. Αἰθυσσομένων· κινουμένων. Κῶμα, τέρψις, ἡδονή. Πρὸ τούτων· πρὸ τῶν χρήσεων εἴρηται. Ἀμφιλαφής· κατάκομος. 8 Litt. ή.

ϑ'. Ὑπερβάλλει [9] τὴν πρώτην ἔννοιαν, ὅτε ἐγκωμιάζεται· ἥδεται γὰρ πλέον, ἢ εἰ μύθους ἀκούοι, ὡς ὑποκατιὼν ἐρεῖ.

ι. Τοῦτο σαφέστερον ἐκ τῶν ἑξῆς γίνεται· ἐρεῖ γάρ, ὅτι τῶν κατὰ ἀπόλαυσιν ἡδονῶν αἱ μέν εἰσιν αἰσχραὶ, αἱ δὲ οὔ, ὅσαι οὖν αἰσχραὶ, ἐοικυῖαν ἔχουσιν αὐταῖς καὶ τὴν διὰ τῆς ἀκοῆς τέρψιν· τότε τοίνυν ἐλάττων ἡδονὴ γίνεται τοῖς ἀκροαταῖς τῆς ἐκ τῶν διηγημάτων τῆς τρίτης ἐννοίας, τῶν ἐπ' ὀλίγον ἐχόντων τοῦ μυθικοῦ· οὐ γὰρ ὅμοιον εἰς ἡδονὴν τὸ περὶ τοῦ Πανὸς [10] διήγημα Ἡροδότου ἐν τῇ ἕκτῃ, καὶ τὰ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, οἷον ἐν Πλούτῳ, [11]

Βδέουσα δριμύτερον γαλῆς· [12]

ιβ'. Καθὰ καὶ ἐπὶ τῶν σεμνῶν ἐννοιῶν· [13] ἀλλ' ἐκεῖ μὲν σεμνὰ ὑπόκειται καὶ καθολικὰ πράγματα, ἐνταῦθα δὲ αἰσχρὰ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, πλὴν εἰ καὶ μὴ οὕτως ἔχει, ἀλλ' οὖν εὐτελῆ· ἐκφράσεις οὖν κάλλος χωρίου καὶ φυτείας διαφόρους καὶ ῥευμάτων ποικιλίας καὶ ὅσα τοιαῦτα.

ιδ'. Τροπικὴ [14] γάρ ἐστιν ἡ λέξις ἀπὸ τῆς ἀνθρωπικῆς πρὸς τὰ ἐρωτικὰ ποιάς [15] ἐπὶ τὴν τοῦ θείου ἀπά-

---

vide Vol. V. p. 533. v. 23. — p. 534. v. 8. 9 Litt. ϑ'. ι. et ιβ'. Ven. om. 10 Mon. παντός. 11 v. 695. 12 Litt. ιά. vide Vol. V. p. 534. v. 8 – 11. Litt. ιγ'. ibid. v. 14 — 17. 13 ἐννοιῶν Mon. om. 14 Ven. omissa litt. ιγ'. Οὐ γὰρ τραχέως μόνον, ἀλλὰ καὶ σκληρῶς εἴρηται τὸ ἔμαρπτε. 15 Mon. ποίας. Sch. min. Ὁ ποιῶν· ὁ ποιητής. Τῇ δὲ λέξει· τὸ μάρπτε ἐστὶ δηλονότι τραχεῖα. Προφορᾷ· ἐνταῦθα ἡ μὲν ἔννοιά ἐστι καθ' Ἕλληνας γλυκεῖα, αἱ δὲ λέξεις σκληραὶ καὶ τραχεῖαι. Τὸ τῆς ἐννοίας· τὸ μυθικόν. Μεγέθους μᾶλλον· ἐπειδὴ γὰρ ἡ τραχύτης ἀνάγεται ὑπὸ τὸ μέγεθος, εἶπεν ὅτι μέγεθός ἐστι. Ἐν κωμῳδίᾳ· οἱ γὰρ κωμῳδοὶ δηλονότι, οἱ γέλωτα κινοῦντες λέγουσι καὶ τὸ πρᾶγμα αὐτό. Μείζονα ἔχει· οὐ μόνον ἡδύ τί ἐστι τῇ θέᾳ, ἀλλὰ καὶ τῇ ἀκοῇ. Περιστάθη· ἐν τῇ λ Ὀδυσ-

θειαν μετενηνεγμένη, τραχέα δὲ τὰ τροπικά, σκληρὰ δὲ διὰ τὸ δύσφωνον [16] τῆς συνθέσεως τοῦ ἔμαρπτε· καὶ μεγέθους δὲ μετέχειν αὐτάς φησιν, διότι ὑπὸ τὸ μέγεθος τραχύτης τε καὶ σφοδρότης ἀνάγεται· [17]

ιέ. Τὴν γὰρ ὄψιν εὐφραίνει τὰ τοιαῦτα· εἴρηται δὲ καὶ ἀνωτέρω, ὅτι ὅσα προσφιλῆ ταῖς αἰσθήσεσιν ἡμῶν ἐστιν, ταῦτα ἐκφραζόμενα πολλὴν παρέχει τὴν γλυκύτητα τῷ λόγῳ.

ις'. Τὰς ἐρωτικὰς ἐννοίας οὐ λογίζομαι, φησὶν, εἰς τετάρτην τάξιν, οὐδὲ ἀπονέμω αὐταῖς ἴδιόν τινα τόπον, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον οὐ κατὰ μόνας οὐδὲ καθ' ἑαυτὰς θεωροῦνται, ἀλλὰ συμπλέκονται τοῖς προειρημένοις τρισὶν εἴδεσιν τῶν ἐννοιῶν τῆς γλυκύτητος. τῆς τετάρτης οὖν ἐννοίας τάξιν ἰδίαν αὐτὸς οὐκ ἀπονέμει, ἐπειδὴ συμπλέκεται ταῖς ἄλλαις.

ιζ. Καὶ γὰρ [18] ἡ ἔννοια πολλῆς γέμει τῆς γλυκύτητος μεταφορικῶς προενεχθεῖσα, [19] ὡς περὶ ἀνθρώπων γὰρ ἔφη τῶν δένδρων τὸ θέλει, [20] καὶ ἡ λέξις πολλὴν ἐνδείκνυται τὴν ἀφέλειαν.

σεως ταῦτα διέξεισιν Ὅμηρος περὶ Καλυψοῦς καὶ Ὀδυσσέως. Γλυκύτητος εἴδεσιν· εἴδη τὰς ἰδέας λέγει. 16 Ven. δύσφωνον τῆς τῶν στοιχείων συνθέσεως· καὶ μεγέθους δὲ μετ. 17 Par. 1. Ven. ἀνάγονται. Mon. Par. 2. ἀνάγεται. 18 Litt. ιζ'. ιή. sunt apud Sicel. 19 Codd. προσενεχθεῖσα. correxit Schaefer. ad Gregor. Cor. p. 135. not. Tum Par. 2977. 1983. ὥσπερ ἀνθρώπων. Mon. ὡς περὶ ἀνθρ. ut conjecit Bast. ad Greg. l. l. Sch. min. Ἐμνήσθημεν· ὅτι γλυκεῖαί εἰσιν. Τὰ παιδικά· τὰ ἐν νεότητι πεπραγμένα. ib. τὰ παιδικὰ ὁποτέρως βούλει νόησον, ἢ τὰ ἐν νηπίῳ ἔτι πεπραγμένα, ἢ τὰ ἐρωτικὰ, ἄμφω γὰρ ἡ λέξις σημαίνει. Φύσει ἡδέων· τῶν μυθικῶν. Ἀπροαιρέτοις· σημείωσαι, ὅτι ἔννοια γλυκύτητος τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι περιτιθέναι. 20 Sch. min. Τροπικῶς κεῖται τὸ θέλει, εἴληπται γὰρ ἀπὸ τῶν προαιρετικῶν ἐπὶ τὰ ἀπροαίρετα. Τὸ ῥέεν ἐστὶ τροπὴ, διότι ἐπὶ τοῦ ὕδατος λέγομεν τὸ ῥέειν. Συγχωροῦντες.

ιή. Οὐ γὰρ [21] οὕτως ἄν τις εἴποι τροπικὸν εἶναι τῷ ζωὴν ἔχοντι φυσικὴν τῷ δένδρῳ προαίρεσιν περιθεῖναι, ἥτις διὰ τοῦ ἐθέλει δηλοῦται, ἢ τῇ προϊούσῃ φωνῇ τὴν τοῦ ῥεύματος ἐπιθεῖναι μεταφοράν, καὶ τῷ ἀψύχῳ τὴν ζῶσαν εἰκάσαι [22] φωνὴν, καὶ τῷ ἀναρμόστῳ δὲ τὸ ἐναρμόνιον, καὶ τῷ ἀτάκτως μετὰ ῥοίζου προχεομένῳ τὴν μετὰ τάξεως καὶ λειότητος ἧχον προϊοῦσαν.

ιθ'. Τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι περιτιθέναι καὶ εἰσάγειν αὐτὰ δυνάμενα εἰδέναι τὸ πρακτέον. [23]

κ'. Περιττὸν ἡγήσατο περὶ τῶν αὐτῶν αὖθις διδάσκειν ἅπαξ εἰσηγησάμενος ἐν τῷ περὶ καθαρότητος καὶ ἀφελείας λόγῳ· δεῖ γὰρ τὰς αὐτὰς ἐπὶ τῆς γλυκύτητος μεθόδους λαμβάνειν, ἃς ἐπὶ τῆς καθαρότητος καὶ τῆς ἀφελείας περιελάβομεν.

κά. Εἶπε γὰρ ἐν τῷ περὶ λέξεως ἀφελείας, ὅτι εἰσί τινες καὶ ὥσπερ ἴδιαι τῆς ἀφελείας, οἷον τὸ ἀδελφίζειν παρὰ Ἰσοκράτει, καὶ ὁ κλαυσίγελως παρὰ τῷ [24] Ξενοφῶντι.

κατὰ ἀντιπερίστασιν. Χέλυ· τὸ ἐπώνυμον τῆς κιμύρας· ἴσως διὰ τὸ χεῖσθαι ὅλην οἱονεὶ λελίσθαι, καὶ ἡδονὴν ἐμποιεῖν. Κατὰ δίκην· ἀντὶ τοῦ δικαίως. Ποιητικῇ· οἱ γὰρ ποιηταὶ, ὅ τι θέλουσι, λέγουσιν· οὐκ ἔχουσι δὲ ἡδονὴν τοσαύτην, ὥσπερ ἐνταῦθα τό· σάλπιγξεν οὐρανὸς, καὶ τὸ· αὐτόματοι αἱ πύλαι ἠνοίχθησαν, διότι οὐ μόνον αἴσθησιν αὐτοῖς περιτιθέασιν, ἀλλὰ καὶ γνῶσιν τούτοις μέλλουσι ποιεῖν. 21 Sicel. ῥέειν, ὅτι οὐχ οὕτως ἄν τις εἴπῃ τροπικὸν εἶναι τὸ προαίρ. περ. τῷ δένδρῳ τῷ ζωὴν ἔχοντι, ἢ τῇ φωνῇ τὴν τοῦ ῥεύματος μεταφοράν. 22 Sicel. εἰκάσαι τὴν ζ. φωνήν. sqq. καὶ τῷ ἀναρμ. δὲ τὸ ἐναρμόνιον om. 23 Parr. addunt: διατί μετριωτέραν, καί τοι πολλῷ μυθικόν ἐστι τὸ ἀπροαίρετα εἰσάγειν ὡς εἰδότας τὸ πρακτέον, καὶ ὤφελον μείζω κινεῖν ἡδονὴν κατὰ τοῦτο· ἀλλ' οὔ φαμεν. — Τὸ συνεργὸς ὀξύνεται, καὶ τὸ φιλεργὸς δὲ ὁμοίως, εἰ καὶ τῷ λόγῳ τῆς ἀρχούσης τινὲς βαρύνουσιν αὐτό. Τὰς σοφάς· τὰς κύνας. Καὶ φύσει· ἡ κυνηγεσία δηλονότι γλυκὺ πρᾶγμά ἐστι. 24 παρὰ τῷ Mon. om. Schol. min.

κβ'. Ἐννοίαις μὲν ταῖς τὴν πρώτην τάξιν ἐπεχούσαις, οἷον τοῖς διηγήμασιν τοῖς ἐπ' ὀλίγον τοῦ μυθικοῦ κοινωνοῦσι, μεθόδοις δὲ ταῖς καθαραῖς· ἄρχεται γὰρ ἀπ' αὐτοῦ ψιλοῦ τοῦ πράγματος, ὅπερ ἴδιον καθαρότητος.[25]

κδ'. Αἱ ἐξεναλλαγαὶ, φησὶ, τῶν διαλέκτων πολλὴν ἡδύτητα χορηγοῦσι ταῖς ἀκοαῖς, διόπερ καὶ αἱ κολλήσεις τῶν ἐπῶν ἐν τῷ πεζῷ λόγῳ τοὺς ἀκροωμένους εὐφραίνουσιν, εἰ κατὰ σύνθεσιν ἐξαγγέλλοιντο δεόντως, ἀλλὰ μὴ κατὰ παράθεσιν.

κε. Ἰδίων μὲν, ὡς ἐν Φαίδρῳ καὶ συμποσίῳ, ἀλλοτρίων δὲ, ὡς ἐν πέμπτῳ τῆς πολιτείας. — Ὥσπερ οἱ νόμοι· τοῦτο λέγει,[26] ὅτι ταῦτα οὐ ποιοῦσι παραπλοκὴν, ἀλλὰ οὕτως εἰσὶ χρήσεις ἁπλῶς, ὥσπερ λέγεις τὴν σὴν ἔν-

---

Μέθοδοι δὲ αὐτήν· αἱ αὐταὶ γάρ εἰσι καθαρότητος καὶ ὠφελείας μέθοδοι, ὡς προεῖπεν. Ἡ Ἰάς· Ἴωνες δέ εἰσιν οἱ Ἐφέσιοι, οἱ κατοικοῦντες πόλεις κατὰ ἀνατολικὴν θάλασσαν μέχρι Τριπόλεως. Παραπλοκαὶ λέγονται αἱ τῶν ποιημάτων μετὰ πεζοῦ λόγου μίξεις καὶ συμπλοκαί· οἷον, μῆνιν ἄειδε θεὰ τοῦ Πηλέως υἱοῦ τοῦ Ἀχιλλέως· ἰδοῦ εἰπὼν ἐκ τοῦ ποιήματος, προτέθεικα καὶ ἐμὸν, ὃ λέγεται παραπλοκή. Βουλευσόμεθα· τοῦτο τοῦ Πλάτωνός ἐστιν. Γεραίρεσθαι· τοῦτό ἐστιν ἡ περιπλοκή. Σημείωσαι, πῶς παραπλεκτέον τὰ ποιητικὰ τοῖς πεζοῖς. Ἀλεξίκακοι· τοῦ Πλάτωνος. Ἐνὶ κήδει· ταῖς φροντίσιν. Ὡς λύκοι ἄρνα φιλεῦσ'· τοῦτο ποιητοῦ· ἡ δὲ παραπλοκὴ Πλάτωνος· ὡς παῖδα φιλοῦσιν ἐρασταί. Καὶ τούτῳ· τῷ λόγῳ τοῦ Πλάτωνος δηλονότι παρακατιών. Ἄλλοτι· ἴαμβον, οἷον ἦκω νεκρῶν κ. κ. σ. πύλας. 25 Litt. κγ'. vide Vol. V. p. 535. v. 3. 4. Sch. min. Ἴσχει· ἔχει. Αἰγειαι· λέξεις ἐπίθετοι. Ταῦτά τοι· διὸ, ἀντὶ τοῦ κατὰ τοῦτο. Ἅπερ καὶ ὠφελείας· τὰ αὐτὰ, οἷον ἡ ὀρθότης. Τὰ τοῦ κάλλους· αἱ παρισώσεις. Σφόδρα ἐγγὺς ἄγουσα· ἢ ἄνευ συγκρούσεως φωνηέντων, καὶ ἐγγὺς μέτρου. Οἱ τῆς σεμνότητος· οἱ σπονδεῖοι καὶ οἱ ἐπίτριτοι. 26 Τοῦτο λέγει, ὅτι ταῦτα — — — — ψήφισμα ὡσαύτως Mon. non habet.

νοιαν, εἶτα λέγεις, ὅτι καὶ ὁ νόμος ταὐτά φησι καὶ τὸ ψήφισμα ὡσαύτως.

Cap. V.

Περὶ δριμύτητος καὶ τοῦ ὀξέως λέγειν, ὡραίου τε καὶ ἀβροῦ καὶ ἡδανὴν ἔχοντος λόγου.

ἀ. Ἡ δριμύτης ταὐτόν ἐστι τῇ ὀξύτητι, ὡς αὐτὸς προεῖπε, παρακολουθεῖ δὲ τῇ γλυκύτητι καὶ τῇ ἀφελείᾳ προσήκουσα αὐταῖς, γίνεται δέ, ὅταν τὰ βαθέα νοήματα ἁπλῶς καὶ ὡς ἔτυχε γίνεσθαι [1] λέγωμεν.

β. Ἐν τῷ περὶ μεθόδου ἀφελείας [2] ἔφη, ὅτι ἡ δριμύτης καὶ ἡ ὀξύτης ἡ αὐτὴ οὖσα ἰδέα ἐπιπόλαιός ἐστι βαθύτης καὶ τῷ μὲν ἀφελεῖ λόγῳ ἐναντίαι πως εἶναι δοκοῦσι, καίτοι ὑπὸ τὴν ἀφέλειαν τελοῦσαι, δεινότητος δὲ μᾶλλόν εἰσιν οἰκεῖαι. τὰς γοῦν ταχείας ἀπαντήσεις οὐ πολὺ τὸ περινενοημένον ἐχούσας εἶδος εἶναι δριμύτητός φησιν, οἷον „κακοδαιμονοῦσι [3] μὲν Βυζάντιοι σφόδρα γε, ἀλλ᾽ ὅμως αὐτοὺς δεῖ σῶς εἶναι, συμφέρει γὰρ τῇ πόλει·“ πάλιν δὲ κἀν τῷ περὶ μεθόδου γοργότητος τὸ παράδειγμα τοῦτο σὺν ἑτέροις θεὶς ἐπήνεγκε. ταῦτα γάρ πώς εἰσιν ὀξέα, τουτέστιν ὑπὸ τὴν ὀξύτητα καὶ δριμύτητα τελοῦντα.

---

1 *γίνεσθαι* Par. om. 2 Sch. min. *Ἐν τῷ περὶ μεθόδου ἀφελείας καὶ ἐν τῷ περὶ λέξεως ἀφελείας περὶ δριμύτητος εἶπεν. Βαθεῖαι· ἵνα μὴ ἔχωσι βάθος ἄλλο παρὰ τὸ φυσικόν. — Ἰστέον, ὅτι μέθοδος ἀφελείας τὸ μὴ περινενοημένως λέγειν, ἀλλ᾽ ἀνειμένως τὰ περινενοημένα. Παρὰ τῷ Ξενοφῶντι· ἐν τῷ περὶ μεθόδου ἀφελείας τοῦτό φησιν, ὅτι πολὺ δὲ τοῦτο παρὰ τῷ Ξενοφῶντι. Δριμύτης καὶ ὀξύτης λέξις ἐστὶν ἔχουσα διάνοιάν τινα πλήττουσαν τὸν καθ᾽ οὗ λέγεται, ἕτερόν τι κυρίως σημαινομένη παρὰ τὸ λεγόμενον. Ἀσφαλὲς εἰπεῖν· λείπει τὸ δυνατὸν, ἵν᾽ ᾖ, ὡς οὔτε τοῦτο οὔτε ἐκεῖνο δύναταί τις ἀποφήνασθαι.* 3 de Cherson. p. 93.

γ'. Ὅτι μέθοδος [4] ἀφελείας τὸ μὴ περινενοημένως λέγειν, ἀλλ' ἀνειμένως τὰ περινενοημένα. Διὰ τί δὲ ὥσπερ περὶ ἑκάστης τῶν ἄλλων ἰδεῶν ἐννοίας λέγει καὶ τὰ ἑξῆς, οὐχ οὕτως καὶ ἐπὶ τῆς δριμύτητος ἐκτίθεται; φαμὲν, ὅτι ἀμφισβητεῖται, πότερον ἡ δριμύτης περὶ λέξιν γίνεται, ἢ περὶ τὰς ἐννοίας· περὶ οὖν τῶν ἀμφισβητουμένων οὐκ ἠδύνατο ἀφωρισμένως καὶ κατὰ μέρος ὁμοίως ἐν τοῖς ἄλλοις διδάσκειν.

δ'. Ὑπέρβατόν ἐστιν, ἡ γὰρ λέξις, φησὶν, ἡ ποιοῦσα τὴν δριμύτητα αὐτὴν καθ' ἑαυτὴν οὐδὲν ἔχει δριμύ, εἰ μόνον αὐτὴν χωρίσειέ τις τῶν πρὸ αὐτῆς ῥηθέντων τῆς ἐννοίας.

ε. Ἐπὶ τοῦ τὸν ἄνδρα τὸν ἴδιον φιλεῖν ἑκάστην γυναῖκα, ὁ δὲ Ἀθηναῖος ἐν τοῖς Δειπνοσοφισταῖς πολλῶν τοιούτων μέμνηται, φάσκων Διονύσιον τὸν Σικελίας τύραννον τούτοις χαίρειν. [5]

---

4 Parr. add. Τὴν ἐξ ἐπιπολῆς βαθεῖαν, ἣν ἀπονέμει τῇ ἀφελείᾳ, μέθοδον αὐτὴν εἶναι λέγων. — Μετ' ὀλίγα διδάξει σε ὁ τεχνικὸς, τί ἐστι τό. εἰ μηδὲν πρὸ αὐτῆς εἴη λελεγμένον, ἐν οἷς περὶ αὐστηρῶν καὶ σκληρῶν διαλέγεται καὶ τῶν παρακειμένων αὐτῷ. Αὐτὴ καθ' ἑαυτὴν, οὐκ ἐμφαίνει δριμύτητα. Ἔννοιαν δέ τινα· καθ' ἣς οὐ κατηγορεῖται ἐννοίας, οὐδὲ κυρίως ἁρμόττει ἐννοίᾳ. Ἡ μαλακία καὶ ἡ φιλανθρωπία ἐστὶν ἡ δριμύτης· διότι ἅτινα ἁρμόζει ἀνθρώποις, εἶπεν ἐπὶ κυνῶν. Διὰ φιλανθρωπίαν· διότι φιλεῖ τοὺς ἀνθρώπους. Σημαίνων· ὁ Ξενοφῶν δηλονότι. Τῇ φιλανδρίᾳ· αἰνίττεται τὴν μοιχείαν. — Καί τοι τὸ εὔνους ὄνομα σχετικόν ἐστι, τὸν φιλικῶς γὰρ διακείμενον δηλοῖ. — Καίτοι τὸ Ἀτρεὺς ὄνομα κύριον. — Σημείωσαι, ὅτι τῷ πρώτῳ εἴδει τῆς δριμύτητος ὁ Δημοσθένης οὐ κέχρηται. Ἡρῶτον μὲν τοῦτο εἶδος· ὅταν λέξις κυρίως ἔννοιαν σημαίνῃ, οὐ κυρίως ἐκείνης οὖσα.

5 Athen. III. p. 98. d. — Litt. ς'. vide Vol. V. p. 536. v. 6—9. Sch. min. Καθ' ὁμοιότητα λέξεως· τὸ καθ' ὁμοιότητα δριμύτητος εἶδος. Τοῦτό ἐστιν ἡ δριμύτης, τὸ φροντὶς οὐκ ἔστι τῶν Ἑλλήνων ἔν τινι τῶν τὴν Ἀσίαν οἰκούντων. Ἐπὶ θεωρίᾳ· ἐπὶ

ζ'. Αὐστηρὰν ἐκάλεσε τροπήν, οἵαι ἦσαν αἱ προειρημέναι καὶ τὸ καταῤῥεῖ· τὸ δὲ ἤνθησε τροπικὸν μέν, ἡ γὰρ αἴσθησις οὐ πόῤῥω τῆς τῶν πραγμάτων ἀκμῆς βαίνουσα τυγχάνει· καὶ γὰρ τὰ φυτὰ καὶ πάντα ἐφ' ὧν τὸ ἀνθεῖν τάττεται κυρίως, ὅταν ἀκμάζῃ τῷ γονίμῳ, χωρεῖ πρὸς τὴν ἄνθησιν.

ή. Ἐπειδὴ τὸ οἰκῶν καὶ ἡρμήνευσε κυρίως ἐπὶ ἀνθρώπου λέγεται, διὰ τοῦτο, εἰ τὸ οἰκῶν χωρὶς τοῦ ἡρμήνευσεν ἔκειτο, σκληρὸν ἂν ἦν· νῦν δὲ τὸ ἡρμήνευσεν ἀκόλουθον ὂν τῷ οἰκῶν, (ἐπὶ γὰρ ἀνθρώπων ἄμφω εἴρηται) παρεμυθήσατο τὸ πρότερον· εἰ καὶ ἐπὶ ὀρνέου κεῖται.

Εἰ μὲν γὰρ ἐκ γῆς [6] εἰς θάλασσαν· ἀντὶ τοῦ εἰ ὁ ἀμφίβιος ὄρνις εἰωθὰς εἰς γῆν πέτεσθαι ἐκ θαλάσσης καὶ ἐκ γῆς εἰς θάλασσαν, κατοικῶν δὲ ἐν ὕδασιν. — Τὸ ἡρμήνευσέν ἐστιν ἡ δριμύτης, ἡ γὰρ ἑρμηνεία κυρίως ἐπὶ ἀνθρώπων ἐστίν· ἐνταῦθα δὲ τὸ ἐδήλωσε σημαίνει, ἡ πρώτη οὖν τροπὴ τὸ ὁ κύματα οἰκῶν, τὸ γὰρ οἰκεῖν οὐ κυρίως λέγοιτ' ἂν ἐπὶ κυμάτων, ἡ δευτέρα δὲ καὶ σκληροτέρα τὸ ἡρμήνευσεν, ὅπερ οὐ δοκεῖ τῷ παρα-

---

γνώσει. Τὰς ἐκ παρονομασίας· τουτέστιν παρονομασία, καὶ ἡ δριμύτης, ἄνω μὲν γὰρ λέγει· τέθνηκε Φίλιππος, κάτω δὲ σημαίνει τὸ τέθνηκε τὸ μισεῖν καὶ τιμωρεῖσθαι τοὺς ἀνθρώπους. Τὰ μηχανήματα· τὰς ἐλεπόλεις λέγει. Par. totum locum Demosthenis addit: Κατὰ Φιλίππου τρίτῳ· φέρε δὴ νῦν, ἡνίκα εἰς Χερρόννησον ἦν — — — — ἐγὼ φῶ ὑμῖν, πολλοῦ γε καὶ δεῖ. 6 εἰ μὲν γὰρ ἐκ γῆς sqq. usque ad finem capitis ex Par. recepi. Sch. min. Εἶτα τὸν τοῦτο μηχάνημα· τοῦτο σημαίνει τὴν πανουργίαν τοῦ Φιλίππου, ὅπερ ἐστὶ δριμύτητος ἴδιον. Ἐναργῆ· ἐμφαντικόν, τροπικόν. Οὐ μὴν τροπή· διαφορὰν λέγει τροπῆς καὶ δριμύτητος κατὰ παρονομασίαν. Λοιπὸν εἶδος· ὑπόλοιπον, ὡς εἶναι ὄνομα οὐδέτερον· ἐπιῤῥηματικῶς οὖν αἱ χρώμενοι αὐτῷ πταίουσιν. Αὐστηρὸν τὸ σκληρὸν, γίνεται δὲ ἐκ τοῦ αὔω τὸ ξηραίνω. Τὸ ἤνθησα ἐπὶ ἄνθους λέγεται καὶ τὸ καταῤῥεῖ ὡσαύτως ἐπὶ ἄνθους. — Σημείωσαι, Vol. V. p. 536, v. 18—20.

κεῖσθαι τῷ οἰκῶν. — Τῶν ἄλλων τι· οἷον μυθικὸν κ. τ. λ. Vol. V. p. 536. v. 16 — 18.

Cap. VI.

Περὶ ἐπιεικείας.

ἀ. Διδάξας περὶ ἀφελείας καὶ τῶν προσηκουσῶν αὐτῇ, λέγω τῆς γλυκύτητος καὶ τῆς δριμύτητος, διαλαμβάνει καὶ περὶ τῆς ἐπιεικείας, τῆς ὁμοίως τῇ ἀφελείᾳ ἀναγομένης ὑπὸ τὸ ἦθος.

β'. Μεμαθήκαμεν ἐν τοῖς φθάσασιν, ὡς ἀποτελεστικὴ τοῦ ἤθους ἐστὶ καὶ ἡ ἐπιείκεια, ἣν καὶ πρώτην ἐν τῇ ἀπαριθμήσει τέταχεν ὁ τεχνικὸς, καὶ ἴσως παρά τισιν ἂν φανείη τοῦτο ζητήσεως ἄξιον, πλὴν παραδραμοῦμεν αὐτὸ διὰ τὸ ὑπόψυχρον τῆς ἀπορίας, ἀλλ' ἤδη σκοπήσωμεν, ποίας λέγει μᾶλλον ἁρμόττειν ἐννοίας τῷ ἠθικῷ λόγῳ, πλὴν διέστηκεν, [1] ἡ μὲν γὰρ ἐκ τοῦ προσώπου, ἡ δὲ ἐκ τοῦ πράγματος γίνεται.

γ'. Καὶ ταῦτο τῆς Δημοσθενικῆς δεινότητος ἄξιον, τὸ τοῦτο δοκεῖν χαρίζεσθαι τῷ ἐχθρῷ, δι' οὗ μάλιστα παρανομωτάτην ἀποδείκνυσι τὴν γεγραμμένην αὐτῷ δωρεάν. νόμῳ γὰρ αὐτὸν κ. τ. λ. Vol. V. p. 536. v. 24. — p. 537. v. 6.

δ. Σημείωσαι, [2] τίνες ἠθικοὶ ῥήτορες, καὶ ὅτι εἰσὶ

---

1 πλὴν διέστηκεν — — — πράγματος γίνεται Mon. om. 2 Σημείωσαι Mon. om. Sch. min. Αἰκίας· ἕνεκα τιμωρίας τῆς περὶ ὕβρεως. Παρατεθραυσμένον· μεταφορικὴ ἡ λέξις· σημαίνει γὰρ τὸν ἠλαττωμένον, μεμειωμένον, γίνεται δὲ ἐκ τοῦ θραύω, ὃ σημαίνει τὸ κλῶ. ibid. Ἔλαττον, οἷον εἰ ἐν χρεωστῆται τις ἑκατὸν νομίσματα, καὶ λέγῃ διὰ φιλανθρωπίαν, ὅτι δότω μοι πεντήκοντα μόνον. Ὥσπερ ἐνταῦθα· οἷον ἐγκωμιάζειν ἑαυτὸν ἢ ψέγειν τὸν ἀντίδικον. ib. Ἐπιεικείας ἐστὶ τὸ οἰκεῖον δίκαιον δοῦναι τῷ

μὲν καὶ κατ' ἔννοιαν ἠθικώτεροι, πολλῷ δὲ πλέον ταῖς μεθόδοις.

ε. Τῷ γὰρ ἑκόντα φαίνεσθαι τὸ πολὺ τῆς ἀξίας ἔλαττον ἀγαπῶντα, συμφωνός ἐστιν ἡ τε τῶν οἰκείων πλεονεκτημάτων μείωσις καὶ τοῖς κατὰ τῶν ἐχθρῶν λόγοις ὑφειμένη τῶν ἐλαττωμάτων μνήμη, καὶ ἔτι κατὰ παράλειψιν ἐφ' ἑκατέρου μέθοδος.

ς'. Τὸ ψιλὰ τὰ πράγματά φησιν ἀφηγεῖσθαι, μηδὲν αὐτοῖς τῶν ἔξωθεν συνεπιπλέκοντα, καὶ γὰρ ἀνωτέρω τὰς αὐτὰς ἔφη μεθόδους ἀφελείας τε καὶ καθαρότητος εἶναι.

Cap. VII.

Περὶ ἀληθινοῦ λόγου.

ά. Καὶ ἐν τῇ ἀρχῇ τῆς περὶ ἤθους διδασκαλίας ἠπόρησεν, διὰ τί κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου τὸ πρῶτον

ἐχθρῷ, ἀλλ' οὖν ὀφείλει ὁ ῥήτωρ αὐτὸ ποιεῖν μετὰ δεινότητος. Ἄφοβος· ὄνομα κύριον. Ἄλλο ἐμφαίνειν· δεινότητος. Ἐδίωξεν αὐτάς· κατηγόρησεν. Τὰ μὲν ἑαυτοῦ· ὁ Δημοσθένους. Εἰ παρὸν αὐτῷ· δυνάμενος οὕτως εἰπεῖν. Τοὺς ἀποστόλους· τοὺς πρέσβεις, ἐκ τοῦ ἀποστέλλω. ibid. ὁ γὰρ Δημοσθένης πέμψας τοὺς ἀποστόλους ἦγουν τὸν στρατὸν καὶ ποιήσας ταῦτα πάντα οὐκ εἶπεν ὅτι ἐγώ εἰμι ὁ ποιήσας αὐτά, ἀλλὰ μετεῖχον τοῦ τοιούτου κἀγὼ πόνου. — Κατὰ δύο γ. τρόπους· τῶν ὑπαρχόντων καὶ δυναμένων ῥηθῆναι κατὰ τοῦ ἐχθροῦ κατὰ δύο τρόπους ἡ ἐλάττωσις γίνεται. Φλαῦρον· ἐπηρμένον, βαρὺ, σοβαρὸν καταστρέφει εἰς τὸ λυπηρόν. Οὐκ ἐοικέναι· καὶ ταῦτα λέγων οὐκ ἐποίησεν ἐπιείκειαν, ἀλλὰ σφοδρότητα. — Σημείωσαι, ὅτι ἠθικός ἐστι καὶ ἐπιεικὴς ὁ λόγος ὃ πρὸς Λεπτίνην. Ἐν τοῖς καθ' ἡμῶν· καὶ ἐν κατηγορίαις καὶ ἐν ἀπολογίαις. Τίς ἀμφισβήτησις· τὸ τίς ἀόριστον καὶ τὸ τίς. Ἐκ τῶν πολεμίων· καὶ ὁ θεολόγος, ἐῶ γὰρ λέγειν ἑρπετῶν καὶ κνωδάλων τιμάς. Εἰ δή τι καὶ ταῦτα· ἐνδοιάζων εἶπε, καὶ γὰρ μετρίως καὶ ποσῶς συλλαμβάνει.

ἰδέας ἑπτὰ εἰπὼν εἶναι, ὧν τὰς μὲν τρεῖς γενικὰς,[1] τὰς δὲ τέσσαρας ἐφ' ἑαυτῶν ἵστασθαι ἀδιαιρέτους εἰδικὰς οὔσας, καὶ συναριθμήσας τὴν ἀλήθειαν ταῖς ἄλλαις ἓξ ἰδέαις, ἐνταῦθα φαίνεται τὴν ἀλήθειαν ἀναγαγὼν ὑπὸ τὸ ἦθος, ἀλλ' οὐχ ὡς περὶ τελείας ἰδέας αὐτῆς διαλεγόμενος· ἀλλὰ λέγομεν, ὅτι εἰκὸς, τὸν Ἑρμογένην ἰδέας ἓξ εἶναι δοξάζοντα, ὑπὸ τὸ ἦθος τὴν ἀλήθειαν ἀναγαγεῖν, ὥσπερ καὶ τὴν ἐπιείκειαν καὶ τὴν ἀφέλειαν καὶ τὴν βαρύτητα, καὶ οὕτως ἐν ἀρχῇ καταριθμήσασθαι, χωρὶς τῆς ἀληθείας ἓξ, οἷον σαφήνειαν, μέγεθος, κάλλος, γοργότητα, ἦθος, δεινότητα, τοὺς δὲ γραφέας προσθεῖναι κατὰ πλάνην τὴν ἀλήθειαν τῷ καταλόγῳ τῶν γενικῶν ἰδεῶν, οὐκ οὖσαν εἰδικήν, ἀλλ' οὐδὲ γενικήν.

β'. Τοῦ λόγου τὸ μὲν ἐνδιάθετον, τὸ δὲ προφορικόν· προφορικὸς μὲν οὖν ἐστιν ὁ κατὰ φωνὴν, ἐνδιάθετος δὲ ὁ ἐν τῇ διανοίᾳ καὶ ψυχῇ λόγος, ὃν ἀληθινὸν καλεῖ.

γ'. Καὶ πάλιν ἐν τῷ κατὰ Ἀριστοκράτους·[2] τὸ μισθοφόρου καὶ θεράποντος ἐκείνων ἔργον ἡ πόλις ἡμῶν διεπράττετο· ἐφρούρει Χαρίδημον οἶμαι· τῆς γὰρ ἐννοίας ἐπ' ἀμφοτέρων καθαρᾶς οὔσης ἡ τοῦ σχετλιασμοῦ μέθοδος σὺν ἐπαναλήψει[3] προελθοῦσα πεποίηκε τὸ ὅλον δοκεῖν πως φαίνεσθαι σχετλιαστικόν· ἐπὶ δὲ τοῦ δευτέρου τὸ πολὺ τοῦ πράγματος ἄδυξον τρόπον τινὰ ὀδύρεται, εἴγε τὸν στρατιώτην τὸν πρώην ἄλλως ἀγαπητῶς δορυφοροῦντα ἡ τῶν Ἀθηναίων πόλις φρουρεῖν ψηφίζεται. — Εἰδέναι[4] χρὴ, ὅτι τῇ ἐννοίᾳ μόνῃ ἡ μέθοδος ἀκολουθεῖ·

---

1 Mon. δεκτικάς. 2 Respicere videtur ad p. 690. 3 Mon. ἐπαλήψει. Sch. min. ὦ Ζεῦ· πρὸς τὸν Αἰσχίνην ταῦτα λέγει, ἐμπαίζων αὐτῷ, ὅτι ἄγαν καλὸς εἶ, ib. ἐν τῷ παραπρεσβείας. Ὦ γῆ καὶ θεοί· διότι κατὰ ἐπανάληψιν ἐπήγαγε τὴν βαρύτητα τό· Ἀνδροτίων ὦ γῆ καὶ θεοί. 4 Εἰδέναι χρὴ sqq. usque ad litt. δ'. ex Parr. recepi.

τῇ δὲ λέξει τὰ ἕτερα πέντε μέρη, ἐν αὐτῇ γὰρ θεωροῦνται, καὶ περὶ αὐτὴν καταγίνονται. — Ἰστέον, ὅτι πολλοὶ καὶ τῶν ἐλλογίμων τοῦτο· ὦ Ζεῦ, καὶ τό· Ἀνδροτίων, ὦ γῆ καὶ θεοὶ, ὀξύνουσιν ὡς σχετλιαστικὰ τῷ τῶν γραμματικῶν ἑπόμενοι κανόνι, ἀλλ' οἱ πλείους καὶ ἀξιολογώτεροι περισπῶσιν ἄμφω ὡς κλητικῶς. [5]

ε'. Ὅταν ὡς ἀληθῶς σχετλιάζῃ τις, ἔννοια γίνεται τοῦ ἐμψύχου λόγου, ὡς τὸ Χαρίδημον οἴμοι, ὅταν δὲ τῷ δοκεῖν, ἀλλὰ μὴ φύσει, μέθοδος· σχηματίζεται γὰρ καὶ πλάττεται τὰ μὴ ὄντα, σχήματα δὲ ἐννοίας ἡ μέθοδος αὐτῶν δοκεῖ. [6]

ς'. Εὐτελὲς γὰρ καὶ λίαν εὐκαταφρόνητον πρᾶγμα κεκίνηκε τὸν ῥήτορα πρὸς σχετλιασμόν.

ζ'. Μέθοδος τὸ μὴ προσλέγειν, ὡς ὄμνυσί τις ἢ εὔξεται καὶ τὸ θαυμάζειν μὴ προλέγοντα.

η'. Ἡ δὲ αἰτία σαφὴς καὶ τῷ μετρίως ἔχοντί πως περὶ τοὺς λόγους αἰσθήσεως· πῶς γὰρ ἠδύνατο παθαίνεσθαι, [7] μηδενὸς ὑπόντος τοῦ κινοῦντος αὐτόν; — Τὴν ἐπιμονὴν [8] ἐκάλεσε πάνυ πολὺ, οἷον τὸ ἐπιμεῖναι τὸ πά-

---

5 Litt. δ'. vide Vol. V. p. 538. v. 10—15. 6 Parr. addunt: Ὅταν ὡς ἀληθῶς σχετλιάζῃ, τότε γίνεται ἀληθῶς ἐνδιάθετος λόγος κατ' ἔννοιαν, ὅταν δὲ δοκῇ σχετλιάζειν, τότε γίνεται μέθοδος. Sch. min. Ἔννοιαι μὲν αὗται· αἱ σχετλιαστικαί. Ἀῤῥητοι· διὰ τὸ ἦθος. Ἐνταῦθα τῶν φόβων· εἰς τοσοῦτον. Ἐν Σικελικοῖς· τοῦτο λέγει, ὅτι μᾶλλον τοῦ Ἀριστείδου ἐστὶν ἐνδιάθετος λόγος ἐξαίφνης λεχθεὶς καὶ οὐχὶ τοῦ Δημοσθένους. ib. Σημειωσαι, ὅτι μέμνηται Ἀριστείδου ὁ Ἑρμογένης καὶ ἐνταῦθα καὶ ἀνωτέρω ἐν τῷ περὶ σεμνότητος. Τοῦτο βέλτιον· πολύ σοι τὸ φίλτρον πρὸς Δημοσθένην, Ἑρμόγενες. 7 Sequitur in Mon. πρὸ τῶν ἀγελίων. 8 Τὴν ἐπιμονὴν — πολὺ Mon. non habet. Sch. min. ἡ ἐπιμονὴ τὸ εἰπεῖν πάνυ πολύ· ἤρκει γὰρ τὸ ἕτερον εἰ σεμνῶς ἔλεγεν. Ἐξώλης· τοῦτό ἐστι τὸ ἐνδιάθετον διὰ τὸ ἐξαίφνης εἰπεῖν αὐτὸ, προηγουμένου τοῦ λόγου αὐτοῦ τοῦ ἑτέρου. Οὐκ ἀναστήσεσθε· πρὸς τοὺς δικαστὰς εἶπεν ἐξαίφνης. Ἁπλῶς τε:

νυ πολύ ἐστιν, ὅπερ ἐν τῷ ἡγουμένῳ ῥητῷ κεῖται, εἰ προλαβὼν ἀργύριον πάνυ πολύ.

ϑ'. Καθὰ καὶ ἡ ἀφέλεια καὶ ὁ ἐνδιάθετος ὑπὸ τὸ ἦθος ἀνάγεται· λέγει οὖν, ὅτι κοινωνεῖ ἀλλήλοις κατὰ τὸ γένος.

ί. Καταστήσει μὲν γὰρ [9] τὸν ἀντιθετικὸν λόγον ὁ πειρώμενος οὕτως λέγειν, ἀπήγγελτο τοίνυν ἐμοί τις, καὶ τοιοῦτόν τι παρεσκευάσθαι λέγειν αὐτόν· τόδε ἢ τόδε, ἢ πάλιν· οἶδα τοίνυν, ὡς ἐκείνῳ πολλῷ χρήσεται τῷ λόγῳ· ἄνευ δὲ καταστάσεως ἀντιθήσει ὁ ψιλὸν τὸν ἀντιθετικὸν λόγον εἰσάγων, ὡς ἐν οἷς αὐτὸς τίθησι παραδείγμασι· καὶ ὅλως ἰστέον, ὅτι ἡ πρότασίς ἐστιν ἡ κατάστασις· ἡ δὲ ὑποστροφὴ ψιλή ἐστι, τὸ ἄνευ καταστάσεως λέγειν· φησὶ δὲ, ὅτι κἂν εἰ λύοι [10] τις τὰς ἀντι-

---

ἐνταῦθα λέγει, τί μάλιστα ἴδιον τοῦ ἐνδιαθέτου λόγου κατὰ μέθοδον. Βουλεύεσθε ὦ Ἀθηναῖοι· ϑαυμάζει γὰρ τὴν ἀργίαν αὐτῶν. Κακοδαιμονοῦσι· τὴν αὐτὴν γὰρ ἔννοιαν καὶ συνδρομὴν καλοῦσι καὶ συγχώρησιν ὡς προεῖπεν. Ἀσυνδέτως· ὡς ἔχει τό· κακοδαιμονοῦσι Βυζάντιοι σφόδρα γε. Νὴ Δία· κατὰ Φιλίππου τρίτῳ. Ἀλλ' ὅμως αὐτοὺς δεῖ· ἡ ἀπάντησις· ταῦτα εἶπεν ὄπισθεν, ὅτι γοργότης, ὡς δέον, ἐνδιαθέτου λόγου· καὶ ὅσον μὲν πρὸς τὴν ταχεῖαν ἀπάντησιν, εἰσὶ γοργότητος, ὅσον δὲ πρὸς τὸ ἐξαίφνης, εἰσὶν ἐνδιαθέτου, καὶ γὰρ αἱ ἰδέαι πρὸς ἀλλήλας μίγνυνται. — Ἐκείνης γὰρ ἴδια ταῦτα. Συνυπακουστέον, ὅτι κἀκείνων ἐστὶ τὸ τοιοῦτον ῥητόν τό· κακοδαιμονοῦσι Βυζάντιοι, σφόδρα γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· τοῦτο γὰρ γοργότητος μόνον, οὐδὲ μόνον ἐνδιαθέτου λόγου, ἀλλ' ἤδη καὶ συγχώρησίς ἐστι καὶ συνδρομή. Χωρίς τε καταστάσεως· ἵνα προείπῃς, ὅτι τόδε καὶ τόδε βούλομαι εἰπεῖν. Οὐδαμοῦ γὰρ ἀποδέδοται· τὸ ἐπειδὴ ἡ δικαία ψῆφος καὶ τὰ ἑξῆς. Ἀκρόχολον. ἄκρως ὠργισμένον. Ἄνευ τοῦ ἐπισημαίνεσθαι· προλέγειν, ὅτι βούλομαί σοι λοιδορήσασθαι. 9 Mon. γὰρ et paullo post: ἀπήγγελτο τοίνυν ἐ. τ. κ. τ. τι παρεσκευάσθαι λέγειν om. 10 Mon. λύας. Par. λύοι.

θέσεις ἐξ ἐπεμβολῆς ἄνευ καταστάσεως, πεποιθότως λέγει.

ιά. Ἰστέον, [11] ὅτι περὶ πολλῶν καλῶν ἐν τῷ περὶ μεθόδου δεινότητος διαλαμβάνων ὁ τεχνογράφος οὐδέν τι περὶ συνδρομῆς ἤτοι περὶ συγχωρήσεως, ἐπιλαθόμενος ὡς ἔοικεν, ἔφη· χρησόμεθα δὲ τῇ συνδρομῇ, ἢ ὅταν κ. τ. λ. Vol. V. p. 539. v. 8—p. 540. v. 3.

ιδ. Ἧττον λυπεῖ, φησὶν, ὁ τῇ λοιδορίᾳ χρώμενος, ὅταν ἐξαίφνης λοιδορήσεται, ἐμφαίνει γὰρ ὅτι ἐξ ὀργῆς ἡ λοιδορία οὐ προαιρέσεως, ἐνδιακειμένως δὲ κατὰ διάθεσιν καὶ πάθος ψυχῆς. [12]

ιή. Ὁ Ἀβραδάτης εἰς πόλεμον τέθνηκε, καὶ ἔκοψαν τὴν χεῖρα αὐτοῦ, καὶ ἡ γυνὴ ἐκράτει τῆς χειρὸς αὐτοῦ καταφιλοῦσα, καὶ ἠκολούθει ἡ χεὶρ αὐτοῦ.

ιθ. Ἐπιφοράν [13] φησιν τὴν καταφοράν, οἱ δὲ καταφορικοὶ τῶν λόγων σφοδρότητος οἰκεῖοι.

κ. Ἡ μετὰ ἐρωτήσεως [14] ἀποστροφὴ διαφέρει τῆς ἀποστροφῆς, ὅτι ἡ μὲν ὡς ἐξ ἀποφάσεως κ. τ. λ. Vol. V. p. 540. v. 19—22. — Τί γὰρ δήποτ' Εὔβουλε· [15] ἐν τῷ παραπρεσβείας· „νῦν [16] δ' ἤδη περιερχόμεθα ἡμεῖς,

---

11 Ven. Περὶ δὲ συνδρομῆς εἴτε συγχωρήσεως δεῖ λέγειν ἀκριβέστερον — ἐν τῷ περὶ μεθόδου δεινότητος λέξομεν. 12 Ven. litt. ιγ'. ιδ'. om. — Litt. ιέ—ιζ'. vide Vol. V. p. 540. v. 5—18. Sch. min. πιθανώτερος γὰρ ὁ διὰ τὸ πεπονθέναι δοκεῖν αὐτίκα λοιδορούμενος. Ἴσχει· ἔχει. Ἐν ταῖς ἐπιφοραῖς· ἐν μὲν γὰρ ταῖς κατηγορίαις ὀφείλεις λέξεις θηρεύειν σφοδρὰς καὶ ὠνοματοπεποιημένας, ἐν δὲ ταῖς ἐλεεινολογίαις οὐδαμῶς. Ἥκιστα ἐπιτήδειον· οὐδαμῶς. Χεὶρ ἐπηκολούθησεν· ἀπροαίρετον ὅσον ἐπ' αὐτῇ. Προαιρετικὸν περιθείς· τὸ ἐπηκολούθησε. 13 Ven. Σχήματα δὲ τοῦ ἐνδιαθέτου καὶ κατ' ἐπιφορὰν λόγου. Sch. min. Πλέον τὸ ἐνδιάθετον· διά τε τὰς ἄλλας αἰτίας, καὶ διὰ τὸ ἔχειν τὸ ἐλεγκτικὸν καὶ ἐνδιάθετον πλεῖον. 14 Ven. Τί γὰρ δήποτε Εὔβουλε. 15 Haec et sqq. usque ad litt. κά. ex Parr. recepi. 16 p. 434.

τί δέδοκται τοῖς ἄλλοις σκοποῦντες καὶ ὠτακουστοῦντες, τί τὰ τῶν Ἀρκάδων, τί τὰ τῶν Ἀμφικτυόνων ποιεῖ, πάρεισι Φίλιππος, ζῇ ἢ τέθνηκεν, οὐ τοιαῦτα ζητοῦμεν; ἐγὼ δὲ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι," καὶ τὰ ἑξῆς.

— *Κατὰ τὴν μέθοδον· ἐκ τούτου γνωστέον, ὡς οὐκ ἔστι διαφορὰ παρὰ τῷ τεχνικῷ σχήματος καὶ μεθόδου, ἀλλ' ἢ μόνον, ὅτι τὴν μέθοδον ἐπὶ τῆς ἐννοίας τάττει, τὸ δὲ σχῆμα ἐπὶ τοῦ λόγου· ὅπερ οὖν σχῆμα ἐν λόγῳ, τοῦτο μέθοδος ἐπ' ἐννοίας· εἰσὶ δὲ ἄμφω ὑπαλλαγαὶ καὶ μεθαρμόσεις καὶ οἷον κινήσεις καὶ ἐργασίαι πρὸς τὸ δέον.*

κά. Κἀντεῦθεν δῆλον, ὅτι ἡ περὶ σχημάτων διδασκαλία συγκέχυται παρ' αὐτῷ· ἡ γὰρ διαπόρησις σχῆμά ἐστι διανοίας οὐ λέξεως, ὡς αὐτὸς οἴεται.

κβ'. Περὶ τοῦ „μὲν" συνδέσμου τοῦ ἐν τῷ κατὰ Τιμοκράτους προοιμίῳ, ὅτι κατὰ τὸ ἀπόλυτον εἴργασται [17] καὶ οὐ δεῖται τοῦ ἀνταποδοτικοῦ „δὲ," διὰ τούτων τῶν Ἑρμογένους λόγων μανθάνομεν.

κγ'. Πολλαχοῦ [18] τῶν λόγων ὁ Δημοσθένης τά τε ζητούμενα ὡς ὁμολογούμενα λαμβάνει· δεινότητι [19] πρὸς τὸ δοκοῦν ἑκάστοτε τὸν ἀκροατὴν μετάγων καὶ τῷ ἀπολύτῳ μερισμῷ χρώμενος οὐκ ἀξιοῖ ἀνταποδιδόναι [20] τὸν δέ. Τοῦ Τιμοκράτους τοίνυν θρυλοῦντος, [21] ὡς δι'

---

17 Mon. ἐργάσασθαι. 18 Ven. post litt. κ'. *Ποῦ γὰρ αὐτοῖς ἰδεῖν τι τοιοῦτον, ὅτι ἔλαβεν ὡς ὁμολογούμενον τὸ ζητούμενον ὁ ῥήτωρ.* 19 Parr. δεινότητι. Mon. δηλονότι 20 Mon. ἀποδιδόναι. Parr. ἀνταποδιδόναι. 21 Mon. θρυλλοῦντος. Parr. θρυλοῦντος. Sch. min. *Ἰδίου βίου· ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. Πέφυκε ποιεῖν· ὅτι αὔξει τὸ ἐνδιάθετον. Μὴ λύσας· διὰ τοῦτο ἀπόλυτος μερισμὸς ἐκλήθη· ὅτι προηγησαμένου τοῦ „μὲν" οὐκ ἐπηκολούθησεν ὁ „δὲ," τὸ δὲ πολλῷ ἀπόδοσίς ἐστι τῷ πόσῳ. Λαμβάνεται μέντοι· ἤτοι ὁ ἀπόλυτος μερισμός. Τοῦ μὲν*

ἔχθραν ὁ Διόδωρος τῶν παρανόμων ἀπενήνοχεν κατ' αὐτοῦ τὴν γραφήν, εὐθὺς ὁ ῥήτωρ τὴν πρώτην τοῦ προοιμίου πρότασιν κατὰ ἀπόλυτον εἰσήνεγκε μερικὸν, ἀξιοπίστως τὴν αἰτίαν ἔχθρας ἀπολυόμενος, καὶ Τιμοκράτην παραίτιον ἑαυτῷ τῆς κατηγορίας ἀποφαίνων· καὶ διὰ τοῦτο τῷ „μὲν" οὐκ ἀποδέδωκε τὸν „δὲ," ὥσπερ καὶ τὸ ἐγὼ μὲν ἡγοῦμαι. — Σχήματα [22] ἐν ταῖς ἐπιφοραῖς τὰ σφοδρὰ καὶ αἱ ἀποστροφαὶ καὶ τὸ δεικτικὸν, καὶ ἡ διαπόρησις καὶ αἱ ἐπικρίσεις ἄνευ ἐνδοιασμοῦ, καὶ ἡ ἐπιδιόρθωσις, καὶ ὁ ἀπόλυτος μερισμός.

Cap. VIII.

Περὶ βαρύτητος.

ά. Εἰπὼν, ὅτι τὸ ἦθος διαιρεῖται εἰς ἐπιείκειαν καὶ ἀφέλειαν, καὶ εἰς τὸ ἀληθὲς καὶ ἐνδιάθετον καὶ εἰς βαρύτητα, διδάξας περὶ τῶν ἄλλων ἐπὶ [1] τὴν λειπομένην τῶν ἠθικῶν ἐννοιῶν ἔρχεται, τὴν βαρύτητα.

β. Ὅτι ἡ μὲν βαρύτης ὑπόκειται τῷ ἠθικῷ λόγῳ, καὶ αὐτὴ καθ' ἑαυτὴν οὐ συνέστηκεν, οὐδὲ συμπληροῖ γε αὐ-

---

ἀγῶνος· τοῦτο λέγει, ὅτι ὁ ἀπόλυτος σύνδεσμος τότε γίνεται, ὅταν ὁμολογῆται τὸ πρᾶγμα. Οὐδ' ἂν οἶμαι· τοῦτο ἡ ἔμφασίς ἐστιν. Ἰαλέμοις· οἱ ἄξιοι θρήνων. Φασὶν μέν, οὐ μὴν ὡς ἀληθῶς ἐξηγοῦνται. Ἐξελίττοντες· μετιόντες. Τινὲς εἶναι· σοφοί. Ὁ ῥήτωρ βουλόμενος· περὶ τούτου ὁ ῥήτωρ Μένανδρος ἐν τῇ διαιρέσει τοῦ κατὰ Τιμοκράτους ἀκριβέστερον ἐτεχνολόγησεν. 22 recepi haec ex Parr. In iisdem leguntur, quae sunt Vol. V. p. 540. v. 25—p. 541. v. 10.

1 Mon. περί. Par. 1. παρά. Par. 2. ἐπί. Sch. min. Εἰ παρατιθείη· ἐκ παραδειγμάτων ἐξετάζει. Ὡς ἑτέρως· ἐνδοιάζων ἔφη ὡς ἑτέρως ὁ τεχνικός.

αὐτόν, ὥσπερ ἡ ἀφέλεια καὶ ἡ ἐπιείκεια καὶ τὸ ἐνδιάθετον καὶ ἀληθὲς, ἱκανῶς ἐν τοῖς φθάσασι μεμαθήκαμεν, διὰ δὴ καὶ τελευταίαν αὐτὴν τέταχεν· εἰ γὰρ ἐξ ἄλλων γίνεσθαι πέφυκε, πῶς οἷόν τε πρὸ ἐκείνων τάττειν αὐτὴν, ἥτις καθ' ἑαυτὴν οὐδὲ συνέστηκε τὴν ἀρχὴν, ἀλλ' ἤδη περὶ αὐτῆς λεκτέον. Ὑπερωρίσθη [2] γὰρ παρὰ τῶν Ἀθηναίων ὁ ῥήτωρ καὶ ἠξίου ἐπανελθεῖν.

Πλεονεκτεῖν τῷ ἐχθρῷ· [3] οἷον ἵνα εἴπῃς οὕτω κατ' εἰρωνείαν· μείζων γάρ ἐστιν οὗτος εὐεργεσίαις, ἥπερ ἐγὼ καὶ ὁ θεολόγος· καὶ Παῦλος τοῦτο ἐτόλμησεν, οὗ σὺ δηλαδὴ διδάσκαλος· τοῦτο εἰρωνείας ἐστὶ μετὰ βαρύτητος.

Εἰ γὰρ μὴ εἰρων. κ. τ. λ. Vol. V. p. 541. v. 20—23.

Κοθωκίδης ἐστὶν ὁ δῆμος, ἐν ᾧ κατέμεινεν Αἰσχίνης, Οἰνόμαος δὲ λέγεται ὁ Αἰσχίνης κ. τ. λ. Vol. V. p. 542. v. 1. 2.

Ποῖά εἰσι τὰ ἐσχηματισμένα προβλήματα, ἔμαθες ἐν τῷ τρισκαιδεκάτῳ κεφαλαίῳ τοῦ τετάρτου τόμου τῶν εὑρέσεων, ἐκεῖσε γὰρ περὶ τούτων διδάσκει δι' ἄλλων τε οὐκ ὀλίγων παραδειγμάτων καὶ διὰ τοῦ κατὰ τὸν Περικλέα. [4]

δ'. Ἀπέδειξεν, ὡς ἡ εἰρωνεία μέθοδός ἐστί τις ποιοῦ-

---

2 Pertinet ad ὑπέρ τῆς ἑαυτοῦ καθόδου. in Par. est inter sch. min. Αἱ εἰρωνεῖαι· τὸ ῥητὸν εἰρωνεία καὶ ἀληθὲς καὶ ἐνδιάθετον. Ἐγὼ Βάταλος· ὁ μυξώδης. ib. κατὰ τὸν σὸν λόγον, Αἰσχίνη. Ἢ λέγει· παρὸ — litt. γ'. vide Vol. V. p. 541. v. 15—20. 3 Πλεονεκτεῖν sqq. usque ad litt. δ', ex Par. recepi. 4 Sch. min. Ἐναντιώτατον· στερρὸς τυχὸν ἢ ἀνδρεῖος ἢ γενναῖος. Ἐναντίων ἀ. ὀνομάτων· δειλὸν, ἄτολμον, ἀσθενῆ, ἄναλκιν. Ἐκπρεπής· δῆλη. Τὸ ἀμαυρόν ἀλαμπὲς σημαίνει, ὁρᾷ δὲ πρὸς τὸ ἐκπρεπές. Ἐπ' ἀμφοῖν· καὶ ἐπὶ τοὺς δικαστὰς καὶ ἐπὶ τὸν ἐχθρὸν ἀναφερομένη. Δόξαν τοῖς Ἀθηναίοις· τὸ δόξαν μετοχή ἐστιν, κεῖται δὲ Ἀττικῶς. Τὸ χρησθέν· τὸ τὸ ξύλινον τεῖχος εἶναι τὰς ναῦς. Ἀντιλέγοντος· Κυρσῖλον καὶ τοὺς λοιποὺς, οἳ ἀντέπιπτον φάσκοντες, μὴ δεῖν ἐπεξιέναι βασιλεῖ, μηδὲ λιπεῖν τὴν πόλιν κενήν (Cod. καινὴν superscripto ε.)

σα τὴν βαρύτητα, τοῦτο δὲ σαφῶς κἀν τοῖς φθάσασι μεμαθήκαμεν.

ε. Τοσαῦτα τοίνυν ὁ Θεμιστοκλῆς λέξει ἐν τῇ προσαγγελίᾳ, ἃ τῷ θέλοντι προσέχειν ἀκριβῶς ἀρκεῖ πρὸς ὅλην τοῦ λόγου τὴν κατασκευήν· σφόδρα γὰρ δαιμονίως ἡμῖν ὁ τεχνικὸς τὰ σπέρματα σχεδὸν ὑπέδειξε τῆς ὑποθέσεως.

ς'. Ταῦτα μετὰ τὴν μέθοδον, τὴν λέξιν λέγω καὶ τὰ ἑπόμενα τῇ λέξει, ληπτέον, ὅσα ταῖς ἠθικαῖς ἰδέαις ἥρμοσεν. οὐ γὰρ ἂν εὕροις ἴδιόν τι τούτων τῆς βαρύτητος· ἐδίδαξε γὰρ κ. τ. λ. T. V. p. 542. v. 10—12.

Cap. IX.

Περὶ δεινότητος. [1]

β', Τῆς δεινότητος καὶ τὸ ὄνομα πολλὴν παρέσχετο ζήτησιν, ἐπὶ γὰρ τῶν ἄλλων οὐκ ἐδεήθη τῆς τοιαύτης ἀπορίας, διὰ τὸ εἶναι σαφῆ τὴν διδασκαλίαν αὐτῶν· ἐνταῦθα δὲ πολλὴ τὴν ἀρχὴν ἡ ἀμφισβήτησις γέγονεν, ἐπὶ ποίου σημαινομένου δεῖ λαμβάνειν τὴν δεινότητα, καὶ τοῦτο σαφῶς ἐξ αὐτῆς εἰσόμεθα τῆς λέξεως· οὐδὲ γὰρ σαφέστερον ἔνεστιν διεξελθεῖν τὰ τοῦ τεχνικοῦ, καθα πολλάκις διεμαρτυράμην, ἀλλ' ἐκεῖνοι διαφερόντως εὐδοκιμήκασιν, ὅσοι γε τὴν ἀρχὴν εἵποντο τῷ τεχνικῷ, μηδὲν τῶν αὐτοῦ παραλλάξαντες· ἀλλ' ἐπανιτέον, ὅθεν ἐξέβημεν, καὶ [2] σκοπήσωμεν, ὅπως λέγει. — Τοῦτο λέγει, [3] τὸ εἰδέναι χρῆσθαι κατὰ τὸ προσῆκον τοῖς προσώποις καὶ τοῖς πράγμασιν, ἐννοίας, λέξεις, σχήματα, κῶλα, κεφά-

---

1 Litt. ά. vide Vol. V. p. 542. v. 16—p. 543. v. 7. 2 καὶ Mon. om. 3 Τοῦτο λέγει τὸ εἰδέναι sqq. usque ad litt. γ'. ex Parr. recepi.

λαια, ἐπιχειρήματα, ἐργασίας, ἐνθυμήματα καὶ πάντα, ἐξ ὧν συνέστηκε λόγος, καὶ ὅτι ἄλλως ἁπαντᾷ τις τῷ ῥήτορι εἰς τὰς ἀντιθέσεις αὐτοῦ καὶ ἄλλως τῷ ἰδιώτῃ καὶ ἄλλως τῷ βασιλεῖ, καὶ τοῖς ἑξῆς ὁμοίως. — Προκαταρκτικὰς κ. τ. λ. Vol. V. p. 543. v. 7—10. — Τὰ εἴδη τοῦ λόγου καὶ τὰ μέρη αὐτοῦ. εἴδη μὲν τὰς ἰδέας, μέρη δὲ τὰ ὀκτὼ, οἷον τὰ σχήματα, ἡ μέθοδος, ἡ λέξις καὶ τὰ λοιπά.

γ'. Εἰδῶν [4] μὲν πάλιν καταχρηστικῶς τῶν ἰδεῶν λέγει, ἐναντίων δὲ τῶν ἀντικειμένων ἑκάστῃ ἰδέᾳ, ὡς τῇ σαφηνείᾳ ἡ ἀσάφεια, τῷ μεγέθει ἡ ταπεινότης, τῇ γοργότητι τὸ μῆκος τῶν λόγων, τὰ δὲ ἕτερα, δι' ὧν σῶμα λόγου γίνεται· ἔτι τὰ τρία [5] τῆς ῥητορικῆς εἴδη· αἱ στάσεις, τὰ πέντε μέρη τοῦ πολιτικοῦ λόγου· ταῦτα γὰρ εἰς ταὐτὸν ἅπαντα συνελθόντα σῶμά τε κάλλιστον δημιουργοῦσι τῷ λόγῳ, καὶ κατὰ Πλάτωνα [6] ζῴῳ τελείῳ παραπλήσιον αὐτὸν ἀπεργάζονται.

δ'. Τὸ μὲν πότε ἐν ποίῳ καιρῷ· οὐ γὰρ κ. τ. λ. Vol. V. p. 543. v. 11—15. τὸ δὲ ποῦ ἐν ποίῳ μέρει τοῦ λόγου, πότερον ἐν ἀρχαῖς ἢ μέσοις, ἢ τελευταίοις· πολλὰ γὰρ καὶ καλῶς νοηθέντα καὶ μετρίας τυχόντα φράσεως διὰ τὴν ἀπειρίαν τῆς τάξεως ἔβλαψε [7] μᾶλλον, ἢπερ ὠφέλησε τοὺς ῥητορεύοντας· τὸ δὲ μέχρι πόσου, πότερον ἐπὶ πολὺ ἢ πρὸς ὀλίγον· τὸ δὲ πρὸς ὅντινα, ὅπως ἂν καὶ τῆς τοῦ προσώπου ποιότητος ἐστοχασμένως ποιώμεθα τοὺς λόγους· τὸ δὲ πῶς, διὰ ποίων ἐπιχειρημά-

4 Ven. Σφοδρότητος γὰρ οἰκεῖον ἡ κατὰ τῶν ἐλαττόνων προσώπων καταφορὰ πάντων τῶν προειρημένων εἰδῶν τοῦ λόγου καὶ τῶν ἐναντίων, καὶ ἔτι δι' ὧν ἑτέρων σῶμα λόγου γίνεσθαι πέφυκεν. 5 τὰ τρία Mon. om. Sch. min. Προειρημένων εἰδῶν· τῶν ἰδεῶν λέγει. Σῶμα λόγου· λόγος ὁλόκληρος. 6 Phaedro p. 264. c. 7 Mon. ἔβλεψε μ. ἥπερ ἐφίλησε.

των· τὸ δὲ διότι, τίνες αἱ αἰτίαι τῆς τοιᾶσδε τοῦ λόγου μεταχειρίσεως. [8]

ε. Ἰστέον, ὅτι ἐν τοῖς νῦν φαινομένοις Θεοκριτείοις, [9] εἰ μὴ θεῖος ἀοιδὸς [10] γέγραπται, πολὺ δὲ καὶ τὸ δεινὸς οἰκειότατον· πάσης γὰρ ἐπιστήμων ὁ ἀνὴρ ποιητικῆς τε καὶ μουσικῆς ὑπῆρχεν κ. τ. λ. Vol. V. p. 543. v. 16—p. 544. v. 2.

ς'. Ἀλλ' ὥσπερ [11] ἐγὼ εἶπον, ὅτι δεινὸς ὁ ῥήτωρ ὁ εἰδὼς καὶ δυνάμενος πᾶσι λόγων εἴδεσι χρῆσθαι δεόντως καὶ κατὰ καιρόν· ὁ γὰρ βαθείαις κ. τ. λ. Vol. V. p. 544. v. 4. 5.

ζ. Τοῦ ἐν τῇ πρεσβείᾳ ῥηθέντος αὐτῷ, ἡνίκα σὺν Μενελάῳ πρὸς τοὺς Τρῶας ἐπρέσβευεν Ἑλένην ἀπαιτῶν. [12]

ϑ'. Δημοσίους ἐκάλεσε τοὺς Φιλιππικούς, ἐπειδὴ συμβουλευτικοί εἰσι πρὸς τὴν πόλιν· πλὴν ἔπεται ταῖς ἐπιγραφαῖς τῶν λόγων, καὶ τοὺς μὲν συμβουλευτικούς, τοὺς δὲ Φιλιππικοὺς ἐκάλεσε τοῦ αὐτοῦ εἴδους ὄντας. [13]

ιϛ'. Τὸ μὲν [14] πότε δηλοῖ πανηγυρίζοντα, βουλευό-

---

8 Mon. μεταχειρήσεως. 9 Id. XVI. 44. 10 Mon. ἀηδός. Par. ἐπεγέγραπται. Sch. min. Χάρισιν· οὕτω λέγουσι τὸ ποίημα αὐτοῦ Χάριτας καὶ Ἱέρωνα, ὥσπερ ὁ Εὐριπίδης τυχὸν Φοινίσσας, Ὀρέστην, καὶ Σοφοκλῆς Αἴαντα, καὶ Ἀριστοφάνης Πλοῦτον.· Ὁ Κήϊος· ὁ Σιμωνίδης ἐστί. — Τοῦτο λέγει ὁ Ἑρμογένης, ὅτι δεινός ἐστιν ὁ εἰς δέον χρώμενος τοῖς λόγοις. 11 Ven. litt. ς'. ϑ'. et ιά. om. 12 Litt. ή. vide Vol. V. p. 544. v. 6—8. 13 Litt. ί—έ. vide Vol. V. p. 544. v. 12—p. 551. v. 5. 14 Ven. Πότε δεῖ καὶ ποῦ καὶ πρὸς ὅντινα καὶ πῶς καὶ ἐφ' οἷς δεῖ χρῆσθαι. — Sch. min. Κἀνταῦθα λέγω· οἷον ταῖς ἐννοίαις, ταῖς λέξεσι, τοῖς σχήμασιν, ἀλλὰ περὶ μόνην τὴν μέθοδον καταγίνεται. ibid. τοῖς δημοσίοις πᾶσιν, ὡς αὐτὸς οὗτος ὁ τεχνικὸς πρὸ βραχέος ἔφη. Ὁ μὲν ῥήτωρ· ὁ Δημοσθένης. Χρησάμενοι φαίνονται· τῇ πρώτῃ δεινότητι, τῇ κατὰ πάντα τὰ μέρη τοῦ λόγου γινομένῃ. Ψυχρολογίαν λέγουσιν λόγον τὸν μὴ συνέσει καὶ ἀγχινοίᾳ κοσμούμενον· εἴληπται δὲ ἡ λέξις ἀπὸ τῶν

μενον, δικαζόμενον, τὸ δὲ ποῦ ἐν ἀρχαῖς ἢ μέσοις ἢ πρὸς τῷ τέλει τοῦ λόγου, τὸ δὲ πρὸς ὅντινα, πρὸς ἔνδοξον ἢ ἄδοξον, πρὸς ἄρχοντα ἢ ἰδιώτην, τὸ δὲ πῶς, διὰ ποίων ἐπιχειρημάτων· τὸ δὲ ἐφ' οἷς ἐπὶ ποίοις πράγμασι, δημοσίοις, ἰδιωτικοῖς, λαμπροῖς, εὐτελέσιν.

ιζ'. Τὴν [15] περὶ μεθόδου δεινότητος διδασκαλίαν ἔπεσθαί φησι τῷ περὶ ἰδεῶν λόγῳ, τὸν δὲ περὶ τῶν ἰδεῶν λόγον [16] τῷ περὶ εὑρέσεως· κἀν [17] τῇ ἀρχῇ δὲ τῆς περὶ τῶν στάσεων τέχνης ὁ Ἑρμογένης τὸν περὶ τῶν πολιτικῶν ζητημάτων διαιρέσεως λόγον εἰς τὰ κεφάλαια τὸν αὐτὸν ἔφη σχεδὸν εἶναι τῷ περὶ εὑρέσεως, πλὴν ὅσον οὐ πάντα ἔχει τὸν [18] περὶ εὑρέσεως· ἐροῦμεν οὖν κἀνταῦθα, ὅπερ καὶ τὴν τέχνην ἔφημεν ἐξηγούμενοι, ὅτι ἡ εὕρεσις ἐπὶ πλέον ἐστὶ τῆς διαιρέσεως· ὁ μὲν γὰρ τὰ προσήκοντα πάντα περὶ τὸ προκείμενον εὑρίσκων καὶ διέλοι ἂν ἀκριβῶς καὶ τοὺς οἰκείους ἑκάστῳ τόπους ἀπονείμαι δύναιτο· ὁ δὲ τὴν εἰς τὰ κεφάλαια τῶν ζητημάτων διαίρεσιν εἰδὼς οὐ πάντως καὶ τοὺς ἁρμοδίους ἑκάστῳ τόπους καὶ τὰ ἐπιχειρήματα, δι' ὧν ἕκαστος κατασκευάζεται εὑρεῖν [19]

μελαγχολούντων, οἵπερ ἀσύνετοί εἰσι καὶ τὸ ἁπλῶς ἐπελθὸν φθέγγονται· γίνεται δέ τὸ τοιοῦτον νόσημα, ὡς φασι παῖδες ἰατρῶν, ἀλλὰ καὶ αὐτὸς ὁ θαυμάσιος Γαληνὸς, μέλανος χυμοῦ καὶ ψυχροῦ ἐνσκήψαντος τῷ διαφράγματι καὶ διαζώματι, ἐν ᾧ ἡ καρδία ἢ καὶ αἱ φρένες εἰσὶ καθ' Ὅμηρον φάσκοντα, ἧπαρ ὑπὸ πραπίδων. [Il. Λ. 579.] Ὑπόκενον· ἀνούστατον, μωρὸν ἀπὸ τοῦ κενοῦ. — Σημείωσαι, ὅτι ὁ Συριανὸς καὶ τὰς στάσεις ἐξηγήσατο, τοῦτο γὰρ ἡ τέχνη. Εἰδέναι πότε δεῖ· γνῶθι ὅτι τὰ αὐτὰ λέγει καὶ ἐν ἀρχῇ τοῦ περὶ μεθόδου δεινότητος, ἐν οἷς φησι τό· καιροῦ τε ἰδίου τυχὸν καὶ τὰ ἑξῆς. 15 Ven. Τοῦτο δὲ ἰδιόν ἐστι πραγματείας ἑπομένης τῷ περὶ ἰδεῶν λόγῳ, καθάπερ ὁ περὶ τῶν ἰδεῶν τῷ περὶ εὑρέσεως. 16 λόγον Mon. Par. 2. om. est in Ven. 17 Mon. Par. 2. καί. Par. 1. κἀν. 18 Ven. ἔχειν τά. 19 Mon. Par. 2. ἑρεῖν. Ven. εὑρεῖν.

ἱκανός· ἡ μὲν γὰρ εἰς τὰ κεφάλαια διαίρεσίς ἐστιν ὡρισμένη, ἡ δὲ τῶν ἁρμοδίων νοημάτων εὕρεσις ἀόριστος καὶ τῆς φύσεως ἑκάστου τῶν ῥητορευόντων ἰδία· τῆς γὰρ αὐτῆς προκειμένης [20] ὑποθέσεως, ἄλλως μὲν ὁ ὀξύς τε,[21] καὶ ἀγχίνους εὑπορήσει τῶν νοημάτων, ἄλλως δὲ ὁ βραδύς τε καὶ ἁπλούστερος· εἰκότως οὖν καὶ τὸν περὶ τῶν ἰδεῶν λόγον ὑπὸ τὸν περὶ τῆς εὑρέσεως ἀνάγει· εἰ γὰρ καὶ ὡρισμένοι εἰσὶν ἑκάστης τῶν ἰδεῶν οἱ τόποι, ἀλλ' ἡ πολυπλήθεια τῶν εἰς αὐτὰ συντελούντων ἐπιχειρημάτων ἀόριστος, καὶ κατ' ἄνδρα ἰδία· τὰς γοῦν αὐτὰς σχεδὸν ἰδέας τοῦ λόγου μεταδιώξαντες οἱ ῥήτορες καινοτέραν ἴσχουσιν πρὸς ἀλλήλους τὴν διαφοράν, ὅθεν καὶ ὁ φιλόσοφος Πορφύριος [22] πρὸς τὰ τοιαῦτα καλῶς ἀποβλέψας ἔφη λίαν νουνεχόντως, ὅτι δὴ τοῦ λόγου ψυχὴν δοκοῦντος καὶ σῶμα ἔχειν, ἡ μὲν τῶν νοημάτων εὕρεσις δικαίως ἂν ψυχὴ τοῦ λόγου νομίζοιτο, ἡ δὲ ἑρμηνεία σῶμα· [23] Πορφύριος οὖν φησι ψυχὴν καὶ σῶμα ἔχειν τὸν λόγον, καὶ καλῶς ἀποφαίνεται.

---

20 Mon. Par. 2. ὑποκειμένης. Ven. προκειμένης. 21 ὀξύς τε καὶ ἀγχίνους — — ὁ βραδὺς Mon. om. recepi ex Parr. et Ven. Sch. min. Τῷ περὶ εὑρέσεως· τῇ περὶ τῶν στάσεων λέγει τέχνῃ, ἐν ᾗ τὰ κεφάλαια μανθάνοντες καὶ τὴν εὕρεσιν διδασκόμεθα. — Ὅρα πῶς ἐξιμνεῖ τὸ σύνταγμα. Οποῖόν γε τοῦτο· εἴτε ἠθικὸν, εἴτε ἀξιωματικὸν, εἴτε μικτὸν, εἴτε τοιοῦτον. Τοῦτον ε. α. ἐπηγγειλάμεθα· τὸν λόγον δηλονότι, πολλαχοῦ τοῦ περὶ ἰδεῶν συντάγματος ἐρεῖν τι δέον, ὃ δὲ ὑπερέθετο τοῦτο, ἐπαγγειλάμενος ἐν τῷ περὶ μεθόδου δεινότητος τὸ τοιοῦτον τεχνολογῆσαι. ibid. Καὶ γὰρ ἐγὼ κεφάλαιον τοῦτο τὸ περὶ δεινότητος ἐν προσθήκης μέρει οὐ συνῆψα, ἰδίαν δὲ πραγματείαν ἀποδώσω τῷ τρίτῳ βιβλίῳ φησί. 22 Πορφύριος Ven. om. 23 Ven. pergit: καὶ δεῖξαι περὶ πάντων μὲν προβλημάτων, πάντων δὲ αὐτῶν ἐν τούτοις εἰδῶν καὶ τρόπων ἕως τοῦ κατὰ τόνδε τὸν καιρόν. Προβλημάτων μὲν φησι κ. τ. λ. Litt. ιη — κ vide Vol. V. p. 551. v. v. 5 — p. 552. v. 13. Sch. min. Τὸ ἐτέρωθι πρὸς

κά. Πολλαχοῦ [24] πάνυ τῆς πραγματείας ταύτης τὸ περὶ μεθόδου δεινότητος ἀνυμνεῖ [25] καὶ περὶ πολλῶν ἐν ταύτῃ ἐρεῖν ἐπαγγέλλεται, διόπερ καὶ μετὰ τοῦτο γέγραφεν εὐθέως ἐκεῖνο, τὰ δὲ λοιπὰ περὶ τῶν καθόλου πολιτικῶν λόγων, δικανικοῦ τε καὶ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ τοῦ [26] ἀρίστου λεχθέντα, ἔτι περὶ τῶν καθ' ἕκαστον εὐδοκιμησάντων ῥητόρων, λογογράφων, ἱστορικῶν, πρόδηλα τοῖς ἀκριβῶς τὰ πρὸ τούτων ἐπεσκεμμένοις.

τὸ ἐνταῦθα· ὃ γάρ φησιν ἐν τούτῳ τῷ λόγῳ δέον ἐστὶ παραλειφθῆναι ἐν ἑτέρῳ καὶ ἀναγκαῖον εὑρίσκεται εἰς τὸ ῥηθῆναι. Τοῖς κριθεῖσι· νομισθεῖσι, λογισθεῖσιν ὑπὸ τοῦ ῥήτορος. — Μακάριος ὁ ταῦτα πάντα κατωρθωκώς. — Ἐφ' ἑτέρων· παρὰ τὸ ἐπὶ τῷδε τὸ ἐφ' ἑτέρων ὁρᾷ, πρὸς δὲ τὸ ἐπὶ τῷ τὸ κατ' ἄλλον καιρόν. 24 Ven. Ταῦτα γὰρ δὴ πάντα καὶ τὰ τοιαῦτα τέχνῃ διαλαβεῖν, ἕως τοῦ· θεῖον οἶμαι πρᾶγμά ἐστι. 25 ἀνυμνεῖ καὶ περὶ πολλῶν — — λοιπὰ περὶ Mon. om. 26 Mon. ὡς τοῦ ἀρίστου. Ven. ὡς om. idem habet ἔτι τε περὶ τῶν κ. ε. ε. ῥητόρων διὰ λογογραφιῶν ἱστορικῶν πρόδηλα. Mon. λογογράφων ἱστορίας. Parr. ἱστορικῶν. Terminatur in hoc capite Cod. Ven. In Mon. et Parr. sequitur commentarius brevis περὶ λόγου πολιτικοῦ, quem fere integrum recepit Jo. Siceliota, ubi vide, si placet.

ΕΡΜΟΓΕΝΟΥΣ

ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ

ΑΠΟ ΤΗΣ ΕΞΗΓΗΣΕΩΣ

ΤΗΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ

ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ

ΚΟΡΙΝΘΟΥ ΚΥΡΙΟΥ ΓΡΗΓΟΡΙΟΥ

ΣΧΟΛΙΑ.

Edidit epitomen hujus commentarii Reiskius in oratorum Graecorum volumine octavo, descriptam ex codice Monacensi CI. fol. 288—330. Codex est seculi XVI., leviter et ita festinate scriptus, ut Reiskio ipso fatente „haud parum negotii creet legenti, omnium paene vocabulorum caudis amputatis," id quod inspecto codice satis mihi persuasi: eaque ipsa de caussa quaedam a Reiskio minus recte lecta emendavi. Eadem epitome cum scholiis quibusdam marginalibus continetur in codice Mediceo Plut. XVI. 1. bombycino, seculi XIV., optimae notae, per Med. 1. a me designato. Plenum commentarium edito multo ampliorem descripsi ex codice Vindobonensi XVI. optime scripto, qui quoad lectionem et partem in fine mutilam ita consentit cum Mediceo Plut. LVII. 5. seculi XIV., per Med. 2. a me designato, ut eum ex hoc ipso transcriptum dicere eo minus dubitem, cum codices Vindobonenses XV. et XVI. ex hoc Mediceo descriptos esse ex aliis vestigiis elucoat [vide Vol. II. prolegom. ad Doxopatri Homilias in

Aphthon. et Vol. VI. proleg. ad Jo. Siceliotam.]. Initium commentarii plenioris exstat in Codicis Vaticani CXLI. folio ultimo, sub titulo: *Τοῦ Κορίνθου εἰς τὸ περὶ μεθόδου δεινότητος ἐξήγησις.* Desinit in verbis: *αὐτὸς, ὦ Φαίδων, παρεγένου ἐν τῷ δεσμωτηρίῳ; αὐτὸς, ὦ Ἐχέκρατες· τὸ μὲν πρῶτον.* Ex hac recensione, quae a codice Vindob. et Med. 2. paullo discrepat, hausta videtur epitome brevissima, paucis foliis absoluta, quae in codice Ambrosiano S. 90. et Taurinensi CCXXVI. eadem fere in utroque manu aetate infima scripta exstat sub titulo: *Κορίνθου εἰς τὸ περὶ μεθόδου δεινότητος·* complectitur sex folia et desinit sub littera *ιά.* ad vocem *φιλαργ. ἢ λίχνοις.*

Titulum in fronte positum habet Vindob. et Med. 2., quorum auctoritatem potiorem plerumque habendam esse duxi. Monac. et Med. 1. praebet: *ἀπὸ τῆς ἐξηγήσεως τοῦ Μητροπολίτου Κορίνθου εἰς τὸ περὶ μεθόδου δεινότητος τοῦ Ἑρμογένους βιβλίον.* Eundem commentarium in bibliotheca regis Angliae exstare, refert Montfauc. Bibl. Paucae aliquot partes, a Mon. et Med. 1. omissae, continentur etiam inter Scholia marginalia Codicis Paris. 2977., cujus variam lectionem enotavi.

ΕΡΜΟΓΕΝΟΥΣ
ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ
ΑΠΟ ΤΗΣ ΕΞΗΓΗΣΕΩΣ
ΤΗΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ
ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΚΟΡΙΝΘΟΥ ΚΥΡΙΟΥ ΓΡΗΓΟΡΙΟΥ
ΣΧΟΛΙΑ.

Σκοπός ἐστι [1] τῷ Ἑρμογένει διδάξαι ἡμᾶς ἐν τῇ παρούσῃ πραγματείᾳ, [2] πῶς τεχνικῶς ἐν λόγῳ μεθοδεύσομεν [3] ἕκαστον ὧν χρήζομεν, ἤγουν σχημάτων, ἢ [4] ἄλλων χρησίμων εἰς ῥητορείαν. Χρὴ [5] δὲ εἰδέναι, ὅτι καὶ ὁ τεχνικὸς περὶ μεθόδου δεινότητος διαλαμβάνων [6] χρῆται καὶ αὐτὸς τῇ οὔσῃ δεινότητι, μὴ φαινομένῃ δὲ, διὸ καὶ οὐ ῥᾳδίως ἐστὶ κατάληπτος, ἀλλὰ φαίνεται μὲν ἁπλᾶ λέγειν, [7] λανθάνει δὲ τὴν τῶν ἀναγινωσκόντων διάνοιαν. Ἡ δὲ μέθοδος αὕτη τῆς δεινότητος ἔλλειψίς [8]

---

1 Vind. et Med. 2. ἡ πᾶσα σπουδή ἐστι. 2 Vat. Ambr. Taur. ἐν τῷ περὶ μεθόδου δεινότητος. Med. 2. ἐν τῷ περὶ λόγου δεινότητος. Mon. Med. 1. Vind. ἐν τῇ παρούσῃ πραγματείᾳ. 3 Ambr. Taur. τεχνικῶς ἑλλόγως μεθοδεύομεν. 4 Med. 2. καί. 5 Χρὴ δὲ εἰδέναι, usque ad λανθάνει δὲ τὴν τῶν ἀναγινωσκόντων διάνοιαν Mon. et Med. 1. om. 6 Med. 2. Vind. διαλαβεῖν. Vat. Ambr. Taur. διαλαμβάνων. 7 Taur. λέγων. 8 τῆς δεινότ. ἔλλειψίς ἐστιν Vat. Ambr. Taur.: ceteri ἔλλειψις τῆς δειν. ἐστίν.

ἐστιν· ἐν ἐκείνῃ γὰρ τὰς λέξεις καὶ τὰ λοιπὰ ἐδίδαξε, τὴν δὲ μέθοδον παρῆκε. [9] Τὸ δὲ δεινὸν τρία σημαίνει, [10] τὸ φοβερὸν καὶ καταπληκτικόν, ὡς τό· [11]

Αἰδοῖός τέ μοι ἐσσὶ φίλε ἑκυρὲ δεινός τε.

τὸ μέγα καὶ ἰσχυρόν, ὡς τό·

Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς [12]
Ἐσθλὸν γενέσθαι. [13]

καὶ τὸ ἀκριβὲς καὶ ἐπιτήδειον, ὡς ὁ [14] Θεόκριτος λέγει περὶ τοῦ Σιμωνίδου·

Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος. [15]

Δεινότης [16] οὖν ἐνταῦθα λέγεται τὸ εἰς δέον καὶ κατὰ καιρὸν ταῖς τῆς ῥητορικῆς ἰδέαις χρῆσθαι, ἔτι γε μὴν καὶ τοῖς τοῦ πολιτικοῦ λόγου μέρεσι. Τί μὲν [17] οὖν ἐστι δεινότης, ὑπέγραψεν [18] Ἀριστείδης ἐν τῷ περὶ πολιτικοῦ λόγου, ἐξ οὗ καὶ πολλὰ ὁ Ἑρμογένης ἐν ταῖς ἰδέαις [19] ἐσφετερίσατο. Ὡρίσατο γὰρ εἰπών, [20] „δεινότης ἐστὶν, ὅταν τις πόῤῥωθεν χρήσιμόν τι ἑαυτῷ περιποιῆται, [21] καὶ τὸ πόῤῥωθεν ἀνελεῖν τὸ ἀντιπίπτον αὐ-

9 Vat. Ambr. Taur. παρῆκεν· εἰδέναι δὲ χρὴ, ὅτι τὸ δεινὸν σημαίνει τρία. 10 Mon. σημαίνη. 11 Il. Γ. 172. 12 Med. 2. βροτοῖσι. — Stob. T. 88. 6. ex Eurip. Hec. 379. 13 ἐσθλὸν γενέσθαι Vind. et Med. 2. om. — Eurip. ἐσθλῶν. 14 ὁ Taur. om. 15 Vat. Ambr. ὡς ὁ Θεόκριτος εἶπεν, τὸν Σιμωνίδη οὕτω λέγω (Ambr. λέγειν) εἰ μὴ δεινὸς ἀοιδὸς Κεῖος, αἰόλα φωνέων. Vind. Med. 1. et 2. ὁ Κεῖος. Mon. Κήϊος sine ὁ. Theocr. Idyll. XVI. 44. Schol. in Med. 2. ὁ Κήϊος ἀπὸ τῆς Κέου νήσου, ἀπὸ γὰρ τῆς Κῶ Ἱπποκράτης ἦν ὁ ἰατρός. 16 Ambr. et Taur. δεινότατα (sic) οὖν ἐνταῦθα λέγει τὸ εἰς δέον καὶ (Ambr. καὶ om.) κατὰ καιρὸν ταῖς τῆς ῥητορικῆς χρῆσθαι ἰδέαις. etiam Vat. χρῆσθαι ἰδέαις. 17 τί μὲν οὖν ἐστι δεινότης usque ad τὸ ἀντιπίπτον αὐτῷ Mon. et Med. 1. om. 18 Ambr. Taur. ὑπέγραφεν. 19 ἐν ταῖς ἰδέαις ex Ambr. recepi. ceteri omittunt. 20 p. 656. et 657. Ald. cfr. T. V. p. 563. 21 Vat. Ambr. Taur. περιποιῆται. Vind. Med. 2. προδιοικῆται.

τῷ· " μέθοδος δέ ἐστι διοίκησις καὶ ποιὸς σχηματισμός, κατ' ἐξαίρετον μὲν ἡ περὶ τὴν ἔννοιαν, ἔτι [22] δὲ καὶ περὶ τὰ ἄλλα. τυγχάνει δὲ μέρος τῆς [23] φρονήσεως ἡ δεινότης· ἡ γὰρ [24] φρόνησις διαιρεῖται εἰς τέσσαρα, εἰς φρόνησιν, εἰς ἀγχίνοιαν, εἰς σύνεσιν, εἰς δεινότητα· καὶ [25] φρόνησις μέν ἐστι δύναμις ψυχικὴ, παρασκευαστικὴ τῶν εἰς εὐδαιμονίαν ἐπιτηδείων, ἀγχίνοια δέ ἐστιν εὐστοχία ἐν ἀσκέπτῳ χρόνῳ τοῦ μέσου· σύνεσις δέ ἐστι τὸ μετὰ σκέψεως [26] εἰπεῖν τι· δεινότης δέ ἐστι τὸ στοχάσασθαι καιροῦ καὶ τόπου καὶ προσώπου, καὶ ἐν καιρῷ μὲν λαλεῖν, ἐν καιρῷ δὲ σιγᾷν. [27] Ἄλλως· δεινότητα νῦν ὀφείλομεν νοεῖν τῶν τριῶν τὴν μίαν, τὴν οὖσαν μὲν, μὴ φαινομένην δέ· δεινὸν δὲ [28] σημαίνει τέσσαρα· τὸ φοβερὸν καὶ μέγα καὶ καταπληκτικὸν, παραγόμενον ἐκ τοῦ δέους, καὶ τὸ βαθὺ καὶ περινενοημένον, καὶ τὸ κατὰ αὔξησιν καὶ μείωσιν [29] προχωροῦν, καὶ τὸ μετὰ συνέσεως [30] πιθανόν τε καὶ εὔκαιρον, ἃ πάντα ἐπὶ τῆς δεινότητος χώραν ἔχει. Περὶ δὲ τῶν τριῶν τῆς δεινότητος εἰδῶν ἐν τῇ ἰδέᾳ τῇ δεινότητι ἱκανῶς ὁ Ἑρμογένης φθάσας ἐτεχνολόγησεν. Σημειωτέον δὲ, ὅτι τοῦτό ἐστιν ἐπὶ τῆς ἐννοίας ἡ μέθοδος, ὅπερ ἐπὶ τῆς λέξεως τὸ σχῆμα, ὡς πολλάκις εἴρηται· ἐργασία γὰρ αὐτῆς ἐστι καὶ μετασχηματισμὸς πρὸς ὅπερ ὁ λέγων βούλεται, καὶ ἔτι, ὅτι οὐκ οἶδεν ὁ τεχνικὸς μεθόδου καὶ σχήματος διαφορὰν, ἣ

---

22 Med. 2. ἔτι. ceteri omnes ἔστι. 23 τῆς Taur. om. 24 ἡ γὰρ φρόνησις usque ad θάτερον δὲ ἐπὶ τῆς λέξεως Mon. et Med. 1. om. 25 pro καὶ Ambr. et Taur. ἡ. 26 Vind. μετασκέψεως. 27 Ambr. et Taur. iis, quae sequuntur, omissis, pergunt: πᾶν μέρος λόγου εὕρηται μὲν ἐπὶ μηνύσει πράγματος· πρᾶγμα δὲ etc. 28 δεινὸν δὲ Vind. om. 29 supra μείωσιν in Vind. et Med. 2. scriptum est μέστωσιν. 30 Vind. Med. 2. συνθέσεως superscripto συνέσεως.

μόνον τὸ τὴν μέθοδον ἐπὶ τῆς ἐννοίας τάττεσθαι, θάτερον δὲ ἐπὶ τῆς λέξεως.

Cap. I.

ά. Πᾶν μέρος λόγου. Τοῦτο [1] ὡς προθεωρία τίς ἐστιν, ἄρχεται δὲ ἀπὸ τοῦ [2] πάσης λέξεως. Ταὐτὸν γάρ ἐστιν εἰπεῖν [3] πᾶσα λέξις καὶ πᾶν μέρος λόγου· διδάσκει δὲ, πρὸς τί χρήσιμα τὰ μέρη τοῦ λόγου, καιροῦ ἰδίου τυχόντα, καὶ ὅσα ἐν αὐτοῖς καὶ οἷα δύναται ἤθους προσθήκη. Ἄλλως. Μέρη λόγου φησὶν ἔννοιαν, μέθοδον, λέξιν καὶ τὰ λοιπὰ, ἐξ ὧν γίνεται πᾶσα ἰδέα, ἢ μᾶλλον τὰ ὀκτὼ μέρη τοῦ λόγου. Φησὶ καὶ ἄμεινον· παραδείγματι γὰρ χρώμενος εὐθὺς αὐτὸς ὄνομα μὲν ἔλαβε τὸ κακοῦργος, δεύτερον δὲ ῥῆμα τὸ [4] δημηγορεῖν. Τὰ τοιαῦτα οὖν, φησὶ, μέρη τοῦ λόγου εὕρηται παρὰ τοῖς παλαιοῖς, σημασίαν τινὰ ἰδίαν ἔχοντα καὶ δηλοῦν ἕκαστον αὐτῶν τι. Πρᾶγμα [5] ἐνταῦθα τὸ καθόλου λέγει, τὸ δηλοῦν τόπον ἢ χρόνον ἢ πρόσωπον, καὶ πρῶτον [6] διδάσκει, πρὸς τί χρήσιμα τὰ μέρη τοῦ λόγου, καιροῦ τυχόντα, τουτέστιν ἐπιτηδειότητος, καὶ τί [7] δύναται ἐν αὐτοῖς [8] ἤθους προσθήκη, καιροῦ δὲ τυχόντα εἶπε [9] καλῶς, διότι τὰ ὀνόματα φύσει τεθεῖσθαι οἱ ἔξω

---

1 Mon. Med. 1. post τοῦτο habent δέ. mox τις Vind. Med. 2. om. 2 τοῦ Vind. Med. 2. om. 3 ταὐτόν γάρ ἐστιν εἰπεῖν usque ad δηλοῦν ἕκαστον αὐτῶν τι Mon. Med. 1. om. 4 τὸ Vind. om. 5 Mon. Med. 1. εὕρηται μὲν ἐπὶ μηνύσει πράγματος· πρᾶγμα ἐνταῦθα κ. τ. λ. 6 Mon. Med. 1. πρότερον δέ. 7 τί Vind. om. 8 Mon. Med. 1. αὐτῷ. 9 pro εἶπε Ambr. τοῦ περί Mon. et Med. 1. haec ita legunt: καιροῦ δὲ εἶπε καλῶς τυχόντα διὰ τὸ τὰ ὀνόματα τῇ φύσει ἑκάστου καταλλήλως τεθεῖσθαι· ἢ τὸ καιροῦ ἰδίου τυχόν. omissis sqq. ὁ γοῦν

ὑπέλαβον· [10] ὁ γοῦν Πλάτων φησὶν ἐν Κρατύλῳ, [11] „οὐ τοῦτο εἶναι ὄνομα, ὃ ἄν τινες συνθέμενοι [12] καλεῖν καλῶσι τῆς αὐτῶν [13] φωνῆς μερίδα ἐπιφθεγγόμενοι, ἀλλ' ὀρθότητά τινα τῶν ὀνομάτων [14] πεφυκέναι καὶ Ἕλλησι καὶ βαρβάροις τὴν αὐτὴν ἅπασιν," [15] βαρβάρους, ὡς οἶμαι, τοὺς ἄλλους πάντας πλὴν τῶν Ἑλλήνων καλῶν. Καθεξῆς [16] πάλιν λέγει, τέκτονος μέν ἐστιν ἄρα ἔργον τὸ ἁρμοδίως καὶ ἀτέχνως ἀποτελεῖσθαι τὰ καθ' αὑτὸν ἔργα, καλῶς ἐπιστατοῦντος κυβερνήτου, εἰ μέλλοι [17] καλὸν εἶναι τὸ πηδάλιον, ὀνοματοθέτου [18] δέ γε, ὡς ἔοικεν, ὄνομα, ἐπιστάτην ἔχοντα διαλεκτικὸν ἄνδρα, εἰ μέλλει καλῶς τὸ ὄνομα [19] τεθήσεσθαι. Ἔστι ταῦτα, [20] κινδυνεύει ἄρα οὐ φαύλη τις [21] εἶναι, Ἑρμόγενες, ὡς σὺ οἴει, ἡ τοῦ ὀνόματος θέσις, οὐδὲ φαύλων ἀνδρῶν, οὐδὲ τῶν τυχόντων, καὶ Κρατύλος ἀληθῆ λέγει λέγων, φύσει τὰ ὀνόματα εἶναι τοῖς πράγμασι, καὶ οὐ πάντα δημιουργὸν εἶναι τῶν ὀνομάτων, ἀλλὰ μόνον ἐκεῖνον τὸν [23] ἀποβλέποντα εἰς τὸ τῇ φύσει ὂν ὄνομα [24] ἑκάστῳ, οἷον τῷ οὐρανῷ [25] ὀρθῶς φησι τὸ ὄνομα κεῖσθαι, διὰ τὸ ἄνω ὁρᾶν ποιεῖν, καὶ θεοὺς παρὰ τὸ θέειν τουτέστι [26] τρέχειν·

Πλάτων usque ad κύνας προσηγορεύκασιν. 10 Ambr. ἐπηνόησαν. 11 Initio. — οὐ τοῦτο Ambr. μὴ κυρίως Vind. Med. 2. 12 Vind. συνθέμενος. 13 Vind. Med. 2. αὐτῆς. Ambr. αὐτῶν. idem μερίδα ubi Vind. Med. 2. μόνης. 14 Ambr. λόγων. 15 Codd. ἅπασαν. Plat. ἅπασιν. 16 Ambr. εἶθ' ἑξῆς. 17 Ambr. Taur. τέκτονος μὲν ἔργον ἐστὶ τὸ πονεῖν ποιεῖν πηδάλιον ἐπιβατοῦντος κυβερνήτου, εἰ μέλοι etc. 18 Ambr. Taur. νομοθέτου. idem in Vind. supra scriptum est, in Med. 2. νομοθέτου est in contextu, supra scripto ὀνοματοθέτου. 19 Ambr. εἰ μέλοι καλὸν ὄνομα. 20 ἔστι ταῦτα Ambr. om. 21 Vind. φαυλότης. Ambr. φαῦλον. 22 Ambr. ὀνόματος. 23 Vind. τό. 24 in Med. 2. supra scriptum est ὅμοιον. 25 Ambr. Taur. τῷ οὐρανὸς ἀπὸ τοῦ ἄνω ὁρᾶν ὀρθῶς φησι κεῖσθαι τὸ ὄνομα. 26 Ambr. Taur. παρὰ τὸ θέειν τουτέστι τρέχειν τοὺς ἐν οὐρανῷ φω-

τρέχουσι γὰρ οἱ ἐν οὐρανῷ φωστῆρες, καὶ διὰ τοῦτο, ὥς φησιν, οὕτω καλοῦνται· ἢ παρὰ τὴν θέσιν τάς τε ἐν ἀνθρώποις προσηγορίας μετά τινος διανοίας τεθεῖσθαι, τὸν μὲν Ἕκτορα [27] ἀπὸ τοῦ ἔχειν καὶ κρατεῖν, διὰ τὸ βασιλέα εἶναι τῶν Τρώων, [28] τὸν δὲ [29] Ἀγαμέμνονα διὰ τὸ ἄγαν μένειν, καὶ τοῖς δόξασι περὶ τῶν Τρώων [30] εὐτόνως καὶ καρτερῶς παραμένειν, τὸν δὲ Ὀρέστην διὰ τὸ ὀρεινὸν καὶ ἄγριον καὶ θηριῶδες τοῦ τρόπου, καὶ τὸν μὲν Ἀτρέα διὰ τὸ ἀτηρὸν [31] γεγονέναι τὸ ἦθος, τὸν δὲ Πέλοπα, οἷόν τινα οὐ τὰ πόρρω, ἀλλὰ τὰ [32] πέλας καὶ ἐγγὺς ὁρῶντα, τὸν δὲ Τάνταλον [33] ταλάντατόν τινά φησι διὰ τὰ περὶ αὐτὸν δυστυχήματα. Ταῦτα καὶ τὰ τοιαῦτα καὶ μυρία ἕτερα ἂν εὕρῃς παρὰ Πλάτωνι φύσει τεθεῖσθαι, ἀλλ᾽ οὐ θέσει τοῖς πρώτοις ὀνοματοθέταις [34] πειρωμένῳ διδάσκειν. Ἔτι· εὕρηται μὲν ἐπὶ μηνύσει πράγματος· [35] τοῦτο λέγει, ὅτι αἱ λέξεις εὕρηνται μὲν ἐπὶ μηνύσει πράγματός τινος [36], οἷον ὁ κύων ζῶον ὠνομάσθη κύων διὰ τὸ παῤῥησιαστικόν· [37] καιροῦ δέ τυχὸν τοῦτο τὸ ὄνομα μετετέθη [38] καὶ ἐπὶ τὸν ἀστρῶον, καὶ ἐπί τὸν θαλάσσιον, διὰ τὸ βλαπτικὸν ἑκατέρων· ἑωρακότες γὰρ οἱ μετὰ ταῦτα ἑκατέρων [39] τὴν βλάβην κύνας προσηγορεύκασιν.

στῆρας κεκλῆσθαί φησιν· τάς τε ἐν ἀνθρ. 27 Ambr. inserit: εἰπὼν κεκλῆσθαι. 28 Ambr. Τρώων. Vind. Med. 2. πρώτων 29 Ambr. δὲ om. 30 Vind. Τρόων. 31. Ambr. ἀτειρῆ. 32 Ambr. τὸ ἐγγύς. omisso πέλας καί. 33 τὸν δὲ Τάντ. usque ad δυστυχήματα Ambr. om.: sqq. autem ita legit: ταῦτα δὲ καὶ τοιαῦτα μυρία ἂν εὕροις εἰρημένα παρὰ Πλάτωνι φύσει τεθεῖσθαι, ἀλλ᾽ οὐ θέσει τοῖς πράγμασι πειρωμένῳ διδάσκειν. 34 Vind. ὀνοματοθέτοις. 35 Vind. Med. 2. πράγματα. idem est in Commentario Aldino Vol. V. p. 566. 36 Vind. πράγματί τινι. 37 Ald. φιλοδέυποτον. Par. 2977. itidem παῤῥησιαστικόν. 38 Vind. et Ald. μετέθη. 39 Vind. ἑκατέρα. Ald. et Par. ἑωρακότες γὰρ — — — προσεχῶς προεγράφη non habent.

β'. Καιροῦ δὲ ἰδίου τυχόν. [40] *Δύναται τὸ καιροῦ ἰδίου τυχὸν* [41] *καὶ οὕτως νοεῖσθαι, ἀντὶ τοῦ· περιστάσεως* [42] *μερικῆς τινος παραπεσούσης* [43] *καὶ χρείας, εἰ λεχθῇ τι ὄνομα σημαῖνόν τι ἰδιάζον· κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα, Οὖτιν ἑαυτὸν ἐπιτηδείως* [44] *καλέσαντα, καὶ γὰρ καιροῦ ἔτυχεν, οἷον·* [45]

Εἰ μὲν δὴ οὔτις σε βιάζεται,

φασὶν οἱ Κύκλωπες. Ἄλλως. [46] *Καιροῦ τυχὸν καλῶς εἶπε διὰ τὸ τὰ ὀνόματα τῇ φύσει ἑκάστου καταλλήλως τεθεῖσθαι· ἢ τὸ τοῦ καιροῦ ἰδίου τυχὸν δύναται καὶ οὕτως νοεῖσθαι, ἀντὶ τοῦ περιστάσεώς τινος μερικῆς παραπεσούσης καὶ καθεξῆς, ὡς προσεχῶς προεγράφη. Εἰς τὸ αὐτό· εἰς τὸ τυχόν.* [47] *Τὴν ἄνω πρώτην* [48] *στικτέον, ὁ δὲ νοῦς οὗτος· πᾶσα λέξις εὕρηται μὲν* [49] *διὰ δήλωσιν πράγματός τινος,* [50] *δηλοῖ δέ τι τηνικαῦτα, ὅτε οἰκείως καὶ κατὰ καιρὸν τὸν* [51] *προσήκοντα τεθῇ, αὐτὸ γὰρ τὸ κακοῦργος, ὅτε ἐπί τινος ὀνομασθῇ, κακίας διαφόρους ἐργαζομένου, ἐκεῖνον δηλοῖ δήπου τὸν εἰργασμένον· ἂν μέντοι ὁ καιρὸς ἄλλος ᾖ, καὶ τὸ πρόσωπον κλοπὰς εἰργάσαιτο μόνας, οὐχ ἑτέραν κακίαν, οὐ τὸν προειρημένον δηλοῖ, ἀλλὰ ἐν προσθήκῃ ἤθους ἐκεῖνον αὐτὸν*

---

40 Mon. Med. 1. ἢ τὸ καιροῦ ἰδίου τυχόν. Ambr. καιροῦ τε ἰδίου τυχόν· δύναται καὶ οὕτω νοεῖσθαι τὸ καιροῦ τε ἰδίου τυχόν. 41 Mon. Med. 1. τὸ καιροῦ ἰδίου τυχὸν om. 42 Mon. Med. 1. περιστάσεως δέ τινος. 43 Ambr. περιπεσούσης. 44 Mon. ἐπιτηδείος. 45 Od. ι. 410. 46 ἄλλως, καιροῦ τυχὸν — — — usque ad litt. γ'. Ambr. et Taur. om. 47 Εἰς τὸ τυχὸν — — — τῇ τύχῃ, τῇ πανουργίᾳ exstat in Par. Πᾶσα λέξις εὕρηται — — — χρηστὸν ὀνομάσαι in Ald. T. V. p. 567. v. 1—10. 48 Vind. πρῶτον. Par. πρώτην. 49 μὲν Ald. Par. om. 50 Par. Ald. τινὸς πράγματος. 51 τὸν Ald. om. 52 Mon. ἑτέρου Par. Ald. ἑτέραν.

τὸν τὸν κεκλοφότα· ἢ καὶ ἄλλως νοητέον·[53] χρηστὸν τὸν[54] ἀγαθὸν λέγομεν· δυνάμεθα δὲ κατὰ καιρὸν εὔθετον καὶ τὸν πονηρὸν ἐν ἤθει τῷ τῆς εἰρωνείας χρηστὸν ὀνομάσαι· ὡς ὁ Δημοσθένης·[55] „πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει;“ οὐ μόνον δὲ ἰδίαν φησὶν, ἀλλὰ καὶ διάφορον, ἰδίαν μὲν, ὡς ὁ χρηστὸς ἢ ὁ κακοῦργος· διάφορον δὲ, ὡς τὸ δημηγορεῖν· ἄλλο γὰρ τὸ ἐν δήμῳ ἀγορεύειν, καὶ ἕτερον παρὰ τοῦτο τὸ κεχαρισμένως λέγειν· τὸν δὲ ἄνθρωπον γένος εἰπὼν κατεχρήσατο· εἶδος γὰρ δήπου ἐστὶ τὸ εἰδικώτατον· διαφόροις δὲ ἐννοίαις μερίζεται, αὐτῷ τῷ εἴδει, τῷ ἀτόμῳ· ὅ ἐστι κυρίως καὶ πρώτως οὐσία τῷ ἡμέρᾳ, τῇ τύχῃ, τῇ πανουργίᾳ. Εἰς τὸ αὐτὸ, τὸ καιροῦ δὲ ἰδίου τυχόν· τὸ μέρος τοῦ λόγου ἰδίαν ἔννοιαν ἐργάζεται, καταλεῖψαν τὴν ὀνομασίαν ἐκείνην, δι' ἣν εὑρηται, τουτέστιν διά τινα αἰτίαν ῥηθὲν προσφυῶς κατὰ καιρὸν καὶ ἐπιτηδείως.

γ'. Ὁ δὲ καιρὸς[56] κατ' ἤθους προσθήκην γενόμενος. Ἤθους προσθήκη γίνεται, ὅταν μὴ[57] ἐφ' ἧς κεῖται σημασίας ἡ λέξις, ταύτῃ χρησώμεθα, ἀλλ' ἐφ' ἧς αὐτοὶ[58] διὰ τοῦ ἐμφαινομένου ἤθους παρ' ἡμῶν καὶ[59] τῆς διαθέσεως βουλώμεθα ταύτην παραλαβεῖν,[60] καὶ πρὸς τὸ ἴδιον μεταγαγεῖν βούλημα διὰ τῆς ὑποδηλουμένης[61] ἐμφάσεως· ἦθος[62] δὲ καὶ ἡ ἐπιείκεια καὶ ἡ ἀφέλεια καὶ[63] ἡ ἐν τούτοις οὖσα εἰρωνεία ποιεῖ· ὃ

---

53 ἢ καὶ ἄλλως νοητέον Ald. om. 54 Vind. χρηστόν τινα. Par. χρηστὸν τὸν ἀγ. οἴδαμεν. Ald. χρηστὸν ἴσμεν τὸν ἀγαθόν. 55 Ol. III. p. 35. 56 ὁ δὲ καιρὸς κατ' Vind. Med. 2. om., recepi ex Mon. Med. 1. — Vind. προσθήκης. 57 Ambr. καί. 58 Ambr. ἐφεξῆς αὐτή. 59 pro καὶ Ambr. ἐκ. 60 Ambr. προλαβεῖν. 61 Vind. Med. 2. ὑποδηλουμένης. Mon. Med. 1. ἐμφαινομένης. Ambr. ἀποδηλουμένης. 62 ἦθος δὲ καὶ ἡ ἐπιείκεια καὶ ἡ ἀφ. καὶ ἡ ἐν τ. οὖσα εἰρ. ποιεῖ Mon. Med. 1. om. 63 ἡ Ambr. om.

γοῦν [64] σχετλιασμὸς κατὰ ἦθους προσθήκην γενόμενος ἐξαλλάττει τὴν σημασίαν· οἷον· αὐτὸς ὢν οἶμαι, θαυμάσιος στρατιώτης, ὦ Ζεῦ· [65] τὸ γὰρ θαυμάσιος ἐνταῦθα ἐν τῷ σχετλιασμῷ τὸν οὐδενὸς λόγου ἄξιον σημαίνει. Εἰδέναι [66] δὲ χρὴ, ὡς τοῦ ἤθους κυρίως εἴδη τέσσαρα· ἐπιείκεια, ᾗ ἐναντίον σφοδρότης καὶ ἀκμή· ἀλλ' ἡ μὲν ἀκμὴ κατὰ τὰς [67] ἐννοίας, ἡ δὲ σφοδρότης καὶ κατὰ τὰ ἄλλα· ἡ ἀφέλεια, ᾗ ἐναντίον σεμνότης, [68] τὸ ἀληθὲς καὶ ἐνδιάθετον, καὶ τέταρτον βαρύτης, ἧς μέθοδος ἡ [69] εἰρωνεία· ἡ δὲ γλυκύτης ἐπίτασίς τις [70] ἐστι τῆς ἀφελείας. Εἰς τὸ αὐτό. Ὁ δὲ καιρὸς κατὰ ἤθους προσθήκην· προσθήκη ἤθους ἤ τινος ἀνθρώπου ἢ ζώου ἤ τινος τῶν ἄλλων ἐπιγενομένη τὴν ἐπὶ τῶν πραγμάτων γενομένην διάνοιαν τῶν ὀνομάτων ἐπὶ τοῦτον μετήνεγκε καὶ μετέβαλεν· οἷον σοφιστὰς φασι τοὺς εὕροιαν λόγου κεκτημένους κυρίως· καὶ ἔστι τοῦτο ἰδία διάνοια τοῦ πράγματος, εἶτα μετετέθη τὸ ὄνομα καὶ ἐπὶ τῶν ψευδολόγων καὶ ἐσήμανε διάφορον διάνοιαν τὸ σοφιστὴς ὄνομα, τουτέστι δύο· διαφόρους δὲ, ὅταν τιθῆται ἐπὶ πλειόνων πραγμάτων· τὸ γὰρ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν τἀληθῆ διδασκόντων λέγεται· ἐν ἤθει δὲ, εἰ τυχὸν κατὰ εἰρωνείαν ἐρεῖς καὶ τοὺς ἀπατεῶνας καὶ παραλογιστὰς καὶ αὐτὸ τοῦτο φενακιστὰς σοφιστάς. Λέγει δὲ καὶ ὁ Τζέτζης ἐν οἷς ἔγραψεν εἰς τὴν ὅλην τὴν ῥητορικὴν ἐξήγησιν φλυαροστιχιδίοις αὐτοῦ, ὅτι ἤθους προσθήκην λέγει ὁ Ἑρμογένης ἢ τὴν τῶν ῥητόρων τῶν λεγόντων ἢ τὴν τῶν προσώπων τῶν ὑποκειμένων ἐν τοῖς λόγοις· ἢ γὰρ ἤθει καὶ τρόπῳ ὁ ῥήτωρ οἰκείῳ λέγει τὴν

64 Ambr. δέ. 65 de fals. leg. p. 375 — v. 4. τὸν ex Ambr. recepi. ceteri om. 66 εἰδέναι δὲ χρὴ usque ad litt. ε'. Mon. Med. 1. om. 67 τὰς Ambr. om. 68 Ambr. σεμνότητος. 69 ἡ Ambr. om. 70 τίς ex Ambr. recepi. 71 εἰς τὸ αὐτὸ usque ad litt. δ'. Ambr. et Taur. om.

λέξιν καὶ τίθησιν, ὥσπερ λέγεται καὶ τὰς ἀρχὰς ὡρισμένως ὠνοματοθέτηται, ἢ παραλλάττει αὐτὴν, ἢ ἐκμιμούμενος ἦθος προσώπου τινός· ὁ αὐτὸς δὲ Τζέτζης ἰδίαν διάνοιαν τὴν μίαν λέγει, διάφορον δὲ τὰς δύο διανοίας· διαφόρους δὲ τὰς πολλὰς, ἐναντίας δὲ τὰς ἀντιθέτους ἀλλήλαις καὶ ἀντικειμένας· οὐ γὰρ ὅσαι διάφοροι, αὗται καὶ ἐναντίαι εἰσὶν, ἰδίαν δὲ διάνοιαν οὐ μόνον τὴν μίαν, ἀλλὰ καὶ τὴν ἰδικὴν καὶ γνώριμον καὶ τὴν κυρίαν.

δ'. Οὐ μόνον [1] δὲ ἰδίαν, ἀλλὰ καὶ διάφορον. Ἤγουν, διπλῆ γίνεται ἡ σημασία, καὶ οὐ μόνον διάφορος καὶ διπλῆ, ἀλλὰ καὶ διάφοροι, τουτέστι τριπλῆ καὶ πολλαπλασία· καὶ οὐ μόνον, φησὶ, τρία γίνεται τὰ σημαινόμενα, ἀλλὰ καὶ ἐναντία· τὸ γὰρ κακοῦργος, φησὶν, εὕρηται παρὰ τοῖς παλαιοῖς, διὰ τὸ μηνύειν πάντα τὸν κακόν τι ἐργαζόμενον, χρημάτων δέ τινων ἀπολωλότων τυχεῖν εἴ τις ἐρεῖ κακοῦργος ἄνθρωπος, ἀφείλετο τὰ χρήματα· ἰδίαν καὶ ἑτέραν σημασίαν εἰργάσατο παρὰ [2] τὰς λοιπὰς, μόνον γὰρ τὸν κλέπτην ἐσήμανε, κατὰ καιρὸν καὶ ἐπιτηδείως εὑρημένην πρὸς τὰ χρήσιμα τὰ μέρη τοῦ λόγου καιροῦ τυχόντα καὶ ἤθους ἐσχηκότα προσθήκην. Καὶ τί δύναται ἡ τοῦ ἤθους αὕτη προσθήκη, οἷά τε καὶ ὅσα ποιεῖ· ἤθους δὲ προσθήκην φησὶ τὸ κατ' εἰρωνείαν λέγειν, σχῆμα δὲ τὸ ἐξ ἀναιρέσεως ἐποίησεν ἐν τῷ εἰπεῖν, οὐ μόνον δὲ ἰδίαν.

ε. Ἀλλὰ καὶ διάφορον. Διαφέρει [3] ἡ ἰδία τῆς διαφόρου, ὃν τρόπον τὰ μερικὰ διαλλάττουσι τῶν διά-

---

1 Ambr. Taur. οὐ μόνον ἰδίαν, ἀλλὰ καὶ διάφορον, τουτέστι τὸ ἐξαιρέσεως περιβλητικὸν σχῆμα, ὥσπερ καὶ τό· οὔ τοίνυν μόνον, μὴ Λεύκων ἀδικηθῇ, δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὸ (Taur. τὸ om.) εἴ τις ἄλλος. [in Lept. p. 469.] Ἀλλὰ καὶ διάφορον· διαφέρει ἡ ἰδία τῆς (Taur. τοῦ) διαφόρου, ὃν τρόπον διαλλάττουσι τὰ μερ. 2 in Vind. ad marg. περί. 3 Mon. Med. 1. διαφέρει. Vind. Med. 2. διάφορος.

φορῶν· τὰ μὲν γὰρ μερικὰ καὶ τοὺς ὅρους τῶν ὧν εἰσι μερικὰ καθολικῶς δέχονται,[4] οἷον ὁ[5] Σωκράτης τὸν τοῦ ἀνθρώπου, καὶ ὁ ἄνθρωπος τὸν τοῦ ζώου, ὅ τε γὰρ Σωκράτης ζῶον λογικόν ἐστι καὶ αἰσθήσεται καὶ ὁ ἄνθρωπος ὡσαύτως·[6] αἱ δὲ διαφοραὶ τοὺς ὅρους τῶν[7] πρὸς ἃ διαφοραὶ[8] τυγχάνουσιν, οὐδαμῶς ἐπιδέχονται, οὐ γὰρ ἂν τὸν ὁρισμὸν τοῦ λογικοῦ τὸ ἄλογον ἐπιδέξαιτο. Λογικὸν[9] γὰρ τὸ λόγῳ κεχρημένον λέγεται, ἄλογον δὲ τὸ ἀλογίᾳ συζῶν· τοῦτον οὖν τὸν τρόπον ἡ ἰδία διάνοια τῆς[10] διαφόρου διοίσει·[11] ἡ μὲν γὰρ ἰδία μερική τις οὖσα τοῦ καθόλου τὸν ὁρισμὸν ἐπιδέξαιτο,[12] ὡς καὶ ἀπὸ τοῦ παραδείγματος δῆλον· ὁ γὰρ κλέπτης πρὸς τὸν καθόλου κακοῦργον μερικὸν διὰ τοῦτο καὶ τοῦ καθόλου τὸν ὁρισμὸν ἐπιδέξεται,[13] καθόλου γὰρ κακοῦργός ἐστιν ὁ ὁποίαν τινὰ πρᾶξιν κακὴν καὶ[14] παρὰ φύσιν ἐκ προαιρέσεως ἐργαζόμενος· ὃ δὲ[15] καὶ τῷ κλέπτῃ ἐφαρμόσει πάντῃ[16] λεγόμενον· ἡ δὲ διάφορος οὐκ ἂν τὸν ὅρον ἐπιδέξαιτο τῆς πρὸς ἣν λέγεται διάφορος,[17] καὶ ὅρα τοῦτο καὶ ἐκ τοῦ παραδείγματος τοῦ παρὰ τῷ τεχνικῷ[18] κειμένου. Δημηγορεῖν γὰρ, φησὶ, λέγεται[19] τὸ ἐν

4 Ambr. Taur. λέγεται. 5 ὁ Taur. om. 6 Taur. Ambr. καὶ τὸν τοῦ ζώου ὁ ἄνθρωπος, ὅτε γὰρ Σωκρ. ζῶον λογικὸν θνητὸν, καὶ οὐσία ἔμψυχος αἰσθητικὴ πάλιν ὁ ἄνθρωπος. 7 Ambr. Taur. τοῦ. 8 Mon. Med. 1. Ambr. Taur. διαφοραὶ τυγχάνουσιν. Vind. διάφορα τυγχάνει. 9 Taur. et Ambr. λογικῷ μὲν γὰρ τῷ λόγῳ κεχρημένῳ, ἄλογον δὲ, τὸ ἀλόγως συζῶν. 10 Taur. καὶ ἰδία τοῦ διαφόρου. 11 Vind. δεοίσει. 12 Taur. ἐπιδέχεται. ad marg. γρ. ἐπιδέξαιτο. Mon. Med. 1. ἐπιδέξεται. 13 Ambr. καὶ τὸν καθόλου ὁρισμὸν ἐπιδέξαιτο. 14 κακὴν καὶ Ambr. om. 15 Ambr. γε. 16 Ambr. et Mon. πάντως ἐφαρμόσειε (Mon. ἐφαρμόσει) λεγόμενον. ἡ δὲ διαφορὰ τὸν ὅρον οὐκ ἂν ἐπιδέξαιτο. 17 Mon. διαφορᾶς. Codd. Mediceos, perspecta eorum indole, in sqq. nonnisi in locis dubiis consului. 18 Ambr. περὶ τῷ τελικῷ. 19 λέγεται Mon. om.

δήμῳ ἀγορεύειν, ἰδία [20] δὲ ἀντὶ τοῦ διαφόρως τὰ κεχαρισμένα [21] λέγειν, ἢ τὸ ἀπαιδεύτως λέγειν καὶ γελωτοποιὰ μὲν τυχὸν καὶ ὡς οἱ μῖμοι, ἢ κολακευτικὰ καὶ ἀπατητικὰ καὶ δημοχαρῆ· τοῦ δημηγορεῖν οὖν τὸν ὅρον οὐκ ἂν ἔξει, εἴγε δημηγορεῖν μέν ἐστι τὸ ἐξάγειν λόγους εἰς πλήθη διὰ παραίνεσιν· τὸ δὲ ἀπαίδευτα λέγειν διὰ τὸ γέλωτα κινῆσαι συμβούλεσθαι.

ς'. Αὖθις εἰς τὸ οὐ μόνον δὲ διάφορον, ἀλλὰ καὶ διαφόρους· ἡ διάφορος τῶν διαφόρων κατ' οὐδὲν ἄλλο διαφέρειν λέγεται; [22] ἢ καθὸ ἐκεῖ μὲν μία λέξις λαμβάνεται διάφορος, ἐνταῦθα [23] δὲ ἑτέρα τις δηλοῦσα πολλά· πολλαὶ γάρ εἰσι τῶν λέξεων δηλοῦσαι δύο, ἕτεραι δὲ πολλά· οἷον Ταρσὸς λέγεται ἡ πόλις· λέγεται [24] δὲ καὶ τὸ πλατὺ τοῦ ποδός· καὶ πάλιν πολλὰ ὡς τὸ δίκη· σημαίνει γὰρ τὴν κρίσιν, τὴν δικαιοσύνην, τὴν ἕνεκα τοῦ ἁμαρτήματος εὐθύνην, καὶ τὴν σωματοειδῆ θεὸν, ὥς φασιν οἱ Ἕλληνες.

ζ'. Οὐ μόνον δὲ διαφόρους, ἀλλὰ καὶ ἐναντίας· [25] Οὐ πάντα τὰ διάφορα καὶ [26] ἐναντία, ἀλλὰ τὰ ἐναντία ὄντα καὶ διάφορα, οὐ μὴν τὸ ἐναντίον, ὡς

---

20 Mon. ἰδίως. 21 Mon. et Ambr. τὸ κεχαρ. λέγειν καὶ τὸ ἀπαίδευτα λέγειν. (Mon. τὸ et λέγειν non repetit) ὅρα οὖν, (Ambr. γοῦν) πῶς τὸ ἀπαίδευτα λέγειν τοῦ δημηγορεῖν τὸν ὅρον οὐκ ἂν ἔξει· εἴγε δημηγορεῖν μέν ἐστι τὸ ἐξάγειν λόγους εἰς πλῆθος διὰ παραίνεσιν (Ambr. δημηγ. μὲν τὸ εἰς πλῆθος διὰ παραίνεσιν ἐξαγγέλλειν) τὸ δ' ἀπαίδευτα λέγειν τὸ (Ambr. διὰ τὸ) γέλωτα κινῆσαι βούλεσθαι. Οὐ μόνον διάφορον, ἀλλὰ καὶ διαφόρους. 22 Ambr. διαφέρει. 23 Ambr. et Mon. ἐνταῦθα (Mon. ἐνταυθοῖ) δὲ πολλαί· πολλαὶ γάρ εἰσι τ. λέξ. δύο δηλοῦσαι. 24 Ambr. πόλις καὶ τὸ πλατές [sic] τοῦ π., καὶ πάλιν τὸ δίκη σημαίνει τὴν κρίσιν κ. τ. λ. 25 Ambr. οὐ μόνον διαφόρους, ἀλλὰ ἐναντίους. In impressis καὶ οὐ μόνον, sed καὶ non est in Mon. 26 καὶ Ambr. om.

ἐκ τῶν παραδειγμάτων ἐστὶ δῆλον· [27] οὐδεμία γὰρ τῶν διαφόρων ἐννοιῶν ἀντίκειται πρὸς τὴν ἑτέραν· [28] ἐπὶ δὲ τῶν ἐναντίων τοῦτο εὑρεῖν ἐστιν· [29] ἀντίκειται γὰρ τὸ ὀλίγον πρὸς τὸ πολύ.

ἡ. Οἷον κακοῦργος πᾶς ὁ [30] κακόν τι ἐργαζόμενος, ἰδίως δ' ὁ κλέπτης· τοιοῦτόν ἐστι καὶ [31] τὸ παρ' Ἡσιόδῳ τὸ ἡμερόκοιτος, [32] τῆς γὰρ [33] λέξεως πάντα ἀντιναοῦν τὸν ἐν ἡμέρᾳ καθεύδοντα σημαινούσης καὶ [34] τὸν κλέπτην ὁ ποιητὴς ἐδήλωσεν εἰπών·

Μήποτε σ' ἡμεράκοιτος ἀνὴρ,

μερικωτέραν διάνοιαν διὰ καθολικοῦ ὀνόματος [35] παριστῶν. Διάφορον δὲ, [36] οἷον δημηγορεῖν τὸ ἐν δήμῳ ἀγορεύειν, ὁμοίως [37] δὲ καὶ τὸ κεχαρισμένα λέγειν, καὶ [38] τὸ ἀπαίδευτα λέγειν. Τοῦ κεχαρισμένα λέγειν τὴν σημασίαν παρ' Εὐριπίδῃ εὑρίσκομεν· φησὶ γὰρ ἐν Ἑκάβῃ·

Ἄχάριστον ἡμῶν [39] ἀπέρμ', ὅσοι δημηγόρους
Ζηλοῦτε τιμὰς, [40] μηδὲ γινώσκοισθέ μοι,
Οἳ τοὺς φίλους βλάπτοντες οὐ γινώσκετε,
Ἢν τοῖσι [41] πολλοῖς πρὸς χάριν λέγητέ τι. [42]

Ταιαῦτα [43] μέν εἰσι καὶ πολλὰ τῶν τῆς δριμύτητος λέξεων· οἷον κύων λέγεται μὲν τὸ ζῶον, λέγεται δὲ [44] ἰδίως καὶ ὁ

---

27 Ambr. εἰσὶ δῆλα. 28 Vind. ἑτέραν. Mon. λέξιν. 29 Mon. ἐστὶν εὑρεῖν. 30 ὁ Vind om. 31 Mon. τοιοῦτόν (falso impressum τριοῦτος) ἐστι καὶ παρ' Ἡσ. Etiam Ambr. τὸ om. 32 Ambr. ἡμερόκοιτον. 33 γὰρ Ambr. om. 34 καὶ Ambr. om. — Hes. Op. 603. 35 Ambr. καθολικῷ ὀνόματι. 36 διάφορον δὲ usque ad ἀπαίδευτα λέγειν Mon. om. 37 Ambr. ἰδίως. 38 καὶ τὸ ἀπαίδευτα λέγειν Ambr. om. 39 Mon. ὑμεῖς. — Hec. 254. 40 Mon. ζηλοῦται. Ambr. ζηλ. τιμὰς, μηδὲ οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε, ἢ τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι· τοιαῦτα οἶμαί εἰσι καὶ πολλὰ τῶν δριμυτάτων. 41 Mon, Vind. τοῖς. 42 Vind. λέγηται. 43 τοιαῦτα μέν εἰσι usque ad litt. ϑ, Mon. om. 44 pro λέγεται δὲ Ambr. καὶ

φιλόσαφος. καὶ [45] φιλάνθρωπος πάλιν λέγεται ὁ ἐλεῶν [46] καὶ οἰκτείρων τινάς, ἰδίως δὲ λέγεται φιλάνθρωπος καὶ ὁ κύων, ὥσπερ ἐν τῷ Ξενοφῶντι. λέγων γὰρ τὰς αἰτίας, δι' ἃς πρὸ τοῦ δέοντος [47] ἀναχωροῦσιν οἱ κύνες ἐκ τῶν διωγμῶν, φησὶν, ὅτι αἱ μὲν διὰ μαλακίαν, αἱ δὲ δι' ἀσθένειαν, αἱ δὲ διὰ τὸ καὶ τὸ, αἱ δὲ διὰ τὸ φιλάνθρωπον· τὴν γὰρ [48] πρὸς ἀνθρώπους συνήθειαν φιλανθρωπίαν ὠνόμασε· εἰδέναι δὲ δεῖ, ὡς καὶ αὐτὴ ἡ λέξις ἡ δημηγόρος, ἡ ἐπὶ [49] τοῦ δημοχαριστοῦ λαμβανομένη, δριμεῖά ἐστι κατά τινα οἱονεὶ χαριεντισμὸν γινομένη, ἐὰν [50] γὰρ εἴπῃς πρός τινα, ὅτι καλῶς δημηγορεῖν ἐκμεμάθηκας, ἰδοῦ χαριεντισάμενος [51] ἐσχηματισμένην καὶ δριμεῖαν τὴν λέξιν ἐποίησας.

ϑ'. Ἰδίως [52] δὲ τὸ κεχαρισμένα λέγειν εἴρηται καὶ ἀνωτέρω, ὡς τὸ ἰδίως ἐνταῦθα ἀντὶ τοῦ διαφόρως παρελήφθη τῷ τεχνικῷ, καὶ αὖθις διάφορον δὲ, οἷον δημηγορεῖν τὸ ἐν δήμῳ ἀγορεύειν, ἰδίᾳ δὲ τὸ κεχαρισμένα λέγειν. Πάλιν, φησὶ, τὸ δημηγορεῖν εὕρηται πρὸς τὸ μηνύειν τὸν ἐν τῷ δήμῳ ἀγορεύοντα καὶ ταύτην ἔχει κυρίως τὴν σημασίαν· εἰ δέ τίς τινα ἰδὼν ἐπαίνους διεξιόντα, δημηγορεῖν αὐτὸν εἴποι, ἑτέραν σημασίαν εἰργάσατο κατὰ καιρὸν ἐπιτηδείως εἰπών· εἰ δὲ ἕτερον ἰδὼν ἀστεῖά τινα καὶ γελοῖα λέγοντα κατὰ ἤθους προσθήκην ἤγουν κατὰ εἰρωνείαν δημηγορεῖν αὐτὸν λέγοι, διάφορον. Οὕτως οὖν οὐχ ἡ λέξις ἔδειξε τὸν ἐπαινοῦντα δημηγόρον, οὐδὲ τὸν τὰ γελοῖα λέγοντα, [53] ἀλλὰ τὸν μὲν ὁ καιρὸς,

---

45 Ambr. *πάλιν φιλ. λέγ.* sine *καί*. 46 Vind. ἔχων. Ambr. ἐλεῶν. 47 Vind. *πρὸς τοὺς δέοντας* Ambr. *πρὸ τοῦ δέοντος*. Venat. III, 9. 48 *γὰρ* Ambr. om. 49 Vind. *ἡ ἐπί*. Ambr. *ἐπὶ τοῦ*. 50 Ambr. *ἐάν*. Vind. *εἰ*. 51 Vind. *χαριεντισμός*. Ambr. *χαριεντισάμενος*. 52 Mon. *τὸ δὲ ἰδίως ἐνταῦθα ἀντὶ τοῦ διαφόρως παρελήφθη τῷ τεχνικῷ*. Sqq. usque ad litt. *ί*. Mon. et Ambr. om. 53 Vind. *οὐδὲ τὸν τὴν γελοῖα*, scripsi ita ex conjectura.

τὸν δὲ κατ᾽ εἰρωνείαν εἰρῆσθαι, ὥσπερ καὶ εἴτις σοφὸς ὢν ἑαυτὸν ἄσοφον καὶ ἰδιώτην[54] εἴπῃ, οὐχ ἡ λέξις αὐτὸν ἐποίησεν ἄσοφον, ἀλλ᾽ ὁ καιρὸς δεικνύων, ὁποῖός ἐστι σοφός. Ζητητέον, εἰ ὁ ἀπαίδευτα λέγων καὶ κεχαρισμένα λέγει πάντως· ἐὰν γὰρ ὑβρίζῃ τις τινα παρὰ τὸ εἰκὸς, πῶς οὗτος κεχαρισμένα λέγει, ἢ ἕτερα δηλονότι κεχαρισμένα οὐ τῷ περὶ οὗ ὁ λόγος. Πάλιν εἰς τὸ διάφορον δὲ, οἷον δημηγορεῖν· τοῦτο παράδειγμά ἐστι τοῦ οὐ μόνον ἰδίαν, ἀλλὰ καὶ διάφορον ἔννοιαν παρὰ τῆς αὐτῆς ἀπαρτίζεσθαι λέξεως· τὸ γὰρ ἰδίως ἀντὶ τοῦ διαφόρως νῦν εἴληπται τῷ τεχνικῷ ἐπὶ τῶν λόγων δεικνύντι τὰ διδασκόμενα, ὥσπερ καὶ τὸ, ἰδίως δὲ ὁ κλέπτης, ἀντὶ τοῦ μερικῶς· εὕρηται τοίνυν καὶ τὸ δημηγορεῖν εἰς μήνυσιν πράγματος· παρίστησι μὲν γὰρ καὶ τὸ ἐν δήμῳ ἀγορεύειν· μετὰ δέ τινος ἤθους ἐν καιρῷ ἰδίῳ λεχθὲν διάφορον ἔννοιαν δηλοῖ ἐπὶ τοῦ ἀπαίδευτα πολλάκις ἢ[55] κεχαρισμένα λέγοντος ἐκληφθὲν, οἷον γέλωτα κινεῖ φλήναφος δημηγόρος, δηλονότι ἀπαίδευτα λέγων, ἢ[55] τὰ πρὸς γέλωτα,[56] καὶ πάλιν κάθησαι καὶ δημηγορεῖς ἀντὶ τοῦ φλυαρεῖς· δοκεῖ δὲ καὶ τὸ πρῶτον παράδειγμα ταὐτὸν εἶναι τῷ δευτέρῳ· ὃ γάρ ἐστιν ὁ κλέπτης πρὸς τὸν κακοῦργον, τοῦτο τὸ κεχαρισμένα λέγειν πρὸς τὸ ἐν δήμῳ ἀγορεύειν· διότι καὶ αὐτὸς ὁ τεχνικός φησι καὶ ἐπὶ τοῦ πρώτου παραδείγματος, ἰδίως δὲ ὁ κλέπτης καὶ ἐπὶ τοῦ δευτέρου· ἰδίως δὲ τὸ κεχαρισμένα λέγειν· ἔστι δὲ οὐ ταὐτὸν, ἀλλὰ πλείστῃ διαφορᾷ διενήνοχε, καὶ τοσαύτῃ, ὅση τοῦ μερικοῦ πρὸς τὸ καθόλου·[57] τὰ μὲν γὰρ μερικὰ δέχεται τοὺς ὅρους τῶν ὧν εἰσι μερικὰ, καὶ τῶν καθολικωτέρων, οἷον ὁ Σωκράτης μερικώτερος ὢν δέχεται τὸν τοῦ ἀνθρώπου καὶ τοῦ ζώου, (ἔστι

54 Vind. ἰδιώτα. 55 Vind. καὶ superscripto ἤ. 56 Vind. λέγωτα. 57 Vind. πρὸς τὴν διαφοράν: supra scriptum τὸ καθόλου.

γὰρ καὶ ζῶον λογικὸν θνητὸν καὶ οὐσία ἔμψυχος αἰσθητικὴ,) αἱ δὲ διαφοραὶ τῶν ὧν εἰσι διαφοραὶ τοὺς ὅρους οὐ δέχονται, [58] οἷον λογικὸν μέν ἐστι τὸ τῷ λόγῳ χρώμενον, ἄλογον δὲ τὸ τῷ ἀλόγῳ συζῶν· τὸ αὐτὸ καὶ ἐν τοῖς προκειμένοις φαίνεται, ὁ μὲν γὰρ κλέπτης μερικὸς ὢν πρὸς τὸν καθόλου κακοῦργον δέχεται τὸν ἐκείνου ὅρον, ὃν καὶ ὁ τεχνικὸς ἔθηκε· καθόλου γὰρ κακοῦργός ἐστιν ὁ κακόν τι ἐργαζόμενος, ὅπερ καὶ τῷ κλέπτῃ πάντως ἁρμόσει λεγόμενον· καὶ γὰρ καὶ ὁ κλέπτης ἐστὶ κακόν τι ἐργαζόμενος· τὸ δὲ κεχαρισμένα λέγειν καὶ τὸ ἀπαίδευτα διάφορα ὄντα πρὸς τὸ δημηγορεῖν οὐ δέχονται τὸν ἐκείνου ὅρον· δημηγορεῖν γάρ ἐστι τὸ ἐπὶ τῷ δήμῳ ἀγορεύειν, ἤτοι τὸ ἐξάγειν ἐπὶ πλήθους εἰς ἐπήκοον συμφέροντα ῥήματα, οὐ μὴν πρὸς χάριν καὶ τέρψιν· τὸ δὲ ἀπαίδευτα λέγειν ἢ κεχαρισμένα καὶ δίχα πλήθους ἰδιαζόντως γίνεται· καὶ οὐκ ἔστιν ἀνάγκη τὸν ἀπαίδευτον λέγοντα ἢ κεχαρισμένα ἐν δήμῳ ταῦτα ἀγορεύειν, ἀλλὰ καὶ ἰδίᾳ ταῦτα λέγειν. καὶ ὁ μὲν ἀπαίδευτος λέγων καὶ κεχαρισμένα πάντως λέγει· οὐ μὴν ὁ κεχαρισμένα λέγων πάντως καὶ ἀπαίδευτα λέγει· πάλιν ὁ κεχαρισμένα λέγων καὶ δημοχαριστὴς καὶ δημηγόρος ἐστίν· ὁμοίως καὶ ὁ ἀπαίδευτος λέγων δημηγόρος ἐστίν· οὐ μὴν ὁ δημηγόρος πάντως κεχαρισμένα λέγει, καὶ ἀπαίδευτα ἢ ἄτακτα· ὁμοίως καὶ τὸ χυδαῖοι ἐγένοντο δύο σημαίνει, ἐκεῖσε μὲν ἀντὶ τοῦ πολλοί, ἐπληθύνθησαν γάρ, φησὶν [59] ἡ παλαιὰ γραφὴ, καὶ χυδαῖοι ἐγένοντο, ἐν δὲ τῇ καθ' ἡμᾶς ἀνὰ χεῖρα ὁμιλίᾳ ἀντὶ τοῦ ἀφελεῖς καὶ ἀχρεῖοι· καὶ τὸ πολυπράγμων δὲ κατὰ μὲν τὴν συνήθη ὁ ἐξεταστὴς, μεταλαμβάνεται δὲ καὶ εἰς τὸν πολλὰ πράγματα κεκτημένον, ὡς καὶ τὸ φιλοπράγμων.

ι. Διαφόρους [60] δὲ, οἷον ἄνθρωπος γένους

58 Vind. δέχεται. 59 Vind. φασὶν. — Exod. I. 7. 60 Ambr. διαφόρως.

ὄνομα, καὶ ἤθους [1] ἡμέρου καὶ τύχης καὶ πανουργίας· γένους ὁ ἄνθρωπος ὄνομα εἴρηται [2] καταχρηστικῶς ἀντὶ τοῦ εἴδους· ὥσπερ γὰρ κατηγορούμενον ὑποκειμένων τινῶν ἐρρήθη γένος, εἶδος εἰδικώτατον ὄν· [3] ἢ τοῦτό φησιν, ὅτι ἡ λέξις ἡ ἄνθρωπος εἰς δήλωσιν [4] τοῦ τῶν ἀνθρώπων γένους εὑρεθεῖσα οὗ μὲν [5] ἦθος ἥμερον [6] παριστᾷ, οὗ δὲ τύχην, οὗ δὲ πανουργίαν. Τούτου τοῦ ὀνόματος καὶ παρὰ τῇ θείᾳ γραφῇ τέτταρα εἰσὶ τὰ σημαινόμενα. ὅταν γὰρ λέγῃ ἐν τῷ Ἰώβ, „μὴ καθαρὸς ἔσται [7] ἄνθρωπος ἔναντι [8] κυρίου, ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ," καὶ ἐν Ψαλμοῖς, [9] „καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε," τὸ τοῦ γένους ὄνομα δηλοῖ· ὅταν δέ φησιν· „ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι," τὸ τοῦ ἤθους ἥμερον δηλοῖ, ὅθεν καὶ ἐπάγει, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινὸς, ἄμεμπτος, δίκαιος, εὐσεβὴς, [10] ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ. ἐπὰν δὲ λέγῃ, ἄνθρωπός τις [11] ἦν πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος [12] καθ' ἑκάστην ἡμέραν λαμπρῶς, τὸ τῆς τύχης περιφανὲς ἐμφαίνει. τὴν δὲ πανουργίαν σημαίνει, ὅταν λέγῃ· [13] υἱοὶ ἀνθρώπων, ἕως πότε [14] βαρυκάρδιοι, καὶ πάλιν· [15] υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη.

---

1 καὶ ἤθους ἡμ. καὶ τύχης καὶ πανουργίας Mon. om. Vind. πανούργου. Ambr. πανουργίας. 2 Ambr. εἴρηται ὄνομα. 3 Ambr. ὤν. 4 Mon. Ambr. τοῦ τῶν ἀνθρώπων γένους εἰς δήλωσιν εὑρεθεῖσα. 5 Vind. post μέν ponit δέ. 6 Ambr. ἡμέρου τύχης πανουργίας. 7 Mon. ἐστὶν omisso sq. ἄνθρωπος. Job. II, 3. 8 Mon. Ambr. ἐναντίον. 9 καὶ ἐν ψαλμοῖς Ambr. om. Ps. XLIX, 12. 21. 10 Job. I, 1. εὐσεβὴς, ἀπεχ. ἀπὸ π. πον. Ambr. Mon. om. Ambr. praebet: καὶ τὰ ἑξῆς. 11 τις ex Mon. Ambr. recepi. 12 εὐφραινόμενος — λαμπρῶς Ambr. Mon. om. Ambr. post βύσσον addit: καὶ τὰ ἑξῆς. — Ev. Luc. XVI, 19. 13 Mon. λέγει. 14 falso impress. ποτέ. in Mon. πότε. 15 Vind. πάλαι. Ambr. Mon. πάλιν.

ιά. Τὸ ἦθος [16] διπλοῦν· τὸ κοινὸν ὃ καὶ [17] τῇ καθόλου ἀρετῇ πρέπει· καὶ τὸ ἴδιον, τὰ προσήκοντας [18] ἑκάστῳ λόγους ἀποδιδόναι· ῥητόρων τὸ ἰδικόν, φιλοσόφων τὸ καθολικόν, καθὸ [19] καὶ περὶ τὴν ἠθικὴν ἀρετὴν καταγίνονται· οἱ γὰρ ῥήτορες τοῖς ὑποκειμένοις μόνον [20] προσώποις οἰκείους καὶ πρέποντας λόγους περιάπτουσιν, οἷον στρατηγοῖς ἢ ῥήτορσιν, ἢ τοῖς ἰδίως [21] ὀνομασθεῖσιν ἠθικοῖς, οἷον παρασίτοις ἢ δειλοῖς, ἢ φιλαργύροις ἢ λίχνοις. [22] Ἐναντίας δὲ, ὡς τό· μείνατ' ἐπὶ χρόνον· τὸν πολὺν, τὸν ὀλίγον· οὐ καλῶς ὁ Ἑρμογένης ἤγαγε [23] παράδειγμα τῶν ἐναντίων τὸ πολὺ καὶ τὸ ὀλίγον, ὡς Ἀριστοτέλης [24] ἐν ταῖς δέκα κατηγορίαις ἀποδείκνυσι, διαλαμβάνων περὶ τοῦ ποσοῦ καὶ λέγων, ὅτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον· ἔχει δὲ οὕτως τὰ Ἀριστοτέλους· ἐπὶ μὲν τῶν ἀφωρισμένων [25] φανερὸν, ὅτι οὐδέν ἐστιν ἐναντίον· οἷον τῷ διπήχει, ἢ τῷ τριπήχει ἢ τῇ ἐπιφανείᾳ, ἢ τῶν τοιούτων, οὐδὲν γάρ ἐστιν αὐτοῖς ἐναντίον, εἰ μὴ ἄρα τὸ πολὺ τῷ ὀλίγῳ φαίη τις ἐναντίον εἶναι, ἢ τὸ μέγα τῷ μικρῷ, τοῦτο δὲ οὐδέν ἐστι ποσὸν, ἀλλὰ μᾶλλον τῶν πρός τι· οὐδὲν γὰρ αὐτὸ [26] καθ' ἑαυτὸ μέγα λέγεται καὶ μικρὸν, ἀλλὰ τὸ πρὸς ἕτερον ἀναφέρεσθαι· οἷον ὄρος μὲν μικρὸν λέγεται, κέγχρος δὲ μεγάλη τῷ τὴν μὲν τῶν ὁμογενῶν μείζονα εἶναι, τὸ δὲ ἔλαττον τῶν ὁμογενῶν. οὐκοῦν πρὸς ἕτερον ἡ ἀνα-

---

16 Mon. et Ambr. καὶ ἤθους ἡμέρου praeponunt. 17 καὶ Ambr. om. 18 Mon. Ambr. προσήκοντας. Vind. προσηκόντως. 19 Vind. καθόν. 20 Ambr. προσώποις μόνον. 21 Ambr. ὡς ἰδίοις. Post λίχνοις in Ambr. et Taur. scribitur: τέλος τὰ περὶ μεθόδου δεινότητος ἑρμηνευθέντα ὑπὸ Κορίνθου. 22 Mon. οἷον παρασίτοις ἢ δειλ. ἢ φιλ. ἢ λίχνοις et paullo ante ἢ ῥήτορσιν om. 23 Mon. παρήγαγε. 24 Mon. τῶν πρός τι γὰρ τίθησιν εἶναι ταῦτα ὁ Ἀριστοτέλης. Sqq. usque ad litt. ιγ'. absunt a Mon. 25 Vind. ἀφορισμένων. 26 Vind. ἑαυτά. scr. αὐτό.

φορά· ἐπεὶ εἴγε καθ' ἑαυτὸ μέγα λέγεται ἢ μικρόν, οὐκ ἄν ποτε τὸ ὄρος μικρὸν ἐλέγετο, ἢ ἡ κέγχρος μεγάλη. ταῦτα εἰπὼν καὶ θεὶς κατὰ συγχώρησιν, τὸ μέγα τῷ μικρῷ καὶ τὸ πολὺ τῷ ὀλίγῳ εἶναι ἐναντίον, προϊὼν ἀναιρεῖ τὸ εἶναι ἐναντία ταῦτα, ἐν οἷς φησιν, εἰ ἔσται τὸ μέγα καὶ τὸ μικρὸν, ἐναντία συμβήσεται, τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι καὶ αὐτὸ ἑαυτῷ εἶναι ἐναντίον· συμβήσεται γὰρ ἅμα τὸ αὐτὸ μέγα καὶ μικρὸν εἶναι· ἔστι γὰρ πρὸς μὲν τοῦτο μικρὸν, πρὸς ἕτερον δὲ τὸ αὐτὸ τοῦτο μέγα· ὥστε τὸ αὐτὸ καὶ μέγα κατὰ τὸν αὐτὸν χρόνον εἶναι συμβαίνει, ὥσθ' ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι· οἷον ἐπὶ τῆς οὐσίας· δεκτικὴ μὲν τῶν ἐναντίων δοκεῖ εἶναι· ἀλλ' οὗτοι γε ἅμα· νοσεῖ γὰρ καὶ ὑγιαίνει, ἀλλ' οὐχ ἅμα· οὐδὲ λευκὸν καὶ μέλαν ἐστὶν ἅμα· ἀλλ' οὐδὲ τῶν ἄλλων οὐδὲν ἅμα τὰ ἐναντία ἐπιδέχεται· καὶ αὐτὰ δὲ ἑαυτοῖς ἐναντία συμβαίνει εἶναι· εἰ γάρ ἐστι τὸ μέγα τῷ μικρῷ ἐναντίον, τὸ δὲ αὐτό ἐστι καὶ μέγα καὶ μικρὸν, αὐτὸ ἑαυτῷ ἂν εἴη ἐναντίον· ἀλλὰ τῶν ἀδυνάτων ἐστὶν, αὐτὸ ἑαυτῷ τι εἶναι ἐναντίον· οὐκ ἔστιν ἄρα τὸ μέγα τῷ μικρῷ ἐναντίον, οὐδὲ τὸ πολὺ τῷ ὀλίγῳ.

ιγ'. *Μείνατε* [26] *ἐπὶ χρόνον.* Τοῦτο ἐν τῇ β'. τῆς Ἰλιάδος κεῖται, ἔνθα φησὶν Ὀδυσσεὺς πρὸς τοὺς Ἕλληνας, παρακαλῶν αὐτοὺς ἐν τῷ πολέμῳ μένειν, λέγων· [27]

Αἰσχρόν τοι [28] δηρόν τε μένειν κενεόν τε νέεσθαι,
Τλῆτε φίλοι καὶ μείνατ' ἐπὶ χρόνον, ὄφρα δαῶμεν,
Εἰ ἐτεὸν Κάλχας μαντεύεται ἢ οὔ.

Ὁρᾷς ὅπως [29] ἐπὶ μιᾶς λέξεως τὰ ἐναντία [30] δηλούσης τὸν Λοξίου τρόπον ἐμιμήσατο ὁ Ὀδυσσεὺς, [31] ἵνα καὶ τὴν

---

26 Mon. κεῖται δὲ ἐν τῇ β'. (v. 299.) τῆς Ἰλιάδος τὸ ῥητὸν ἔνθα φησὶν ὁ Ὀδ. 27 λέγων Mon. om. 28 Mon. τι. 29 Mon. πῶς, 30 Vind. τὴν ἐναντίαν. Mon. τὰ ἐναντία. Reisk. mavult τὰ ἐναντιώτατα. 31 ὁ Ὀδυσσεὺς Mon. om.

ὀλιγωρίαν παρακαλέσῃ [32] καὶ τὴν ὑπομονὴν ὑπαλείψῃ, [33] μεθόδῳ δεινότητος τοῦτο τεχνησάμενος· καὶ ἥρκει μὲν τὰ παραδείγματα πρὸς δήλωσιν τοῦ βουλομένου· εἰ γὰρ ἐπὶ τοῦ αὐτοῦ καιροῦ τῇ μιᾷ λέξει τὰ ἐναντία σημαίνεται, πολλῷ πλέον, εἰ κατὰ διάφορον καιρὸν λέγοιτο· εἰ δέ τις ἐνίσταται τὸν πολὺν χρόνον, ἀλλ᾽ οὐχὶ καὶ τὸν ὀλίγον δηλοῦσθαι διὰ μιᾶς τῆς λέξεως κατὰ ταὐτόν, καὶ ἕτερον Πλατωνικὸν εἰσάγει παράδειγμα, τὸν πολὺν χρόνον δηλοῦν ἑξῆς· καὶ αὖθις ἕτερον· τὰ ἐναντία ἐμφαῖνον διὰ τῆς αὐτὸς λέξεως ἐργαζόμενα.

ιδ'. Καὶ τὸ αὐτὸς, ὦ Φαίδων, παρεγένου; αὐτὸς, ὦ Ἐχέκρατες. Τοῦτο κεῖται ἐν τῷ Φαίδωνι ἢ [34] περὶ ψυχῆς. κεῖται δὲ ἐν ἀρχῇ. „Αὐτὸς, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ ἔπιε τὸ φάρμακον ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας; Αὐτὸς, ὦ Ἐχέκρατες.“ τοῦ αὐτὸς δύο εἰσὶ τὰ σημαινόμενα ἐνταῦθα, τὸ μὲν γὰρ μακαρίζοντός ἐστι, τὸ δὲ σεμνυνομένου· [35] ἐναντίον δὲ μακαρισμοῦ τὸ μεγαλοφρονεῖν καὶ σεμνύνεσθαι καὶ ἐπαίρεσθαι· [36] τὸ μὲν γὰρ ἀρετῆς, τὸ δὲ κακίας τὸ μεγαλοφρονεῖν [37] καὶ ἐπαίρεσθαι· τάχα δὲ ἔχει ἐναντιότητά τινα καὶ κατὰ τὰ πρόσωπα, τὸ μὲν γάρ ἐστι δευτέρου, τὸ δὲ πρώτου, ἀντὶ τοῦ ἐγώ. [38] Αὐτὸς, ὦ Φαίδων, παρεγένου ἐν τῷ δεσμωτηρίῳ; αὐτὸς, ὦ Ἐχέκρατες, τὸ μὲν πρῶτον ἐρώτησίς ἐστι καθ᾽ ὑπόκρισιν, τὸ δὲ δεύτερον κατὰ [39] ἀπόφανσιν, καί εἰσιν ἐναντία μέν, ἐναντίον δὲ τῷ διστάζειν τὸ ἀποφαίνεσθαι· ἢ καὶ οὕτως, ὁ μὲν ἤρετο ὡς θαυμάζων· τὸ δὲ θαυμάζειν καὶ μακα-

---

32 Mon. *ἀνακαλέσῃ*. Reisk. conjicit: *ἀνακαύσῃ*. 33 Mon. *ἐπαλείψῃ*. Sqq. usque ad litt. *ιδ'*. Mon. om. 34 *ἢ* Vind. om. 35 Vind. *σεμνυνωμένου*. 36 Vind. *μεγαλοφρονεῖ*. 37 *καὶ ἐπαίρεσθαι* Mon. om. 38 Mon. *ἐγώ· ἢ τὸ μὲν πρῶτον*. omissis iis, quae interjecta sunt. 39 Vind. *μετὰ ἀπόφανσιν*. Mon.

ρίζειν ἀφελείας ἐστὶν, ὁ δὲ μεγαλοφρονῶν [40] ἔφη, αὐτὸς ὦ Ἐχέκρατες· τὸ δὲ μεγαλοφρονεῖν σεμνόν ἐστι· καὶ ἔστιν ἐναντία [41] ἡ ἀφέλεια τῇ σεμνότητι, ὡς αὐτὸς ἔφησεν ὁ Ἑρμογένης ἐν τῷ περὶ σεμνότητος λόγῳ· λέγων ἐναντίαν εἶναι τῇ σεμνότητι τὴν ἀφέλειαν. Ὅτι δὲ τὸ θαυμάζειν ἀφελές ἐστι, δῆλον καὶ τὸ παρὰ Ξενοφῶντι [42] πρὸς τοῦ Κύρου λεγόμενον, „ὡς καλός μοι ὁ πάππος, ὦ μῆτερ·“ Σημειωτέον δὲ, ὅτι ὁ Ὅμηρος καθόλου ἐχρήσατο τῷ·

τλῆτε φίλοι καὶ μείνατ' ἐπὶ χρόνον,

διότι εἰ εἶπεν ὡρισμένον τὸν πολὺν, ῥᾳθυμίσειν εἶχον· πάλιν εἰ εἶπε τὸν ὀλίγον, ἐφοβεῖτο μὴ ψεύσηται· ἐχρήσατο δὲ τῷ ἐσχηματισμένῳ προβλήματι, ἐπειδὴ ὁ Ἀγαμέμνων μηνίσας πρὸς τὸν Ἀχιλλέα ἐδόκει τὸν λαὸν συνακολουθεῖν τῷ Ἀχιλλεῖ, καὶ ὑποστρέφειν βούλεσθαι μετ' αὐτοῦ εἰς τὴν Ἑλλάδα, ὅθεν πειρᾶται τῶν ὄχλων, εἰ βούλονται μένειν καὶ πολεμεῖν ἢ μή.

Cap. II.

ιέ. Περὶ πάσης λέξεως· [1] Μεθόδους ἡμῖν ὁ τεχνικὸς παραδίδωσι τοῦ πᾶσαν λέξιν ἀγνοουμένην εὑρίσκειν· ὅταν γὰρ ἐντύχῃς, φησὶ, λέξει τινὶ ἀήθει, ἐξέτασον ἐν ἑαυτῷ ταύτην τίς ἐστιν· καὶ εἰ μὲν νομικὴν εὑρήσεις, ἐρώτησον τοὺς νομικοὺς καὶ μάθῃς· εἰ δὲ τεχνικὴν, τοὺς περὶ τὰς [2] τέχνας, εἰ δὲ ἐθνικὴν, [3] τοὺς εἰδότας τὰς γλώσσας; καὶ οὕτως εὑρήσεις.

κατὰ ἀπόφασιν. omisso καὶ εἰσιν ἐναντία μέν. 40 Mon. μέγα φρονῶν et μέγα φρονεῖν. 41 Mon. ἡ ἀφέλεια ἐναντίον τῇ σεμν. ὡς αὐτὸς ἔφη Ἑρμογ. Sqq. usque ad litt. ιέ. Mon. om. 42 Cyrop. I. 5. 2.

1 Mon. πάσης λέξεως τῆς ἀγνοουμένης ἐν πεζῷ λόγῳ· μέθοδον ἡμῖν etc. 2 τὰς Mon. om. 3 Mon. ἐθνική.

Εἰς τὸ αὐτό. [4] *Ἐνταῦθα διδάσκει, πόσαι καὶ ποῖαι μέθοδοι εὑρέσεων τῆς ἀγνοουμένης λέξεως ἐν πεζῷ λόγῳ, καὶ γὰρ τοῦτο μέθοδός ἐστι δεινότητος τὸ εἰδέναι, δι' ἣν αἰτίαν ἀγνοοῦμεν τὴν προκειμένην λέξιν· ὅτι τυχὸν ἀπὸ τοῦ ἐθνικὴν εἶναι ἢ νομικὴν ἢ τεχνικήν. Ἐπιγνωσόμεθα δὲ, τίς ἡ ἐθνικὴ λέξις, καὶ τίς ἡ νομικὴ, καὶ τίς ἡ τεχνικὴ ἐντεῦθεν· ὅσα μέν εἰσιν ἀπαράγωγα, εἰσὶν ἐθνικὰ, ὡς τὸ ἐφοὺδ, ὅ ἐστιν ἱερατικὴ στολὴ, ἥτις φορουμένη ἀσφαλῆ τὸν προφήτην ἐποίει ἐν ταῖς προφητείαις, ὅσα δὲ παραγωγὴν ἔχει, εἰσὶ τεχνικὰ, ὡς ἡ διόπτρα ἀστρονομικὴ ἐστι λέξις δηλοῦσα τὸν ἀστρόλαβον· τεχνικὰ δὲ λέγονται τὰ τέχνης τινὸς δηλωτικὰ, ὡς τὸ ζεύξαντες τὰς ναῦς ναυπηγικὸν, καὶ τὸ ζυγώματα τὰ ὑποκάτω τῶν νηῶν τιθέμενα ξύλα, καὶ τὸ δὶς διὰ τεσσάρων μουσικὸν, τουτέστι τὸ δι' ὀκτὼ φθόγγων, ἤτοι χορδῶν, διοδεὺς καὶ καλούμενον αὐτόχορδον· καὶ τὸ μοσχεύειν γεωργικόν· μοσχεύειν γὰρ λέγουσιν οἱ γεωργοὶ τὸ συνάγειν τὰ φυτὰ κυρίως τῶν ἀμπέλων καὶ πρὸ χρόνου τῆς φυτείας, καὶ καταχωννύειν αὐτὰ ἐν τῇ γῇ ἢ ἐν ὕδασιν ἐμβάλλειν πρὸς τὸ μοσχεῦσαι καὶ ἁπαλώτατα γενέσθαι, ἵνα ἐν τῷ καιρῷ τῆς φυτείας ἑπιτήδεια γινόμενα ῥίζας παρ' εὐθὺ ἀπολύωσι καὶ φύλλα· ἄλλοι δὲ τὸ ἐμφυλλίζειν σημαίνειν φασὶν, ἢ τὸ νεώματα δι' ὄμβρου ἀρδευθῆναι· ἡνίκα γὰρ ἴδωσιν οἱ γεωργοὶ τὰ ἑαυτῶν νεώματα ἱκανῶς βραχέντα, φασὶν, ὅτι ἐμόσχευσεν ἡ γῆ καὶ δεῖ καταβάλλειν τὸν σπόρον. Τὸ δὲ ζεύξαντες παλαιὰς ναῦς [5] ἢ ἀντὶ τοῦ ἑλκύσαντες αὐτὰς ἔξωθεν τῆς θαλάσσης πρὸς τὸ καλαφατίσαι, ἢ μᾶλλον ἐκ μεταφορᾶς τῶν ὑπὸ ζυγὸν ἀγομένων δύο βοῶν καὶ ὡς εἰς βοῦς περιπατούντων, οὕτως καὶ τὰς παλαιὰς ναῦς ἐζεύγνυον τὸ παλαιὸν ἐπὶ ἀγωγίμοις τισὶν, ἢ τὰς δύο παλαιὰς ναῦς καταλύοντες ἐζεύγνυον καὶ ἐποι-*

4 *Εἰς τὸ αὐτὸ* sqq. usque ad litt. ις'. absunt a Mon. 5 Thuc. I. 29.

ουν αὐτὰς συῤῥάψαντες μίαν· ἡ γὰρ τῶν δύο παλαιῶν ὕλη ποιεῖν ἓν καινὸν ἠδύνατο, ὃ καὶ ἄμεινον νοεῖν. Πεζὸν λόγον[6] *τὸ μὴ ποιητικὸν, μηδὲ ἔμμετρον δηλοῖ· ἀλλὰ τὸν κατὰ τὴν λογογραφίαν· οἷον ὁ Πλάτωνος, ὁ Πλούτάρχου καὶ τῶν ἱστορικῶν πάντων.*

ις'. Ὁ γοῦν παρασάγγης οὐκ οἶδα τίς ἐστιν·[7] *Ὁ παρασάγγης μέτρον ἐστὶ παρ' Αἰγυπτίοις,*[8] *μεθ' οὗ μετροῦσι τὴν γῆν*[9] *διὰ τὴν τοῦ Νείλου ἐπίκλυσιν, ἔχον*[10] *στάδιους τριάκοντα· ὁμοίως δὲ καὶ ὁ σχοῖνος ἑξήκοντα· ὁ δὲ στάδιος ἔχει πόδας ἑξακοσίους. Τὸ δὲ παρασάγγης*[11] *ὄνομα εὑρήσεις πολλάκις ἀναγινώσκων*[12] *τὴν ἀνάβασιν Κύρου, αἰτίκα ἐν τῷ πρώτῳ. „Κῦρος δὲ ἔχων, ὡς εἶπον, ὁρμᾶται ἀπὸ Σάρδεων, καὶ ἐξελαύνει διὰ τῆς Λυδίας, σταθμοὺς τρεῖς παρασάγγας εἴκοσι δύο, καὶ ἐπὶ τὸν Μαίανδρον ποταμόν· τούτου τὸ εὖρος δύο πλέθρα· γέφυρα δὲ ἐπῆν ἐζευγμένη πλοίοις ἑπτά· τοῦτον διαβὰς ἐξελαύνει διὰ τῆς Φρυγίας, σταθμὸν ἕνα παρασάγγας ὀκτώ. Ἰστέον δὲ, ὡς ἃς νῦν λέγομεν ἀλλαγὰς*[13] *τῆς ὁδοῦ, σταθμοὺς οἱ παλαιοὶ ἐκάλουν· ἀπορῆσαι δὲ ἄξιον, πῶς εἰπὼν, οὐκ οἶδα, τίς ἐστιν*[14] *ὁ παρασάγγης, λέγει πά-*

---

6 *Πεζὸν λόγον — καὶ τῶν ἱστορικῶν πάντων* est etiam in Cod. Par. 7 *ὁ γοῦν παρασ. οὐκ οἶδα τίς ἐστιν* Mon. om. 8 Mon. Vind. *παρ' Αἰγυπτίοις.* in Med. 2. superscriptum: *παρὰ Πέρσαις.* 9 Mon. *διὰ τὴν τοῦ Ν. ἐπίκλυσιν τὴν γῆν.* 10 Vind. *ἔχων.* 11 Mon. *τὸ δὲ ὄνομα τὸ παρασ. τοῦτο εὑρήσεις πολλάκις ἐν τῇ ἀναβάσει τοῦ Κύρου. ἀπορῆσαι δὲ ἄξιον κ. τ. λ.* 12 Vind. *ἀναγινώσκον* Med. 2. *ἀναγινώσκων.* 13 in Med. 2. Schol. *ὅτι καὶ ἡ ἀλλαγὴ μέτρον ὁδοῦ Μακεδόνων· ἐντεῦθεν γάρ, οἶμαι, ἐκαλεῖτο καί τις ἡμετέρα φωνὴ* (in codice scriptum videtur *γονὴ*) *μονὴ καλουμένη, ὅσον γῆς ἡ ἀλλαγὴ μεταξὺ Ῥαιδέστου καὶ Ἄπρου κειμένη.* 14 Vind. *τίς ἐστιν εἶπεν ἡ παρασάγγης, λέγεται μέτρον ὁδοῦ οἱ τριάκ. στάδιοι.* receptam lectionem offert Mon. ex quo etiam *εἶπεν* post *ἐτυμολογεῖται* adjeci.

πάλιν, μέτρον ὁδοῦ οἱ τριάκοντα στάδιοι· ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ, οὐκ οἶδα τίς ἐστι, περὶ τοῦ πόθεν ἐτυμολογεῖται εἶπεν.

Εἰς τὸ αὐτό.[15] Καὶ τοῦτο μέθοδός ἐστι δεινότητος, τὸ λέγειν οἰκονομικῶς καθ' ἑκάστην λέξιν ἀγνοουμένην, οὐκ οἶδα τίς ἐστιν ὁ παρασάγγης. τουτέστι πρὸς τὰ ἄπορα διὰ ἀπόρων ἀπαντῶμεν· ὥσπερ τις βιβλίον ἀνελίττων ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἔλεγε καθ' ἑκάστην σελίδα ἄναρθρόν τινα λέξιν· ἢ τοῦτο μέθοδός ἐστι δεινότητος τὸ παραλαβεῖν λέξιν ἐθνικὴν ἢ νομικὴν ἢ τεχνικὴν ἐν καιρῷ καὶ οἰκονομικῶς χρήσασθαι, ὡς ὁ Ἀπόστολος τὸ μαρὰν ἀθὰ,[16] τοῦτο δὲ ἵνα δείξῃ, ὅτι ἀπὸ τῶν Ἑβραίων ἀρχὴν ἔλαβε τὸ εὐαγγέλιον· ἢ ἐντρέπων καὶ εἰρωνευόμενος πρὸς τοὺς Κορινθίους· ἐκεῖνοι γὰρ ἀπωθοῦντο τὰς τοιαύτας λέξεις· ἢ καὶ τοῦτο μέθοδός ἐστι δεινότητος, τὸ ἐπιστημονικῶς καὶ τεχνικῶς λέξεσι κεχρῆσθαι, ὅτε περὶ ἐπιστημονικῶν καὶ τεχνικῶν διαλεγόμεθα πραγμάτων, καὶ νομικαῖς πάλιν καὶ ἐθνικαῖς, ὅτε περὶ νομικῶν καὶ ἐθνικῶν, ἢ μέθοδον διδάσκει τοῦ πότε δεῖ χρῆσθαι ἢ νομικῇ ἢ ἐθνικῇ ἢ τεχνικῇ λέξει, ὅτι ὅτε βουλόμεθα παραστῆσαι τὴν τοῦ προσώπου ποιότητα, οἷα ἐστὶ νομικὴ ἢ ἐθνικὴ ἢ τεχνικὴ, τότε χρησόμεθα ὁμογλώσσῳ λέξει, ὡς ὁ θεὸς τὰ ἔθνη διὰ τῶν ἑαυτῶν γλωσσῶν ἐπεσπάσατο· ἢ καὶ τοῦτο μέθοδός ἐστι δεινότητος, τὸ μηδὲν εἰδότα δοκεῖν εἰδέναι παρὰ[17] τοῖς ἀκούουσιν: οἷον εἴ τις ῥήτωρ ἐρωτηθεὶς, τί σημαίνει ἀδένες, ἢ τί ἐστι μείωσις σελήνης, ἢ τίνες τῶν ἀριθμῶν στολίδες λέγονται, ἢ τί ἐστι τὸ πέπονα φαρμακεύειν καὶ κινέειν μὴ

15 εἰς τὸ αὐτὸ usque ad litt. ιή. Mon. om. 16 Codd. *Μαρναθᾶ*. in Med. 2. Schol. *Μαραναθᾶ*. τοῦτο τῆς Σύρων ἐστὶ διαλέκτου, οὐ τῆς τῶν Ἑβραίων· λέγει δὲ, ὅτι ὁ κύριος ἦλθε. — 1 Cor. XVI, 22. 17 Vind. περὶ, scripsi παρὰ, ut infra scriptum est.

ὠμά, εἴπῃ, ὅτι ταῦτα μὲν ἰατροῖς καὶ ἀστρονόμοις καὶ ἀριθμητικοῖς παρήσομεν· ταῦτα γὰρ εἰπὼν ἔδοξε μὴ εἰδὼς εἰδέναι τὰ ἐρωτώμενα. Ἢ καὶ τοῦτο μέθοδός ἐστι δεινότητος, τὸ λέγειν εὑρεθεῖσαν τεχνικὴν ἢ νομικὴν ἢ ἐθνικὴν δοκεῖν εἰδέναι αὐτὴν ἀπὸ τοῦ ἑτέραν ὁμογενῆ λέξιν ἐπεξιέναι, ἣν ἡμεῖς ἐπιστάμεθα. οἷον ἐμπεσούσης λέξεως ἐθνικῆς ἐροῦμεν, ὅτι τοῦτο ἐθνικόν ἐστιν, ὥσπερ καὶ τὸ χλιάβου.[18] καὶ τὸ τάλε· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. οἷον τί ἐστι μείωσις σελήνης; τὸ ἔχειν τὸ μὲν πρὸς ἡμᾶς μέρος αὐτῆς ἀλαμπές, τὸ δὲ ὑπερκόσμιον καταλαμπόμενον· ἔκλειψις δέ ἐστιν ἡ παντελὴς σκότωσις· στηλίδες δέ εἰσιν οἱ ἐκ δύο μὲν ἡττόνων πλευρῶν γεγονότες, ἐκ μειζόνων δὲ τῶν λοιπῶν, ὡς ὁ δώδεκα ἐκ τῆς ἓξ καὶ τρὶς τέσσαρα· ὥσπερ καὶ κύβος ὁ ἐξ ἴσων πλευρῶν γεγονὼς, ἐκ δὶς δύο καὶ δὶς τεσσάρων· ἀδένες δὲ, αἱ νευρώδεις ἶνες· ἢ καὶ τοῦτο μέθοδος δεινότητος τὸ παραλαβεῖν ἄδηλον καὶ ἄγνωστον ἐν τοῖς λόγοις ἡμῶν· διδάσκει γὰρ περὶ καθόλου δεινότητος, τῆς ἐν αὐξήσει καὶ μειώσει θεωρουμένης, καὶ κατὰ τὸ πιθανὸν καὶ βαθύ· ληπτέον δὲ τὴν τοιαύτην λέξιν ἢ διὰ σαφήνειαν ἢ διὰ πολυπειρίαν ἢ ἐπίκρυψιν καὶ βαθύτητα ἢ ἀξιοπιστίαν τοῦ λέγοντος· διὰ σαφήνειαν μὲν, ὅτε πρὸς τοὺς εἰδότας λέξιν λέγομεν· δι' ἐπίκρυψιν δὲ, ὅτε βουλόμεθά τι ἐπικρύψαι· διὰ πολυπειρίαν δὲ, ὅτι πρὸς ἀγνοοῦντας λέγομεν· δι' ἀξιοπιστίαν δὲ, ἵνα δείξωμεν ἑαυτοὺς πολυμαθεῖς καὶ πολυπείρους καὶ σοφούς· ἢ καὶ τοῦτο αἰνίττεται, ὅτι τρισὶ χρῆσθαι δέον τὸν ῥήτορα λέξεσι, νομικῇ, τεχνικῇ καὶ ἐθνικῇ, περαιτέρω δὲ τούτων οὐδαμῶς· οἷον ποιητικῇ λέξει χρῆσθαι οὐκ ἐφεῖται. Ἢ καὶ τοῦτο μέθοδός ἐστι δεινότητος, τὸ λέξιν εὑρεθεῖσαν ἐθνικὴν ἢ νομικὴν ἢ τεχνικὴν, δοκεῖν εἰδέναι αὐτὴν, ἀπὸ

18 In Vind. et Med. 2. supra scriptum: *βουλγαρικῶς λέγει ψωμήν.*

τοῦ ἑτέραν ὁμογενῆ λέξιν ἐπεξιέναι, ἣν ἡμεῖς ἐπιστάμεθα· οἷον λέξεως ἐμπεσούσης ἐθνικῆς ἐροῦμεν, ὅτι τοῦτο ἐθνικόν, ὥσπερ τὸ χλιάβου, καὶ τὸ τάλε· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· ἔτι καὶ τοῦτο μέθοδός ἐστι δεινότητος τὸ μηδὲν λέγοντα ἢ γράφοντα δοκεῖν παρὰ τοῖς ἀκροαταῖς λέγειν ἢ γράφειν, τουτέστι μηδὲν συμβαλλόμενα πρὸς τὸ προκείμενον· ὡς τὸ [19] ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει.

Παρασημείωσις. Ἔστι δὲ μέθοδος δεινότητος κατά τινας μὲν ἔλλειμμα [20] τῆς δεινότητος τῆς ἰδέας· καὶ γὰρ ἐκεῖ τὴν μέθοδον αὐτῆς οὐκ ἐδίδαξεν, ἀλλὰ τὴν ἔννοιαν καὶ τὴν λέξιν καὶ τὸ σχῆμα· ἐνταῦθα δὲ τὴν μέθοδον ἐτήρησεν· ἔστι δὲ ἔννοια μὲν δεινότητος ἡ ἐοικυῖα τῇ βαθείᾳ καὶ περινενοημένῃ ἐννοίᾳ, καὶ ἡ οὖσα καὶ μὴ φαινομένη φρόνησις· δεινὸς γὰρ λέγεται καὶ ὁ φρόνιμος· κατά τινα δὲ ὅτι διδάσκει πάλιν περὶ μεθόδου δεινότητος, τῆς κατὰ πᾶσαν ἰδέαν θεωρουμένης. Τρία δὲ σημαίνει ἡ δεινότης, τὸ φοβερὸν καὶ μέγα καὶ καταπληκτικόν, ὡς τό·

Δεινή τε σμερδνή τε. [21]

καὶ τὸ βαθύ τε καὶ ἐπικεκρυμμένον καὶ τὸ πιθανὸν καὶ συνετὸν καὶ εὔκαιρον, ἤτοι τὸ κατὰ καιρὸν χρῆσθαι τοῖς πράγμασι καὶ τὸ αὐξητικόν, ἤτοι τὸ κατὰ αὔξησιν καὶ μείωσιν προχωροῦν, καὶ τὸ ἀκριβὲς καὶ ἐπιτήδειον. Ταῦτα δὲ κατὰ πᾶσαν ἰδέαν θεωρεῖται, οἷον τὸ μὲν μέγα ἐν μεγέθει, τὸ δὲ βαθὺ ἐν δεινότητι καὶ δριμύτητι· τὸ δὲ πιθανὸν ἐν πάσαις ταῖς ἰδέαις, καὶ ἡ πᾶσα σπουδὴ καὶ ὁ σκοπὸς τῷ τεχνικῷ ἐστιν ἐνταῦθα διδάξαι, πῶς τεχνικῶς μεθοδεύσομεν ἐν λόγῳ ἕκαστον ὧν χρήζομεν, εἴτε τῶν σχημάτων, εἴτε τῶν κατὰ ἄλλο τι χρησίμων εἰς ῥητορείαν· καὶ τὸ προοίμιον ὡσανεὶ προθεωρία καὶ ὑπὲρ μερῶν εἴρηται τοῦ λόγου πρός τι χρήσιμον καιροῦ ὄντος

19 cfr. Arsen. Violet. p. 41. 20 Vind. ἔλλημμα. 21 Il. *E*. 742.

και ὁ ἄλλος ὁ ἐπὶ ἴσης ἀφεστῶς ἀπὸ τοῦ μέσου, ἐπειδὴ καὶ ὁ μείζων τοῦ ἐλάττονος ἐστὶ μείζων, καὶ ὁ ἐλάττων τοῦ μείζονος ἐλάττων· ὥστε καὶ ὁ ΑΒ τοῦ ΓΔ μείζων ἐστίν. ἐπεὶ οὖν ὁ μὲν ΑΒ ἐφάπτεται τοῦ ΕΖΗ κύκλου κατὰ τὸ Ζ, ὁ δὲ ΓΔ τέμνει αὐτὸν κατὰ τὰ Η, Ζ, ὁ ΓΔ ἄρα τοῦ ΑΒ μείζων ἐστίν. ἀλλὰ καὶ ἐλάττων· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ ΑΒ τοῦ ΓΔ μείζων ἐστίν. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἐλάττων· ἴσος ἄρα ὁ ΑΒ τῷ ΓΔ.

Ἐὰν ἄρα ἐν κύκλῳ κτλ. ὅπερ ἔδει δεῖξαι.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου, οὐ τέμνουσιν ἀλλήλας δίχα.

Ἐν κύκλῳ γὰρ τῷ ΑΒΓΔ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε μὴ διὰ τοῦ κέντρου· λέγω ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.

Εἰ γὰρ δυνατόν, τεμνέτωσαν δίχα, ὥστε ἴσην εἶναι τὴν μὲν ΑΕ τῇ ΕΓ, τὴν δὲ ΒΕ τῇ ΕΔ. εἰ μὲν οὖν ἑκατέρα τῶν ΑΓ, ΒΔ διὰ τοῦ κέντρου ἐστίν, δῆλον ὅτι τὸ Ε κέντρον ἐστὶ τοῦ ΑΒΓΔ κύκλου. εἰ δὲ οὐδετέρα, εἰλήφθω τὸ κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΕ. ἐπεὶ οὖν εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΖΕ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΕΑ. πάλιν, ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΖΕ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΒΔ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΕΔ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΕΑ ὀρθή· ἡ ὑπὸ ΖΕΑ ἄρα τῇ ὑπὸ ΖΕΔ ἴση ἐστίν. καὶ εἰσὶν ἐφεξῆς. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστίν· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΕΔ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΕΑ ὀρθή· αἱ ἄρα ὑπὸ ΖΕΑ, ΖΕΔ ταῖς ὑπὸ ΖΕΔ, ΖΕΓ ἴσαι εἰσίν· καὶ εἰσὶν ἐφεξῆς. αἱ δὲ ἐφεξῆς γωνίαι ἴσαι ἀλλήλαις ὀρθαί εἰσι

φαινομένης δεινότητος, οὐκ οὔσης δέ· ἀνὴρ ἐπισπουδάζων πλὴν εἰς ὑστέρημα· οὐ διαλαμβάνει δὲ περὶ λέξεως τῆς ἁπλῶς τι σημαινούσης, ἀλλὰ τῆς ἐν καιρῷ τινι μερικῷ καὶ περιστάσει μετά τινος ἤθους λεχθείσης, ὅθεν καί τινές φασιν, ὅτι διδάσκει μέθοδον τοῦ πότε δεῖ καθολικαῖς λέξεσι χρῆσθαι καὶ πότε μερικαῖς, ἑκάστη μὲν γὰρ λέξις ἔχει διάνοιαν ἰδίαν, ὡς τὸ δημηγορεῖν τὸ ἐν δήμῳ ἀγορεύειν· ἐν καιρῷ δέ τινι εὑρεθεῖσα μετὰ ἤθους τινὸς ἢ ὀργίλου ἢ εἰρωνικοῦ ἢ θαυμαστικοῦ σημαίνει καὶ ἑτέραν διάνοιαν ἤτοι σημασίαν· οἷον, ὃς τὸν δημηγόρον ἔσχ' ἀγοράων· ἐνταῦθα γὰρ σημαίνει καὶ τὸν κεχαρισμένα λέγοντα καὶ τὸν ἀπαίδευτα· οὐκ ἐπιγέγραπται δὲ μέθοδος δεινότητος, διότι αἱ μέθοδοι τῆς φρονήσεως ἄπειροι οὖσαι οὐ περιγράφονται καὶ διὰ τοῦτο μέρος τινὸς φρονήσεως διαλαμβάνει καταλιμπάνων τὰ λοιπὰ [27] τοῖς ἀκροαταῖς νοεῖν ἀφ' ἑαυτῶν.

ιζ. Ἐθνικὸν γάρ ἐστι καὶ Περσικόν· οὐκ οἶδα τίς ἐστιν εἰπών, πῶς ἐπιφέρει τὸ ἐθνικόν ἐστι, καὶ ὁδοῦ μέτρον ἐστίν; ὅτι τοῦτο δηλοῖ τὸ ἐξ ἀκοῆς αὐτὸ μονον εἰδέναι, οὐ μὴν ἐξ ἐτυμολογίας· τοῦτο οὖν ἐστι τό· „οὐκ οἶδα τί ἐστι," ἀντὶ τοῦ· „οὐκ οἶδα, πόθεν ἐτυμολογεῖται," ὅμοιον τούτῳ, ὡς εἴ τις εἶπεν, ὁ Αἴας τοῦ Αἴαντος, οὐ οἶδα πῶς κλίνεται, πρὸς ὃ πάλιν εἶπεν ἄν τις, εἰ μὴ οἶδας, πῶς εἶπας τὴν κλίσιν, καὶ ὁ θεολόγος, οὐκ οἶδα, οἷς τισι λόγοις ἀναλογίας, τιμῶσι δ' οὖν· εἰπὼν δὲ ἐθνικόν, ὅ ἐστι γενικὸν καὶ καθόλου, ἐπήνεγκε καὶ εἰδικόν, τὸ Περσικόν, εἶτα καὶ τὸ ἔτι μερικώτερον καὶ φανερώτερον τὸ ὁδοῦ μέτρον τριάκοντα στάδια, ὁ δὲ σταθμὸς μίλια εἰσὶν εἴκοσι καὶ ὀκτώ· Περσικὴ λέξις ἐστὶ καὶ ἡ σατραπεία καὶ τὰ σατραπεῖα.

ιή. Σχοῖνος δὲ Αἰγύπτιον. [28] Ἐκ τούτου λέ-

27 Vind. πολλὰ supra scripto λοιπά. 28 Mon. σχοῖν δὲ Αἰγύπτιον· ἐκ τούτου λέγομεν καὶ σχοινοτενῆ (Vind. σχηνοτενῆ.)

γουσι καὶ οἱ ῥήτορες σχοινοτενῆ κῶλα τὰ μακρὰ καὶ ὑπερβαίνοντα τὸ ἡρωϊκὸν, ὡς τό· ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων [29] ἀεὶ προτιθεὶς ὁ μέγας βασιλεύς· ἐνταῦθα γὰρ ἡ πρότασις ὅλη τοῦ προοιμίου διὰ τριῶν κώλων ἐκφέρεται.

ιθ'. Νομικὸν δὲ ὄνομα τὸ τοιοῦτον, [30] πομπεύειν. τοῦτο λέγει Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καὶ ἔστι [31] μεταφορικὸν ἀπὸ τῶν ἐν Διονυσιακαῖς πομπαῖς ἐπὶ [32] τῶν ἁμαξῶν διαλοιδορουμένων ἀλλήλους. ἐν Ἀθήναις γὰρ Διονυσίων ἀγομένων ἀλλήλοις διαλοιδορεῖσθαι ἔθος ἦν, καὶ τοῦτο ἔλεγον πομπεύειν, παρ' ἡμῖν δὲ πομπεύειν ἐστὶ τὸ προέλευσιν ποιεῖσθαι.

Εἰς τὸ αὐτό. [33] Πομπεῖα τὰ ἱερὰ σκεύη, τὰ εἰς πομπὰς κατασκευαζόμενα· πομπεύειν δὲ τὸ λοιδορεῖν καὶ ὑβρίζειν· πομπεία ἡ λοιδορία· ἐν γὰρ ταῖς Διονυσιακαῖς πομπαῖς ἀλλήλοις ἐλοιδοροῦντο καθήμενοι ἐφ' ἁμαξῶν. Ἔστι δὲ καὶ νομικὸν ὄνομα τὸ πομπεύειν, καὶ σημαίνει κυρίως τὸ ἀποπέμπειν· νομικὴ δὲ λέξις ἐστὶ καὶ ἡ συνωνὴ τὰ ἓξ μόδια τῶν παραλίων, καὶ τὰ τέσσαρα τῶν χερσαίων [34] ἀντισιμησίου· ἀντισύνωνον δὲ τὸ ἀντὶ τούτων σημήσιον, καὶ λεῖμμα τὸ κατὰ νόμισμα δικεράτιον καὶ ἑξάφυλλον, [35] καὶ ἔτι ὀκτάφυλλον λαμβανόμενον, τῶν τριῶν ἡ, ἤτοι μιλιαρίσιον ἕν. Ἄλλως εἰς τὸ αὐτὸ ἑτέρου· [36] τὴν πομπείαν αὐτὸς ὁ τεχνικὸς ἡρμήνευσε, καὶ μάλα σαφῶς· εἴληπται δὲ αὐτῷ [37] τὸ τοιόνδε ὄνομα ἀπὸ τῶν λόγων Λυσίου καὶ Ὑπερίδου καὶ Δεινάρχου, πολὺ γὰρ παρ' αὐτοῖς τὸ ὄνομα.

---

29 Mon. ὑποθέσεις καὶ τὰ ἑξῆς. omissis sqq. τῶν λόγων ἀεὶ usque ad κώλων ἐκφέρεται. 30 τοιοῦτον Mon. om. 31 Mon. ἔστιν ἐν μεταφορᾷ. — pro cor, p. 268. 32 ἐπὶ bis in Vind. 33 εἰς τὸ αὐτὸ usque ad litt. κ'. Mon. om. 34 Vind. χερρέων. 35 Vind. ἐξάφαλλον. scr. ἐξάφυλλον. 36 Sunt haec in Par. 37 Par. αὐτὸ ἀπὸ τῶν λόγων Δ. κ. Ὑ. κ. Δ. τὸ τοιοῦ-

κ'. Καὶ ἡ εἰσαγγελία καὶ ἡ φάσις. Ἡ περὶ καινοῦ [38] τινος ἀδικήματος εἰσαγωγὴ, [39] δημοσίου [40] ὁμοίως καὶ ἰδιωτικοῦ, εἰσαγγελία κατωνομάζετο· εἰσήγγελλον δὲ τὴν δίκην πρὸς τὴν βουλὴν οὐδένες ἄλλοι ἢ [41] οἱ πρυτάνεις· εἰ δέ τις τὸν ὑπορύττοντα δημόσιον μέταλλον, ἢ δημόσιον οἶκον ἐξιδιούμενον ἢ κακῶς ἐπιτετροπευκότα εἰσῆγεν εἰς δικαστήριον, ὁ τοιοῦτος φαίνειν ἐλέγετο τὸν ἁλόντα, καὶ ἡ δίκη ἐντεῦθεν ὀνομαζομένη φάσις παρονομάζεται. [42] Ἐπεὶ δὲ ὁ λόγος [43] περὶ τῶν παρὰ Ἀττικοῖς δικῶν, οὐκ ἄκαιρον καὶ ἄλλων τινῶν τοιούτων ὀνομάτων ἐπιμνησθῆναι· ἴσως γὰρ ἐντυχόντες αὐτοῖς ἀλλαχοῦ χάριν τῷ λόγῳ τούτῳ εἴσεσθε· εἰ γοῦν τις κατὰ νόμους ἠτίμωτο παράπεπρεσβευκὼς [44] ἢ ἡταιρηκὼς ἢ μὴ ὠφληκὼς τῷ δήμῳ τὸ ὄφλημα καὶ εἰς δικαστήριον ἤγετο, ἐνδείξει ὑπέκειτο, καὶ ὄνομα τῇ κατηγορίᾳ ἔνδειξις· ἡ δὲ ἐφήγησις ἐδίδοτο κατὰ τῶν ὑποδεξαμένων τὸν φυγάδα τῆς πόλεως, ἢ τῶν κεκλοφότων λαθραίως πρᾶγμα δημόσιον. Εἰ δέ τις ἀναγραφεὶς ἥλω ξενίας, κατηγόρουν αὐτῷ οἱ ὑποπτευκότες καὶ ἡ κατηγορία διαψήφισις ἦν· εἰ δὲ τῶν ψήφων αἱ πλείους τὸν διαψηφισθέντα ἀπήλαυνον, ἀποψήφισις [45] ἐλέγετο ἡ ἀπέλασις· εἰ δ' ὁ ἀποψηφισθεὶς ἀπὸ τῶν δήμων εἰς τὸ κοινὸν δικαστήριον μετετίθετο, ἐφιέναι ἐλέγετο, καὶ ἡ μετάθεσις ἔφεσις ὠνομάζετο· εἰ δὲ λειτουργεῖν τινες ταχθέντες τριηραρχεῖν ἢ οἰκοδομεῖν τὸν καιρὸν ὑπερετίθεντο τῆς λειτουργίας, οἱ ἀντικρινόμενοι τούτοις διαδικασίαν κινεῖν κατ' αὐτῶν ἐνομίζοντο· προβολῆς δὲ καὶ

τον ὄνομα. Sqq. absunt. 38 Mon. καινοῦ. Vind. κοινοῦ. 39 Mon. εἰσαγωγή. Vind. ἀγωγή 40 Vind. δημοσία ὁμ. καὶ ἰδιωτική. secutus sum Mon. 41 οὐδένες ἄλλοι ἢ Mon. om. 42 Mon. παρωνομάζετο. 43 ἐπεὶ δὲ ὁ λόγος usque ad καὶ ὄνομα τῇ ζημίᾳ ἐπωβελία Mon. om. 44 Vind. παραπρεσβευκώς. 45 Vind. ἀποψήφησις.

καταχειροτονίας τοσοῦτόν ἐστι τὸ διάφορον, ὅτι ἡ μὲν προβολὴ ἐπὶ ἐγνωσμένοις ἐστὶν ἀδικήμασι τοῦ κατηγορουμένου, ἡ δὲ καταχειροτονία ἡ σύμψηφος τοῦ νόμου κατ' ἐκείνου ἀπόφασις. Εὐθυδικίας δὲ καὶ παραγραφῆς πολὺ τὸ διάφορον· ἡ μὲν γὰρ περὶ τοῦ μηδέπω εἰσαχθέντος εἰς δικαστήριον πράγματος κοινὴ τῶν συνδιαιτώντων διάγνωσις εὐθυδικία ἐστὶν, ἡ δὲ τῶν ἤδη κεκριμένων καὶ κατὰ νόμους ἀποπεφασμένων δευτέρα πολυπραγμοσύνη καὶ ἀμφισβήτησις παραγραφὴ κατωνόμαται. Παραγράφεσθαι δὲ ἐφεῖται καὶ τοῖς τοιοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοτέθηται· ἡ δὲ τοῦ ἀγραφίου δίκη τοιαύτη ἐστί· σανὶς ἐφ' ἑκάστῳ τῶν δικαστηρίων τοίχῳ τινὶ προσηρμόζετο, καὶ τοῦ ἐκ καταδίκης ὠφληκότος τῷ δημοσίῳ τὸ ὄνομα ἐγράφετο ἐπ' αὐτῷ, καὶ τὸ μέρος αὐτοῦ τοῦ ὀφλήματος· εἰ δέ τις ὠφληκὼς καὶ γραφεὶς λάθρα τὴν γραφὴν ἀπετρίψατο, ὁ γραφόμενος τούτου ἀγραφίου δίκην ἐγράφετο. Οἱ δὲ χωρίον ἢ οἴκημα νομίμως ἐκ καταδίκης ἀπειληφότες καὶ κωλυόμενοι ἐξοὐλης ἐγράφοντο τοὺς ἐκεῖθεν αὐτοὺς ἀπελαύνοντας· ἀρχαῖον γὰρ καὶ Ἀττικὸν ὄνομα τὸ ἐξίλλειν, ὅπερ οἱ μεταγενέστεροι ἑλληνικώτερον ἐξελεῖν λέγουσι, τουτέστιν ἀπελαύνειν τῶν νενομισμένων· εἰ δέ τις δοῦλος δοκῶν τοῖς νομιζομένοις δεσπόταις δίκην ἐλάγχανεν, ἀποστασίου δίκη κατωνομάζετο, διαγραφὴ δὲ ἡ ἀπαλλαγὴ τῆς δίκης ἐλέγετο· ὥσπερ λῆξις δίκης τὸ καταγγεῖλαι κρίσιν τῶν ἰδιωτικῶν ὑποθέσεων, καὶ λαχεῖν μὲν δίκην τὸ πρώτως κατεισπεῖν, ἀντιλαχεῖν δὲ τὸ ἀντικληθῆναι, τὸ δὲ διαλαχεῖν οὐκ ἐπὶ τῶν δικῶν λέγεται, ἀλλ' ἐπὶ τῆς τῶν χρημάτων νεμήσεως· ἐπεὶ δὲ πάλιν τοῖς Ἀττικοῖς καὶ τοὺς γραφομένους ἐπόμνυσθαι, ὡς ἀληθὴς ἡ γραφὴ, καὶ τοὺς καθ' ὧν γράφονται, ὡς οὐδὲν εἰς ψευδολογίαν ἀντιθήσουσιν ἐν τοῖς δικαστηρίοις, εἴθιστο, διὰ τοῦτο ὁ μὲν τοῦ ἐγκαλοῦντος ὅρκος διωμοσία ἐλέγετο, ὁ δὲ τοῦ

ἀπολογουμένου ἀντωμοσία· εἰ δὲ πρὸς τούτοις καὶ ὁ δικαστὴς ἐπώμνυτο, ἀμφιορκία τὸ σύμπαν κατωνομάζετο· τὸν δὲ ὑποπτευόμενον εἰς γραφὴν, ὑπερτιθέμενον δὲ τὸν καιρὸν ὁ ὑποπτεύων ἠξίου κατηγορεῖν· ἢν δ' ἐδόκει εἰρωνευόμενος μὴ βούλεσθαι ἐπόμνυσθαι κατηναγκάζετο, καὶ τὸ ὠμοσμένον ἐξωμοσία ὠνόμαστο· τὸ δὲ καταγγεῖλαι δίκην ἑταιρήσεως ἐπαγγελία δοκιμασίας ἐλέγετο· τὴν μέντοι ἀπόφασιν οὐχ ὡς ἡμεῖς νῦν ὁ Ἀττικὸς νόμος ἐξελαμβάνετο, ἀλλ' ἐπεὶ ἡ τῆς τριηραρχίας ἀρχὴ ἐπικίνδυνός τις δοκοῦσα τὸν τριηραρχοῦντα κατήπειγεν[46] ἀντιμετρῆσαι τῷ κινδύνῳ τὰ ἑαυτοῦ, ἡ καταγραφὴ τούτων καὶ ὁ ἐπὶ τούτοις ὅρκος ἀπόφασις ἦν. Ἡ δὲ ἐπωβελία ἀπὸ τοῦ συμβεβηκότος τὴν συνθήκην εἴληφεν· ἐπειδὴ γὰρ πολλοὶ[47] τῶν μὴ ἐπιτιθέντων τῇ γλώττῃ χάλινον τοῖς ἐπιεικέσι καὶ πρᾴοις προσεφύοντο, ὡς πλείους τόκους τοῦ δέοντος ἐπὶ ναυτικοῖς κεκερδηκόσι νομίσμασι, καὶ οἱ μὲν ἀπεδείκνυον, οἱ δὲ πλείους μάτην κατ' αὐτῶν ἐκεκράγεσαν τὸν μὲν ἐπιδεικνύοντα ἀπροστίμητον εἶων, τὸν δὲ συκοφαντήσαντα ὀβολοῦ καταβολὴν ἐζημίουν, καὶ ὄνομα τῇ ζημίᾳ ἐπωβελία. Καὶ[48] ἡ φάσις παρὰ μὲν τοῖς Ἀττικοῖς νομικὴ ἐστι λέξις· παρ' ἡμῖν δὲ φάσις ἡ τῶν δικαστῶν ἀπόφασις, παρὰ δὲ τοῖς φιλοσόφοις φάσις καὶ ἡ κατάφασις καὶ ἡ ἀπόφασις. Καὶ ἄλλα τοιαῦτα ὀνόματα νομικά ἐστι. Τοιαῦταί εἰσι[49] καὶ παρ' ἡμῖν νομικαὶ λέξεις, φάμουσα, τουτέστι[50] γράμματα λοιδορίας περιέχοντα, καὶ φάκτου ἄγνοια, τουτέστι πράγματος, καὶ δεφενδεύειν[51] τὸ ὑπερασπίζεσθαι καὶ πάτρων[52] ὁ ἐλευθερωτὴς, καὶ

---

46 Vind. κατήπειγεν. 47 Vind. πολλή. 48 Mon. παρά μὲν οὖν τοῖς νομικοῖς ἡ φάσις νομική ἐστι. παρ' ἡμῖν δέ. 49 Mon. τοιαῦται λέξεις καὶ παρ' ἡμῖν εἰσι νομικαί. 50 τουτέστι Mon. om. idem legit λοιδορίαν. 51 καὶ δεφενδεύειν usque ad θήκης ἀναπλήρωσις Mon. om. 52 in Vind. supra scriptum:

κωδίκιλλος ἐλλιποῦς θήκης [53] ἀναπλήρωσις· καὶ πάλιν ἐθνικαὶ λέξεις, [54] τὰ σέκρετα παρὰ Ῥωμαίοις, καὶ ἀσηκρῆτις [55] ὃ τὰ [56] ἀπόῤῥητα τοῦ βασιλέως εἰδὼς, καὶ ἀρκάριος [57] ὁ θησαυροφύλαξ· ἄρκα γὰρ παρὰ Ῥωμαίοις ἡ παρ' ἡμῖν ἄρκλα, καὶ στεγνόμα τὰ ἐνόρκια.

Εἰς τὸ καὶ ἡ εἰσαγγελία καὶ ἡ φάσις ἐπιβολὴ ἐξηγήσεως. εἰσαγγελία ἐστὶν ἡ ἀπαγγελία τοῦ δικαζομένου ἢ δίκη τις δεομένη τῆς τῶν δικαστῶν ἁπάντων συνελεύσεως, ὅτε ἀγνοεῖταί τι πρᾶγμα, περὶ οὗ νόμος οὐδεὶς ὁρίζεταί τι· ἡ εἰσαγγελία ἐστὶ δημοσίου τινὸς δίκης ὄνομα, ὥσπερ καὶ ἡ ἔνδειξις καὶ εἴδη αὐτῆς τρία· ἡ μὲν γάρ ἐστιν ἐπὶ μεγίστων δημοσίων ἀδικημάτων μὴ δεχομένων [58] ἀναβολὴν καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε, μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι, καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον ἡ κατάστασίς ἐστιν· ἑτέρα δὲ ἡ ἐπὶ ταῖς κακώκεσιν· αὗται δὲ εἰς τὸν ἄρχοντα καὶ τὸν διώκοντα ἀζήμιοι· τρίτη ἐστὶν ἡ κατὰ τῶν διαιτητῶν· εἰ γάρ τις ὑπὸ διαιτητοῦ ἤτοι κριτοῦ ἀδικηθείη, ἐξῆν τοῦτον εἰσαγγέλλειν πρὸς τοὺς δικαστάς· εἰ γοῦν ἑάλω, ἠτιμοῦτο· καὶ ἔτι· φάσις ἐστὶ δίκη κατὰ τῶν ἐχόντων δημόσιόν τι πρᾶγμα καὶ καρπουμένων αὐτὸ μὴ πριαμένων, οἷον ἀγρὸν ἢ οἰκίαν ἢ ἄλλο τι, καὶ ὁποῖα ἦσαν τὰ τοῦ ἁγίου Ῥωμανοῦ, ἃ ἐλέγοντο οἶκοι καὶ κουβούκλεια· οἶκοι μὲν ὡς περιεκτικὰ οἰκημάτων, κουβούκλεια δὲ, ὡς ἐξέχοντα τῶν ἄλλων· λέγεται δὲ φάσις παρὰ τὸ φαίνειν οἰκεῖον τὸ τοῦ δημοσίου πρᾶγμα· λέγεται φάσις καὶ ἡ ἀπόφασις καὶ ἡ ψῆφος τῶν δικαστῶν, ἔτι ὅσα ἔμφασιν ἔχει δίκης ἢ ἐγκλήσεως ἢ πολιτικοῦ τινος πρά-

δ πρὸς τάξιν ἔχων. 53 Vind. διανοίας. superscriptum θήκης| 54 Vind. ἐθνικὴ λέξις. Mon. ἐθνικαὶ λέξεις. 55 in Mon. divisim: ἀ σηκρῆτις. in Vind. et impr. in unum juncta. 56 Vind. ὅταν. 57 καὶ ἀρκάριος usque ad litt. κά. Mon. om. 58 Vind. δεχομένως.

γματος, νομικά ἐστι, ὡς τὸ μεθώδευσε τὸ χρέος ἀντὶ τοῦ· ἀπήτησε, καὶ γνωσιγραφία, ἡ τῶν δικαστῶν ἀπόφασις, μετὰ γὰρ τὸ γνῶναι ἀποφαίνονται· νομική ἐστι καὶ τὸ προκριματίζεται ἀντὶ τοῦ βλάπτεται, καὶ πρόκριμα ἡ βλάβη, καὶ ἐπερώτησις ἡ ζημία, καὶ περιγραφὴ ὁ περιδραγμὸς, καὶ ἰσοκώδιον τὸ τὸ ἴσον τῆς ἑκάστου δυνάμεως παρέχον, καὶ τραδιτίων ἡ παράδοσις. Μικτὰ δέ εἰσι τὰ νόμιμα, ἔχουσι γὰρ καὶ Ῥωμαϊκὰς καὶ Ἑλληνικὰς λέξεις, τὸ δὲ κεράτιον οὐκ ἔστι Ῥωμαία λέξις, ἀλλ' Ἑλληνική, ἐτυμολόγως [59] γὰρ μᾶλλον δὲ λέγεται κερμάτιον, καὶ ὥσπερ ἡ ἄκαινα καὶ ὁ πῆχυς ἐπὶ τῶν συνεχῶν ποσῶν εἴρηται, οὕτω καὶ τὸ κεράτιον ἐπὶ τοῦ διακεκριμένου ποσοῦ, καὶ τὸ λεῖμμα, ὃ [60] λέγουσιν ἀλλάγιον τοῦ λογαρίου, οὐκ ἔστι κατά τινας νομικόν· ὁ δὲ κῆνσος εὕρηται παρὰ Καίσαρος, καὶ ἐκ τούτου ἐκηνσεύοντο οἱ ἄνθρωποι, τουτέστι φόρους ἀπητοῦντο· καὶ ἡ ἐξατορία καὶ τὸ συνωνὴ καὶ τὸ καπνικὸν Ῥωμαϊκόν ἐστιν ὄνομα, καὶ συνωνὴ ἡ σὺν τῷ ὄνῳ κομιζομένη· εὑρίσκονται [61] καὶ στίχοι Ῥωμαϊκοὶ ἢ καὶ στιχεῖα· ἦν ὁ φίλος τι θέλει λαβεῖν, δόμινε, φησὶ, φράτερ δᾶ μι· εὐθὺς ἔγραψα ἐγὼ, αὐτὰρ ἐγὼ οὐκ ἐθέλω δόμινε, οὐ γὰρ ἔχω δόμεναι. [62]

Ἔτι εἰς τὸ ἡ εἰσαγγελία καὶ ἡ φάσις. Εἰσαγγελία ἐστὶν ἡ εἰσαγωγὴ τῆς δίκης, ὡς ἐὰν εἴπῃς, [63] κατηγορῶ Νικίου προδοσίας, ἢ Αἰσχίνου παραπρεσβείας ἢ Θεμιστοκλέους μηδισμοῦ. Φάσις δὲ καὶ ἔνδειξις καὶ ἀπαγωγὴ ὀνόματα καὶ αὐτὰ δικῶν, καὶ ἔστιν ἡ μὲν φάσις ἡ ψιλὴ προσαγγελία, ἡ δὲ ἔνδειξις τὸ ἀποδεῖξαι τὸ προσαγγελθὲν, ἡ δὲ ἀπαγωγὴ ἡ ψῆφος τῶν δικαστῶν, ἡ τὴν [64] τιμωρίαν ἐπάγουσα τῷ κατακριθέντι. Εἰσαγ-

59 Vind. ἐτυμολογικῇ. ad marg. ἐτυμολόγως. 60 Vind. τό. 61 Vind. εὕρονται. 62 Anthol. Planud. L. I. εἰς κόλακας. p. 91. ed. Brod. — Sqq. εἰσαγγελία — τῷ κατακριθέντι v. 29. habet Par. 2977. 63 Par. εἴπω, κατηγορῶ [Vind. κατηγορῶν] N. πρ. καὶ Αἰσχ. π. καὶ Θεμ. 64 τὴν Par. om.

γελία καλεῖται ἡ περὶ τῶν κοινῶν καὶ δημοσίων ἀδικημάτων εἰσαγομένη δίκη ὑπὸ τῶν πρυτανέων, περὶ ὧν διαῤῥήδην μὲν οὐδὲν λέγουσιν οἱ νόμοι, συγχωροῦσι δὲ κρίσεις γίνεσθαι, καὶ τοῦτό ἐστιν ὁποῖον τὸ ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς μελετώμενον, τὸ τῶν ἀγράφων ἀδικημάτων.

κά. Τεχνικὰ δὲ ἐκεῖνα· ζεύξαντες τὰς παλαιὰς ναῦς· ναυπηγικὸν ὄνομα·[65] τοῦτο[66] ἐν τῷ πρώτῳ τοῦ Θουκυδίδου εἴρηται, λέγει δὲ περὶ τοῦ πρὸς Κερκυραίους τῶν Κορινθίων πολέμου, καὶ ὅτι ἔπεμψαν οἱ Κερκυραῖοι πρὸς τοὺς Κορινθίους αἰτοῦντες διαλλαγάς· πλὴν ἐπ' ἄμφω παρεσκευάζοντο,[67] λόγῳ μὲν πρὸς εἰρήνην, ἔργῳ δὲ πρὸς παράταξιν. — Γράφει[68] δὲ οὕτως· „Ἐπειδὴ δ' ἐγένοντο ἐν Ἀκτίῳ τῆς Ἀνακτορίας γῆς, οἵ τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστιν, ἐπὶ τῷ στόματι τοῦ Ἀμβρακικοῦ κόλπου, οἱ Κερκυραῖοι κήρυκά τε προὔπεμψαν τοῖς Κορινθίοις ἐν ἀκατίῳ, ἀπεροῦντα μὴ πλεῖν ἐπὶ σφᾶς, καὶ τὰς ναῦς ἅμα ἐπλήρουν ζεύξαντες τὰς παλαιὰς, ὥστε πλοίμους εἶναι, καὶ τὰς ἄλλας ἐπισκευάσαντες.“ λέγει δὲ ταῦτα, ὡς εἴρηται περὶ τοῦ πρὸς Κερκυραίους τῶν Κορινθίων πολέμου, καὶ ὅτι ἔπεμψαν οἱ Κερκυραῖοι αἰτοῦντες διαλλαγὰς, τὸ γὰρ ἀπεροῦντα τοῦτο σημαίνει τὸ ἀπαγορεύειν· ὡς ἂν εἰ τοῦτο ἔλεγε, πρὶν ἄψεσθαι τῶν ὅπλων, λογίσασθε τὸν εἰσέπειτα κίνδυνον, στήσατε μέχρι προοιμίων τὴν τόλμαν, μὴ μηκύνωμεν τὸν πόλεμον, λύσατε ἐν ἀρχῇ μάχην, τέλος οὐχ ἕξουσαν, καὶ ἂν ἄρξησθε πολέμου, ὁρᾶτε μὴ μεταγνῶτε· τὸ δὲ καὶ τὰς ναῦς ἅμα ἐπλήρουν, τοῦτο δηλοῖ, ὅτι ἐπ' ἄμφω παρεσκευάζοντο, ὡς εἴρηται· λόγῳ μὲν πρὸς εἰρήνην, ἔργῳ δὲ πρὸς

65 ναυπηγικὸν ὄνομα Mon. om. Vind. ναυπηγκόν. 66 Mon. καὶ τοῦτο. 67 Mon. et Vind. παρασκευάζοντο. 68 Vind. γράφη. Thuc. I. 29. Mon. haec usque ad τὸ δὲ ζεύξαντες τὰς παλαιὰς ναῦς om.

παράταξιν, ὡς ἂν εἰ ἔλεγεν· ἅμα πρεσβευόμενοι τοὺς ἀμυνομένους ηὐτρέπιζον· ἐμίριζον τοὺς λογισμοὺς, λόγων πείρᾳ καὶ πραγμάτων παρασκευῇ. Τὸ δὲ [69] ζεύξαντες τὰς παλαιὰς ναῦς, ἀντὶ τοῦ ζυγώματα [70] κρατύναντες κεῖται· ζυγώματα δὲ [71] καλοῦνται τὰ ξύλα τὰ ἀπὸ τοῦ τοίχου τῆς νεὼς πρὸς τὸν ἕτερον διατείνοντα τοῖχον, ἐφ' ᾧ [72] τὴν ναῦν σφίγξαι καὶ συναγαγεῖν, ἵνα μὴ χαυνωθῇ· ἢ ζυγώματα τὰ ξύλα τὰ ἐμβαλλόμενα ταῖς σανίσιν, ὥστε συζεῦξαι τὰς σανίδας διῃρημένας ἔστιν ὅτε, ὡς ἂν εἰ ἔλεγε, προεθεράπευον οἷς [73] ἔδει τὰς ναῦς, ἵνα μὴ [74] ῥαγῶσι τῷ κλύδωνι, ηὐτρέπιζον ἀντέχειν θαλάσσῃ τὰς μαχομένας πρὸς ὕδωρ· εἰπὼν δὲ τὰς ἄλλας ἐπισκευάσαντες, τὰς μὴ οὔσας μὲν παλαιὰς φιλοκαλήσεως δέ τινος δεομένας ἐδήλωσε· ἐπισκευάσαι γάρ ἐστι τὸ φιλοκαλῆσαι καὶ καλλωπίσαι, οἷον μιλτῶσαι, πισσῶσαι· διαφέρει δὲ τὸ κατασκευάσαι τοῦ ἐπισκευάσαι, ὅτι τὸ μὲν κατασκευάσαι ἐστὶ τὸ τὸ μὴ ὂν ποιῆσαι καὶ ὥσπερ οἰκοδομῆσαι, ἐπισκευάσαι δὲ τὸ φιλοκαλῆσαι τὰ ὄντα. Τὸ δὲ Ἀνακτόριον πόλις ἐστὶ τῆς ἠπείρου περὶ τὸν Ἀμβρακικὸν [75] καλούμενον κόλπον, ὃς καὶ αὐτός ἐστι τῆς ἠπείρου, ταῦτα δὲ τῆς Ἀνακτορίας γῆς μέρος τι ἐξέχον ἐστὶν ἐπὶ θάλασσαν, ὅπερ καλεῖται Ἄκτιον, ἴσως παρὰ τὸ εἶναι ἐν ἀκτῇ καὶ αἰγιαλῷ· ἀκτὴν γὰρ καλοῦσι πάντα τόπον παραθαλάσσιον παρὰ τὸ ἄγνυσθαι τὰ κύματα περὶ τὸν τόπον· τὰ δὲ τοιαῦτα ἐναργῆ ποιεῖ τὸν λόγον καὶ σαφῆ· πάσης γὰρ ἡμᾶς ἀπορίας ἐκτὸς καθίστησιν· ἵνα γὰρ μή τις εἴπῃ ἐν ποίᾳ Ἀκτίῳ, ἐπάγει τῆς Ἀνακτορίας γῆς, ἵνα δὲ μήτις ζητῇ ἐν ποίῳ μέρει, φησὶν, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνος· ποῦ δὲ κεῖται τὸ ἱερὸν; ἐπὶ τοῦ στόματος

69 Mon. γάρ. 70 Reisk. conjicit: ζυγώμασι. 71 δὲ Mon. om. 72 Mon. ἐφ' αὖ. pro quo Reisk. scripsit ἀφ' οὗ. 73 Mon. εἰς. 74 ἵνα μὴ ῥαγῶσι usque ad litt. κβ'. Mon. om. 75 Vind. bis ἀμπρακικοῦ.

τοῦ Ἀμβρακικοῦ κόλπου. Κυρίως δὲ τὸ ζεύξαντες ἐπὶ ἵππου καὶ βοὸς λέγεται, ἐπὶ δὲ νηὸς οὐδαμῶς· σημαίνει δὲ καὶ τὸ ἐξαρτήσαντες ἔξω ἐπὶ τῷ καταφατίσαι. εἰ δὲ λέγει τις, ὅτι τροπικὴ λέξις ἐστὶ, καὶ πῶς ἐστι τεχνικὴ ἤτοι ναυπηγικὴ, καὶ γὰρ ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων καὶ βοῶν ἔστι· φαμὲν, ὅτι καὶ ἡ τροπὴ ἀπὸ τέχνης εἴρηται κατὰ τὴν ποιητικήν, τρόποι γὰρ ποιητικοὶ εἴκοσι πέντε. Ἔτι τὸ τεχνικὴ δύο σημαίνει τὴν ἀπὸ τῆς τέχνης, ὡς τὸ λιπὰς ὄρνις ἡ λιπώδης, καὶ τὸ ἐγομφίασαν οἱ ὀδόντες ἀπὸ τῶν γόμφων τῶν ἥλων, ὅ ἐστιν ἠμωδίωσαν, καὶ τὴν τῆς τέχνης δηλωτικήν. Ἔτι τεχνικὴ λέξις ἡ οἰκεία τέχνης τινὸς, οἷον ἢ γεωργίας ἢ ναυπηγίας, ἢ ἄλλης τινὸς τεχνικὴ λέξις ἐστὶ, καὶ τὸ τραγέλαφος ἢ σκινδαψὸς ἢ βλίτυρον· ὅτε γὰρ παραδοξολογοῦμεν, χρὴ καινουργεῖν παραδόξους λέξεις, ὡς τὸ βουνόθρεπτον, καὶ ἡ τυπουργία, καὶ ἡ τρεφουργία· τεχνικὴ λέξις ἐστὶ καὶ τὸ σμερὶν, ὅ ἐστιν εἶδος κοπτομένου λίθου εἰς κοπὴν καὶ πρισμὸν μαρμάρου, φύεται δὲ ἐν τῇ Σμύρνῃ, καὶ λέγεται σμύρνιον, καὶ τὸ μὲν σμερὶν ὑπὸ τὴν τεχνικὴν ἀνάγεται λέξιν, τὸ δὲ σμύρνιον ὑπὸ τὴν ἐθνικήν· ἔτι τὰ τεχνικὰ τῶν ὀνομάτων ὅτε μὲν ἰδιόσημα ἐστὶν, ὡς τὸ μοσχεύειν καὶ τὸ γνώμων, ὅ ἐστι γεωμετρικὸν, ὅτε δὲ ἀπὸ μεταφορᾶς λαμβάνονται, ὡς τὸ ζεύξαντες τὰς ναῦς.

κβ'. Καὶ' δὶς διὰ πασῶν [1] μουσικόν ἐστιν· [2] αἱ μουσικαὶ πᾶσαι συμφωνίαι πέντε εἰσὶν, ἡ διὰ τεσσάρων, ἡ διὰ πέντε, ἡ διὰ πασῶν ἅμα καὶ διὰ πέντε, καὶ ἡ τελειοτάτη, ἡ δὶς διὰ πασῶν· καὶ ἡ μὲν διὰ τεσσάρων ἔχει τὸν ἐπίτριτον λόγον, ἡ δὲ διὰ πέντε τὸν ἡμιόλιον· ἡ δὲ διὰ [3] πασῶν τὸν διπλάσιον· ἡ δὲ διὰ πασῶν ἅμα καὶ διὰ πέντε τὸν τριπλάσιον· τὸν δὲ τετραπλάσιον ἡ δὶς διὰ πασῶν. ταῦτα δὲ πάντα [4] καὶ ἀριθμῶν ἴδια· ἡμιόλιος

1 Mon. διὰ τεσσάρων. 2 ἐστὶν Mon. om. 3 Mon. ἡ δὲ καὶ διὰ πασῶν. 4 ταῦτα δὲ πάντα usque ad litt. κγ'. Mon. om.

μὲν γάρ ἐστιν ὁ τρία τοῦ δύο, ὅτι ἔχει τὰ δύο καὶ τὸ ἥμισυ αὐτοῦ· ἤτοι τὸ ἓν, ἐπίτριτος δὲ ὁ τέσσαρα, ὅτι ἔσχατον τρία καὶ τὸ τρίτον αὐτοῦ, ὅπερ ἐστὶ τὸ ἕν· ἡ δὲ ς', τοῦ τρία διπλάσιος, καὶ ὁ ιβ' τοῦ δ' τριπλάσιος· τετραπλάσιος δὲ ὁ ή τοῦ β'. εἰ μὲν οὖν οὕτως ἔχουσιν αἱ χορδαὶ, ὡς ὁ β' πρὸς τὸν δ', καὶ ὁ δ' πρὸς τὸν ή, ἔστι μὲν ὁ λόγος τετραπλάσιος ἐκ δύο διπλασίων συνεστὼς, καλεῖται δὲ διὰ πασῶν· τελειότατος[5] δὲ λόγος ἐν μουσικοῖς ὁ δὶς διὰ πασῶν· οὐδὲ γὰρ ὥσπερ οἱ ἀριθμοὶ εἰς ἄπειρον αἴξονται, οὕτω καὶ οἱ τῶν χορδῶν λόγοι· ἡ γὰρ πολλὴ τάσις ῥῆξιν ἐργάζεται τῶν φθόγγων· ἄχρις οὖν τοῦ τετραπλασίου λόγου αἴξεται, πάλιν δὲ οὐδὲ ἄχρι πολλοῦ μειοῦται, ἡ γὰρ πολλὴ ἄνεσις εἰς τὸ σιγᾷν τὰς χορδὰς περιάγει, καὶ διὰ τοῦτο πάλιν ἡ ἐσχάτη μείωσις ἄχρι τοῦ ἐπιτρίτου ἥκει λόγου. Εἰδέναι[6] δὲ δεῖ, ὅτι[7] ὅσον πρὸς τὴν ἡμετέραν γνῶσιν καὶ κατάληψιν οὐκ ἠδυνήθημεν εὑρεῖν τὸ δὶς διὰ τεσσάρων, ἐν οἷς ἀνέγνωμεν ἁρμονικοῖς βιβλίοις, πλὴν ἐξ ἀκολουθίας τοῦ διὰ τεσσάρων καὶ διὰ πέντε καὶ διὰ πασῶν, ἔστιν εἰπεῖν καὶ περὶ τοῦ δὶς διὰ τεσσάρων· εὕρηται γὰρ ἡμῖν ἐν τοῖς τοῦ Θέωνος ὑπομνήμασιν, ἐν οἷς περὶ ἁρμονίας διαλαμβάνει,[8] καὶ δὶς διὰ πέντε καὶ ἀκόλουθόν[9] ἐστι καὶ δὶς διὰ τεσσάρων παρὰ ἁρμονικοῖς φέρεσθαί τι μελῴδημα,[10] ἀναγκαῖον δὲ πρότερον εἰπεῖν, τί τὸ διὰ τεσσάρων, καὶ τὰ ἑξῆς ἀπηριθμημένα· εἶθ' οὕτως καὶ περὶ τοῦ δὶς διὰ τεσσάρων. Τόνος μὲν οὖν ἐστι τόπος ἀμέλεστος φωνῆς· ἀμέλεστος δὲ εἴρηται, διότι κενός ἐστι μέλους τινὸς, ὥσπερ τόπος κενὸς σώματος, διὰ τοῦτο γὰρ καὶ διαφόρων σω-

5 Vind. τελειότητος. 6 Εἰδέναι δὲ δεῖ usque ad μελῴδημα ad marg. adjecta sunt in Med. 1., qui passim quaedam ex uberiore commentario ad marginem adjecta habet. 7 ὅτι Vind. om. est in Med. 1. 8 Vind. διαλάβει. 9 Vind. ἀκόλουθον. 10 Vind. μελῴδομα.

μάτων ἐστὶ δεκτικός· διά τοι τοῦτο καὶ ὁ τόνος ἀμελέστερος εἴρηται, ὅτι πλεόνων ἐστὶ μελῶν δεκτικὸς, διὰ τεσσάρων οὖν ἐστι δύο τινῶν καὶ ἡμιτονίου· τὸ δὲ ἡμιτόνιον οὐχ ἥμισυ, ὡς οἴεται Ἀριστόξενος,[11] τόνου ἐστὶ, ἀλλ' ἔλαττον τόνου· ὁ γὰρ τόνος ἐπογδόου λόγον ἔχει, ἐπόγδοος δέ ἐστιν ὁ ἔννατος ἀριθμὸς, ὃς οὐ διαιρεῖται δίχα· οὐκ ἄρα ἥμισυ τόνου τὸ ἡμιτόνιον· διὰ πέντε δέ ἐστι τριῶν καὶ ἡμιτόνιον· διὰ πασῶν δὲ οὐχὶ ἓξ τόνων, εἴρηται γὰρ ἤδη, ὅτι τὸ ἡμιτόνιον οὐκ ἔστιν ἥμισυ τόνου, ἀλλὰ πέντε τόνων καὶ δύο ἡμιτόνων· διὰ πέντε δὲ καὶ διὰ πασῶν, ἐννέα τόνων· ἀκόλουθον δ' ἂν εἴη καὶ τὸ δὶς διὰ τεσσάρων τεσσάρων εἶναι τόνων, καὶ δύο ἡμιτονίων· ἐβουλόμην τούτῳ καὶ ἕτερα ἁρμονικὰ θεωρήματα ἐπισυνάψαι, ἀλλ' ἐπεὶ ἱκανὰ καὶ ταῦτα ἀποπλῆσαι τὰς τῶν νέων ψυχὰς, ἀρκεσθησόμεθα τούτοις. Ἔτι· τὸ δὶς διὰ πασῶν τοιοῦτόν ἐστιν, ἡνίκα τέσσαρες νευραὶ κεῖνται ἐν τῷ ὀργάνῳ, ἡ μὲν πρώτη ἢ καὶ νήτη καλουμένη ἦχον ἀποτελεῖ βαρὺν, ἡ δὲ δευτέρα, ἡ καὶ παρανήτη, μέσον, ἡ δὲ τρίτη, ἡ καὶ παρυπάτη, παράμεσον· ἡ δὲ τετάρτη, ἡ καὶ ὑπάτη, τὸν ὀξύν· ὅτε οὖν τῇ νήτῃ καὶ τῇ ὑπάτῃ προσεγγίζει[12] ὁ μουσικὸς, ποιεῖ ἕνα φθόγγον ἐκ τῶν τεσσάρων νευρῶν, ὅτε[13] δὲ τῇ παρυπάτῃ καὶ τῇ παρανήτῃ, ποιεῖ δεύτερον, καὶ τοῦτό ἐστι δὶς διὰ τεσσάρων. Ἑτέρου ἐξηγητοῦ. Οἰκεῖα ὀνόματα· μουσικῶν εἰσιν ἡ νήτη καὶ ἡ παρανήτη, καὶ ἡ ὑπάτη καὶ ἡ παρυπάτη, νήτη μὲν ἡ ἐσχάτη, παρανήτη δὲ ἡ πρὸ τῆς ἐσχάτης· ὑπάτη δὲ ἡ πρώτη, παρυπάτη δὲ ἡ μετὰ τὴν πρώτην· κρεῖσσον δὲ τὸ ἀνωτέρω πρὸ τούτου γραφέν.[14] Ἄλλως εἰς τὸ δὶς διὰ τεσσάρων. Τὸ διὰ τεσσάρων ἐκ τεσσάρων μὲν φθόγγων συνίσταται, τριῶν δὲ δια-

11 Lib. I. p. 21. infr. ed. Meibom. 12 Vind. προσεγγίζειν. 13 Vind. ὅτι. 14 Vind. γραφή.

διαστημάτων· ἀναλογεῖ δὲ ὁ μὲν φθόγγος ὅρῳ προτάσεως, τὸ δὲ διάστημα αὐτῇ τῇ προτάσει· διὰ τοῦτο οἱ τέσσαρες φθόγγοι τρία διαστήματα ἔχουσιν, ὥσπερ οἱ τέσσαρες ὅροι τρεῖς προτάσεις. Μετὰ δὲ τὸ διὰ τεσσάρων ἔστι τὸ διὰ πέντε, ἐκ φθόγγων μὲν πέντε, διαστημάτων δὲ τεσσάρων. εἶτα τὸ δὶς διὰ πασῶν, ἐκ φθόγγων μὲν ὀκτὼ, διαστημάτων δὲ ἑπτά· δὶς δὲ διὰ πασῶν λέγεται, ὅτι συμφωνεῖ ὁ ὄγδοος φθόγγος τῷ πρώτῳ κατὰ ἀντίφωνον, ὁ ὀξὺς τῷ βαρεῖ· ἰσοχρόνως καὶ κατὰ ταὐτὸν χρονομένων ἀμφοτέρων τῶν φθόγγων, ὡς πληροῦσθαι τὴν καθ' ὑπαλλαγὴν τῶν φθόγγων ἀνάβασιν μέχρι τοῦ διὰ πασῶν, καὶ πάλιν ἀρχὴν τῶν διὰ πασῶν λαβεῖν πρὸς τὸ δὶς διὰ τεσσάρων, καὶ δὶς διὰ πέντε καὶ δὶς διὰ πασῶν, καὶ φθόγγον φθόγγῳ συμφωνεῖν, τῶν μὲν διὰ πασῶν φθόγγων ὀξυτέρως ᾀδόντων, τῶν δὲ πρὸ τοῦ διὰ πασῶν βαρυτέρως, καὶ τὸ μὲν πρὸ τοῦ διὰ πασῶν ἤτοι διὰ τεσσάρων αὐτὸ τοῦτο διὰ τεσσάρων λέγεται· τὸ δὲ μετὰ τὸ διὰ πασῶν, δὶς διὰ τεσσάρων, ὥσπερ καὶ τὸ διὰ πέντε πρὸ μὲν τοῦ διὰ πασῶν αὐτὸ τοῦτο διὰ πέντε καλεῖται. τὸ δὲ διὰ πασῶν τὸ μὲν πρῶτον οὕτω διὰ πασῶν λέγεται, τὸ δὲ μετὰ τὸ διὰ πασῶν δὶς διὰ πασῶν, ἀπὸ τοῦ ὀγδόου φθόγγου, ὄγδοον καὶ αὐτὸ τῇ τάξει φθόγγον ἐπέχον, συμφωνοῦντα τῷ[16] πρὸ αὐτοῦ ὀγδόῳ φθόγγῳ· ὃν γὰρ λόγον ὁ πρῶτος φθόγγος ἔχει πρὸς τὸν ὄγδοον, εἰς ὃν τὸν διὰ πασῶν συμπεπλήρωται, τὸν αὐτὸν καὶ ὁ ὄγδοος πρὸς τὸν ἀπ' αὐτοῦ καὶ μετ' αὐτὸν ταττόμενον ὄγδοον, εἰς ὃν τὸ δὶς διὰ πασῶν πληροῦται. Διάστημα δὲ λέγεται τὸ ἀπὸ φθόγγου εἰς φθόγγον μεταβαίνειν. Ἔτι διὰ πλείονα σαφήνειαν. Δὶς διὰ τεσσάρων τοῦτο μουσικόν ἐστιν ὄνομα, ὅπερ ἡμεῖς φαμεν ὀκτάχορδον, ἢ τὸ δὶς κροῦον διὰ τεσσάρων χορδῶν, ὥσπερ καὶ τρίχορδον τὸ διὰ τριῶν καὶ ὑπάτη ἡ μέση· μουσικῆς

15 Vind. ἥ. 16 Vind. συμφονοῦντα τό.

γὰρ εἴδη τέσσαρα, νήτη, ὑπάτη, βάρβιτον καὶ τορόν· ἢ τέσσαρές εἰσι χορδαὶ, καὶ ἡ μὲν πρώτη ὑφειμένον ἔχει τὸν φθόγγον, ἡ δὲ δευτέρα ὀξὺν, ἡ δὲ τρίτη ἔτι ὀξύτερον, καὶ ἡ τετάρτη ἔτι ὀξύτερον. ὅταν οὖν τὴν πρώτην χορδὴν κρούσας τις μεταπηδήσῃ τὰς ἐν μέσῳ δύο χορδὰς, καὶ ἔλθῃ ἐπὶ τὴν τετάρτην πρὸς τὸ ποιῆσαι μέλος ὀξὺ ἀπὸ ὑφειμένου, τοῦτο λέγεται διὰ τεσσάρων μέλος, ὅταν δὲ πάλιν ἐπαναστρέψῃ πρὸς τὴν πρώτην χορδὴν ἀπὸ τῆς τετάρτης, καὶ κρούσας αὐτὴν, εἶτα μεταπηδήσῃ ἐπὶ τὴν τετάρτην, λέγεται δὶς διὰ τεσσάρων μέλος, ἐπεὶ καὶ τεταρταῖος λέγεται ὁ παρὰ τὴν πρώτην ἡμέραν εἰσβάλλων, εἶτα διαλείπων δύο, καὶ τῇ τετάρτῃ πάλιν εἰσβάλλων· τριταῖος δὲ καὶ ὁ παρὰ τὴν πρώτην εἰσβάλλων, εἶτα διαλείπων μίαν, καὶ τῇ τρίτῃ πάλιν εἰσβάλλων· ἀφημερινὸς δὲ ὁ ἐν ἀμφοτέραις ταῖς ἡμέραις εἰσβάλλων καὶ μὴ διαλείπων· ἡμιτριταῖος δὲ ὁ τὸ ἥμισυ ἔχων ἀφημερινοῦ καὶ τὸ ἥμισυ τριταίου, καὶ σήμερον μὲν ὡς ἀφημερινὸς, [17] εἰσβάλλων, αὔριον δὲ ὡς τριταῖος. Ἔτι. τὸ διὰ τεσσάρων ἐπίτριτός ἐστιν ἀριθμός· ὁ δὲ ἐπίτριτος σύμφωνός ἐστι, τὸ δὶς ἄρα διὰ τεσσάρων σύμφωνόν ἐστιν, ἢ τὸ δὶς διὰ τεσσάρων ἴσον ἐστὶ τῷ διὰ πασῶν. πλὴν ὅσον τὸ μὲν καταλλήλους ἔχει τὰς τέσσαρας χορδὰς τοῖς τέσσαρσι, τὸ δὲ διὰ πασῶν ἀκαταλλήλους μὲν, σωζούσας δὲ τὸ ἀνάλογον· ἢ τὸ διπλοῦν λεγόμενον πλινθίον αἰνίττεται, ἐν τούτῳ γὰρ διπλαῖ εἰσιν αἱ νευραὶ, τέσσαρες ἔνθεν, καὶ τέσσαρες ἔνθεν. ἢ τὸ δὶς διὰ τεσσάρων ἐκ τεσσάρων μὲν φθόγγων συνίσταται, τριῶν δὲ διαστημάτων, ἀναλογεῖ δὲ ὁ μὲν φθόγγος ὅρῳ προτάσεως, καὶ τὰ λοιπὰ ἐγράφησαν. Ἔστι δὲ καὶ ἑτέρα μέθοδος τὸ δεῖν πρὸς τὸν ἐρωτῶντα περί τινος πράγματος ἀποκρίνεσθαι. πότερον ὡς σοφόν με ἐρωτᾷς ἢ ὡς τεχνίτην· εἰ μὲν ὡς σοφὸν, πάλιν ἐρώτησον, πότερον ὡς

17 Vind. ἀμφημερινός.

καθόλου σοφὸν ἢ ὡς μερικόν, εἰ μὲν ὡς καθόλου σοφὸν, κακῶς γιγνώσκεις· μόνος γὰρ καθόλου σοφὸς ὁ θεὸς, εἰ δὲ ὡς μερικὸν σοφὸν, ὀφείλεις ἐκείνης τῆς τέχνης ἐρώτημα ἐρωτᾶν, ἧς τὴν γυμνασίαν καθ' ἡμέραν ποιοῦμαι. Εἰς τὸ δὶς διὰ τεσσάρων αὖθις. Δὶς[18] διὰ τεσσάρων οἱ μουσικοὶ τὰς ὀκτὼ καλοῦσι χορδὰς, αἳ ταῖς μαγάσι προσδέδενται. τέσσαρες γὰρ οὖσαι καὶ διπλούμεναι ὀκτὼ γίνονται τῶν μουσικῶν ὀργάνων προβεβλημέναι. Τὸ δὶς διὰ τεσσάρων[19] καὶ δὶς διὰ πασῶν ταὐτόν ἐστιν· ἔστι δὲ ἀπὸ ἀριθμητικῆς ἀναλογίας νοῆσαι κρειττόνως, τί ἐστι τὸ δὶς διὰ πασῶν· ἢ γὰρ ἀριθμὸς πρὸς τὸν[20] ἀριθμὸν παραβαλλόμενος τὸν διπλασίονα ἔχει λόγον, ὡς ὁ δ' τοῦ β', καὶ τοῦ δ' ὁ ή, ἢ τὸν ἡμιόλιον, ὡς ὁ τρία τοῦ δύο· ἔχει γὰρ ὅλον τὸν δύο καὶ τὸ ἥμισυ αὐτοῦ, ἢ[21] τὸ ἕν, καὶ ὁ ς' τοῦ τέσσαρα, ἢ τὸν ἐπίτριτον λόγον, ὡς ὁ δ' τοῦ γ'. ἔχει γὰρ ὅλον καὶ τὸ τρίτον αὐτοῦ τὸ ἕν· ὁ γοῦν ιβ' τοὺς πάντας τούτους λόγους ἔχει πρὸς τοὺς πρὸ αὐτοῦ, διπλάσιον[22] μὲν γάρ ἐστι τοῦ ς'. ἡμιόλιον[23] δὲ τοῦ ή, ὅλον γὰρ ἔχει τὸν ή, καὶ τὸ ἥμισυ αὐτοῦ· τοῦ δὲ θ' ἐπίτριτος· ὁ γοῦν κδ' διττῶς ἔχει τούτους τοὺς λόγους διὰ τὸ δὶς ἔχειν τὸν δώδεκα· λέγεται γοῦν ἡ τοιαύτη ἀναλογία δὶς διὰ πασῶν, καὶ διὰ τοῦτο οὕτως εἴρηται, ὅτι δὶς ἔχει τὸν διπλάσιον τὸν ἡμιόλιον καὶ τὸν ἐπίτριτον.

κγ'. Καὶ τὸ[24] μοσχεύειν γεωργικὸν, καὶ ὅσα τοιαῦτα· μοσχεύειν τὸ ἀνατρέφειν, μοσχεύονται γὰρ τὰ κλήματα τὰ μέλλοντα φυτευθῆναι, τῶν γεωργῶν παρὰ τὸ ὕδωρ τιθέντων τὰ φυτὰ,[25] εἶθ' οὕτως ὑποβοθρευόν-

18 Haec usque ad προβεβλημέναι sunt in Par. 19 in Med. 2. haec usque ud litt. κγ'. ad marg. adjecta sunt. 20 τὸν Med. 2. om. 21 Med. 2. ἤτοι. 22 Med. 2. διπλασίων. 23 Med. 2. ἡμόλιος. sine sq. δέ. 24 τὸ et καὶ ὅσα τοιαῦτα Mon. om. 25 Mon. τὰ φυτὰ ἐπὶ τῷ θᾶττον αὔξεσθαι. μοσχεύειν οὖν.

των αὐτὰ, ὡς ἂν θᾶττον ἐκφύσαντα ῥίζας εὐχερῶς φυτευθέντα αὐξηθῶσι· μοσχεύειν οὖν κλῆμα ἀντὶ τοῦ περιθάλπειν, ἢ ἀντὶ τοῦ ἐμφυλλίζειν καὶ ἐπιτήδεια ποιεῖν τὰ κλήματα. Εἰδέναι δὲ δεῖ,[26] ὅτι καὶ ὁ Χρυσόστομός φησί που ἀνακογχυλίσασθαι καὶ ἔστιν ἰατρικὴ ἡ λέξις ἀντὶ τοῦ ἀναγαργαρίσαι, καὶ Ἑρμογένης δὲ ἐν τῷ περὶ κάλλους ἔφησεν ἐκ συμφθάρσεως·[27] ἰατρικὴ ἡ σύμφθαρσις, τεχνικὴ καὶ οὐ φυσικὴ, καὶ οὐ παντάπασι τὴν παντελῆ φθορὰν αἰνίττεται· τὸ γὰρ τοῦτο δηλοῦν καταφθορὰ ἢ διαφορὰ λέγεται, ὡς ἐπὶ τῶν ἀλόγων ζώων, τῷ σώματι συνδιαφθειρομένης καὶ τῆς τούτων ψυχῆς· ἔχει δὲ ταῦτα μεθ' ἡμῶν καὶ τὴν διαφθορὰν, ἥτις λέγεται ἐπὶ διαλύσει τῶν στοιχείων, ἐξ ὧν συνεκράθημεν· ἀλλ' οὐχὶ καὶ τῆς ψυχῆς, ἀθάνατος γάρ· τεχνικὴ δὲ, ὡς ἐπὶ τῶν ζωγράφων συγκιρνώντων τέχνῃ τὰ χρώματα, ἡ φυσικὴ δὲ διττή ἐστιν· ἡ μὲν καλεῖται σῆψίς τινος ὕλης καὶ ἀποτελεῖ ζῶα, ψύλλας, σκώληκας, γῆς ἕντερα· ἡ δὲ, ὅταν ταῖς ζωτικαῖς δυνάμεσι περιττούμενα τὰ βρώματα ἐν τῷ στομάχῳ καὶ συγκιρνώμενα, ἀλλοιοῦνται κατὰ τὸ εἶδος οὐ κατὰ ὕλην. Ἔτι εἰς τὸ αὐτό. Ἄλλο ἐστὶ τὸ μοσχεύειν καὶ ἄλλο τὸ ἐμφυλλίζειν·[28] μοσχεύειν ἐστὶ τὸ συνθάλπειν τὰ κλήματα, παρὰ τὸ ὁμοῦ συνέχεσθαι· ἐμφυλλίζειν δὲ τὸ ἀφ' ἑτέρου δένδρου εἰς ἕτερον ἐμφυτεύειν· ἐπιφυλλίδες δὲ λέγονται τὰ τζαμπία τὰ καταλιμπανόμενα, ὡς ἄχρηστα ἐν τῷ τρυγητῷ παρὰ τῇ ἀμπέλῳ· καὶ οἱ ἐν τῷ θέρει στάχυες. Ἔτι μοσχεύειν[29] οἱ γεωργοὶ λέγουσι τὸ χωννύειν τὰ φυτὰ τῇ γῇ, ἐπὶ τῷ ἐκφῦσαι ῥίζας, εἶθ' οὕτως φυτευθῆναι, τοῦτο δὲ μάλιστα ἐπὶ κλημάτων γίνεται.

26 δεῖ Mon. om. 27 Mon. addit: λέξις δέ ἐστιν ἰατρική. omissis ceteris usque ad litt. κδ'. 28 Vind. bis ἐπιφυλλίζειν. 29 Haec usque ad γίνεται sunt in Par.

Cap. III.

κδ'. Περὶ τῶν κατὰ λέξιν ἁμαρτημάτων. [1]

Μέθοδον διδάσκει τῆς εὑρέσεως τῶν ἁμαρτανομένων λέξεων, καὶ τοῦ μὴ αὐτοὺς ταῖς τοιαύταις περιπίπτειν· γίνεσθαι δὲ φησι τὰ τούτων ἁμαρτήματα κατὰ ἀκυρίαν καὶ παραφθοράν, ἀκυρίαν μὲν, ὅταν μὴ ἐφ' ἧς κεῖται σημασίας κυρίως ἡ λέξις ταύτην θήσω, [2] ἀλλ' ἐφ' ἑτέρας, οἷον· ἐρωτῶ σε, ἔχε με παρῃτημένον· ἐρωτᾶν μὲν γάρ ἐστι τὸ ζητεῖν καὶ ἐρευνᾶν, ἐνταῦθα δὲ ἀντὶ τοῦ παρακαλεῖν εἴληπται. Ἀκυρίας [3] δὲ μνησθέντες φέρε παραθήσομέν τινας τῶν τοιούτων λέξεων πρὸς πλείονα ταύτης ἔνδειξιν, αὐτίκα παρὰ τῷ Καλλιμάχῳ εὑρίσκεται ἐπὶ τῶν ἀπολλυμένων νηπίων, ἐκουφίσθησαν δὲ τιθῆναι· τοὐναντίον γὰρ ἐβαρύνθησαν ἀπολέσασαι τὰ ὑπ' αὐτῶν τρεφόμενα· καὶ ὁρῶμεν ἀνθοῦν πέλαγος Ἀργείων νεκροῖς· πάλιν εἴ τις εἴπῃ, πυνθάνεται ἀντὶ τοῦ ἐρωτᾷ, ἀκυρολογίαν ἐποίησε· πυνθάνεσθαι γάρ ἐστι τὸ κατὰ ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα, μὴ ἐρωτῶντός τινος· ἐρωτᾶν δὲ τὸ ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν περὶ τοῦ ὑποκειμένου πράγματος· ὁ γοῦν Τηλέμαχός φησι πρὸς τὸν Νέστορα·

Εἴρεαι [4] ὁππόθεν εἰμὲν, ἐγὼ δέ κέ τοι καταλέξω·

καὶ Ἀχιλλεύς φησιν·

Ἀλλ' ἴθι νῦν, Πάτροκλε Διῒ φίλε, Νέστορ' ἔρειο, [5]
Ὄντινα τοῦτον ἄγοι·

ὅτι δὲ τὸ πυνθάνεσθαι ἐπὶ μόνου τοῦ ἀκούειν, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον,

---

1 Mon. sine titulo incipit ita: ἀκυρία λέξεώς ἐστιν, ὅταν μὴ ἐφ' ἧς etc. 2 Mon. θήσομεν. 3 ἀκυρίας δὲ μνησθέντες usque ad ἐν Τραίῃ εὑρείῃ Mon. om. 4 Od. Γ. 80. Vind. ἤρεαι. 5 Vind. ἔροιο. Il. Λ. 611. ἔρειο.

Νῦν δ' ὅτε δὴ [6] μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων
Πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός,

καὶ Ὀδυσσεύς φησι· [7]

Πυνθανόμην Ἰθάκης δὲ καὶ ἐν Τροίῃ εὐρείῃ·

Πάλιν εἴ τις εἴπῃ πρὸς τὸν παρόντα, ποθῶ σε, ἀκυρολογίαν εἶπεν· ὤφειλε γὰρ εἰπεῖν, ἐρῶ σου· ἔρως μὲν γάρ ἐστι τῶν παρόντων, πόθος δὲ τῶν ἀπόντων, ὡς καὶ Ὅμηρος· [8]

Ὡς σεο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ·

ἐπὶ δὲ τοῦ ἀπόντος· [9]

Ἀλλά με σάς τε πόθος, σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ;
Σή τ' ἀγανοφροσύνη μελεηδέα θυμὸν ἀπηύρα.

Παραφθορὰ δὲ λέγεται παρὰ τὸ παραφθείρεσθαι τὴν λέξιν. Πάλιν εἴ τις [10] εἴπῃ σύμμαχον τὸν τοῖς πολεμουμένοις βοηθοῦντα· σύμμαχοι μὲν γάρ εἰσιν οἱ τοῖς πολεμοῦσι βοηθοῦντες· ἐπίκουροι δὲ οἱ τοῖς πολεμουμένοις· Ὅμηρος δι' ὅλης τῆς ποιήσεως ἐφύλαξε τὴν διαφοράν, οὐκ ἔστιν οὖν παρ' αὐτῷ ἐπίκουρος Ἑλλήνων λεγόμενος. Εἰς τὸ αὐτό. Ἐνταῦθα διδάσκει, κατὰ πόσους τρόπους γίνεται τὰ κατὰ τὴν λέξιν ἁμαρτήματα, ὅτι δι' ἀκυρίαν καὶ παραφθοράν· καὶ γὰρ καὶ τοῦτο μεθόδου ἐστὶ δεινότητος, τὸ εἰδέναι διὰ τί ἔπταισται ἡ λέξις ἐξ ἀκυρίας ἢ παραφθορᾶς· ἔστι δὲ ἡ ἀκυρία καὶ ἡ παραφθορὰ τῆς ἀφελείας καὶ ἰδιωτείας, ἣν διδάσκει, πότε ἀκυρίᾳ λέξεως καὶ πότε παραφθορᾷ χρησόμεθα, ὡς ἐν τῷ πρὸ τούτου ἐδίδαξε· πότε λέξει νομικῇ χρησόμεθα, καὶ πότε ἐθνικῇ ἢ τεχνικῇ, ὅτι ὅτε βουλόμεθα τὴν τοῦ προσώπου ποιότητα παραστῆσαι, ἥτις ἐστὶν, οἷον τὸ ἐρωτῶ σε, ἔχε με παρῃτημένον· ἐνταῦθα γὰρ ἀκυρολεκτεῖ διὰ τὸ μιμήσασθαι ἐμπόρου καὶ ἀγρότου καὶ ἰδιώτου λέξιν, καὶ ποιό-

6 δὴ Vind. om., tum habet μύθων et ἔνδοθεν, Od. *B.* 314. 7 Od. *ν*, 256. 8 Il. *γ*. 446. 9. Od, *λ*, 202. 10 πάλιν εἴ τις εἴπῃ usque ad litt. κέ. Mon. om.

τητι προσώπου, μιμητέον γὰρ καὶ τὰ προσώπα, ὡς καὶ τὰ πράγματα μιμούμεθα, καὶ τὰ μὲν λαμπρὰ λαμπρῶς ἐξαγγελτέον, τὰ δὲ σκυθρωπὰ σκυθρωπότερον· ἀγρότου γοῦν καὶ ἰδιώτου καὶ γεωργοῦ ἐστιν ἡ λέξις ἡ λέγουσα, ἐρωτῶ σε, ἔχε με παρῃτημένον, καὶ τέρπεται ὁ ἀκροατὴς τῷ καταλλήλῳ τῆς φωνῆς· ἔστι δὲ ἀκυρία χρῆσις λέξεως, μετακινηθείσης ἀλόγως ἐξ ἐκείνου, οὗ κυρίως κατηγορεῖται, εἴτι δεῖ ὁμοῦ μὴ μόνον πρὸς τὰ πρόσωπα λέγειν καὶ ποιεῖν τι, ἀλλὰ καὶ πρὸς τὰς ὑπολήψεις τῶν ὁρώντων. ὡς ὁ Χριστὸς ποτε μὲν πρὸς τὰς ὑπολήψεις τῶν ἀνθρώπων ὑποκρίνεται, ὡς ὅταν [11] λέγῃ· „εἰ μαρτυρῶ ἐγὼ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής·“ τοῦτο γὰρ κατὰ τὴν τῶν πολλῶν ὑπόληψιν εἶπεν, ὅτι ὁ λέγων περὶ ἑαυτοῦ οὐκ ἀκούεται· ὅταν δὲ λέγῃ, „ἐγὼ ἦλθον, [12] ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ, καὶ ἡ μαρτυρία μου ἀληθής ἐστι,“ τοῦτο κατὰ τὴν ἀλήθειαν λέγει, τὸ δὲ „στενὴ [13] καὶ τεθλιμμένη ἡ ὁδὸς“ κατὰ τὴν ὑπόληψιν τῶν πολλῶν εἶπε. τὸ δὲ „ὁ ζυγός μου [14] χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρὸν,“ κατὰ τὴν ἀλήθειαν εἶπε· καὶ τὸ, „ὁ παῖς [15] μου σεληνιάζεται,“ κατὰ τὴν ὑπόληψιν τῶν πολλῶν εἴρηται, οὐ μὴν ἡ ἀλήθεια οὕτως ἔχει, καὶ τὸ „πρὸς τοὺς κοσμοκράτορας τοῦ αἰῶνος [16] τούτου“ κατὰ τὴν τῶν πολλῶν ὑπόληψιν εἴρηται, ἐπεὶ οὐδὲ κατὰ χειρῶν ἔχουσι τὴν ἐξουσίαν· ἢ τὸ κοσμοκράτορας τοὺς τῶν παθῶν κρατοῦντας σημαίνει· ἢ τὸ ἐρωτῶ σε ἐν ἀκύροις πράγμασιν εὐλόγως τέτακται, πῶς γὰρ οὐκ ἄκυρον, παραιτεῖσθαι τὴν ἑαυτοῦ σωτηρίαν, ὅθεν ἐμιμήσατο τῷ πάθει τῆς φωνῆς τὸ δηλούμενον, ἢ τὸ ἐρωτῶ σε εὐκαίρως ἐρρήθη, διότι οὐ σημαίνει ταπείνωσιν, ὡς τὸ δέομαι καὶ παρακαλῶ,

11 Vind. ἅπαν. Ev. Joh. V. 31. 12 Ev. Joh. XVIII. 37. 13 Matth. VII. 14. 14 Matth. XI. 30. 15 Matth. XVII. 15. 16 in Vind. supra scriptum κόσμου. — Ep. ad Ephes. VI. 12.

ταῦτα γὰρ ταπεινοῦ εἰσι προσώπου πρὸς μεῖζον πρόσωπον, τὸ δὲ ἐρωτῶ σε ταπεινώσεως οὐκ ἔστι, ἀλλὰ λέγω σοι, φημὶ, καὶ τὸ εἰρηκὸς πρόσωπον ὑψηλὸν ὂν πρὸς ἔλαττον τοῦτο εἶπεν, ἢ ἴσον πρὸς ἴσον, ὡς τὸ „ἐρωτήσω [17] τὸν πατέρα καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν.“ τὸ δὲ „παρακαλεῖτε, ἱερεῖς, τὸν λαὸν“ [18] οὐ σημαίνει τὸ δέεσθαι, ἀλλὰ τὸ προτρέπεσθαι, ἐπεὶ ἀκύρως εἴρηται· σημαίνει γὰρ δύο τὸ παρακαλεῖν, καὶ ἔστιν ἡ παρὰ πρόθεσις περιττή. Ἔτι· ἁμαρτήματα κατὰ λέξιν τὸ ἀκύρως αὐτὸς παραλαβεῖν, ὡς ἐφ' ὧν ἔθετο ὁ τεχνικὸς, ἐρωτᾶν γὰρ τὸ πυνθάνεσθαί ἐστι, καὶ παρακαλεῖν τὸ ἄγειν καὶ ἕλκειν ἐφ' ἑαυτὸν, ἐπίτασις ὂν τοῦ καλεῖν, ὅταν οὖν τὰς τοιαύτας λέξεις λάβῃς ἐπὶ τοῦ δέεσθαι, κατὰ ἀκυρίαν λαμβάνων ἁμαρτάνεις.

κέ. Παραφθορὰν δὲ, οἷον ὃ καλοῦσι διάζωμα, ἐάν τις εἴπῃ διαζώστραν. [19] Παραφθορὰ λέγεται παρὰ τὸ φθείρεσθαι τὴν λέξιν, οἷον αἱμωδιᾶν [20] λέγεται τὸ ἀλγεῖν τοὺς ὀδόντας, ὃ λέγεται οὕτως παρὰ τὸ αἷμα ἐμφαίνεσθαι περὶ τοὺς ὀδόντας· ἀντὶ γοῦν τοῦ εἰπεῖν αἱμωδιᾶν, ἐάν τις εἴπῃ ἁμωδιᾶν, παρέφθαρε τὴν λέξιν· διάζωμα δέ ἐστιν, ὃ περὶ τὰ αἰδοῖα ἐφόρουν οἱ ἀγωνιζόμενοι· τοῦτο ἐάν τις εἴπῃ διαζώστραν, παραφθορὰν ἐποίησε. Τοιαῦταί εἰσιν αἱ ἰδιωτικαὶ λέξεις ὡς ἐπὶ τὸ πολὺ παριφθορισμοὶ λέξεων, [21] οἷον τὸ κατὰ τὰ Γάϊνα, [22] εἰς τὴν Ἀετοῦς, εἰς τὴν Ἄσπορον· [23] ὀφείλει γὰρ λέγεσθαι εἰς τὰ Γαϊνᾶ, καὶ εἰς τὴν Ἀετίου, καὶ εἰς τὴν Ἀ-

17 Joh. XIV. 16. 18 Esaj. XL. 1. 19 παραφθορὰν δὲ, οἷον ὃ καλοῦσι διάζωμα, ἐάν τις εἴπῃ διαζώστραν Mon. om. idem: παραφθορὰ δὲ λεγ. παρὰ τὸ παραφθείρ. 20 Med. 2. Vind. αἱμωδιᾶν. Mon. αἱμοδιᾶν. 21 ὡς ἐπὶ τὸ πολὺ παραφθ. λέξεων Mon. om. Med. 1. ad marg. addit. 22 Med. 1. Mon. οἷον εἰς τὰ Γάϊνα Reisk. scripsit τὸν Γάϊνα, Vind. τὸ Γάϊνα. 23 Vind. Med. 1. Ἄσπορον. Mon. Ἄσπαρον.

σπορος· τοιοῦτον οἶμαι εἶναι καὶ τὸ παρὰ τῷ μεγάλῳ εὐαγγελιστῇ θεολόγῳ, [24] „ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν [25] οὐδέν," ἀντὶ γὰρ τοῦ ἐπίεσαν κεῖται, τουτέστιν ἐζώγρησαν, ἐδάμασαν. μέμνηται δὲ τοῦ διαζώματος ἐν τῇ πρώτῃ τῶν συγγραφῶν Θουκυδίδης· [26] Ὅμηρος δὲ ζῶμα ὀνομάζει ἐν τῇ ψ ῥαψῳδίᾳ [27] λέγων.

Ζῶμα δὲ οἱ πρῶτον παρακάββαλεν.

Παραφθορὰ δέ ἐστι προσθήκη στοιχείου ἢ ἐναλλαγὴ ἢ τὸ συναμφότερον, ὡς τὸ διαζώστρα· διάζωμα γὰρ λέγεται τὸ λέντιον, καὶ ἡ πολεμικὴ ζώνη· ἔζωμαι χωρὶς τοῦ σ ὁ παρελήλυθώς, ἡ δὲ προσθήκη τοῦ σ παραφθορά ἐστιν· ὁμοίως καὶ τό·

Ἀπέφθιθον ἑσθλοὶ ἑταῖροι. [28]

οὐ γὰρ εἴρηται φθίθω ἀλλὰ φθίω· καὶ αἱμωδεῖν τὸ τοὺς ὀδόντας αἱμωδιᾶν, παρὰ τὸ αἷμα περὶ αὐτοὺς οἰδαίνειν· τοῦτο δέ τινες παραφθείροντες λέγουσιν ἀμμωδεῖν, καὶ τὴν λοπάδα λιπάδα· λιπὰς δέ ἐστιν ἡ λιπώδης· τὸ δὲ λέγειν τὸ ὀῤῥωδεῖν ἀῤῥωδεῖν διαλέκτου ἐστὶν, ὁμοίως δὲ καὶ τὸ ὄνομα ὄννυμα Ἰωνικὸν, οὐ μὴν παραφθορά· ὅθεν ζητοῦσι, πόθεν διαιροῦμεν [29] τὰ τῶν διαλέκτων ἀπὸ τῶν παραφθορῶν, καί φαμεν, ὅτι ἐν λόγῳ κατὰ διάλεκτον συντεταγμένῳ ἀπὸ τῆς συχνότητος τῶν ἰδίων τῆς προστιθεμένης διαλέκτου ῥᾷον διακρίνεται ἡ παραφθορὰ ἀπὸ τῶν κατὰ διάλεκτον ὀνομάτων· πᾶσα γὰρ διάλεκτος οὐκ ἐχρῆτο ἑνὶ ἰδιώματι, ἀλλὰ πλείοσιν, ὥσπερ ἡ Ἀττὶς ἰδίωμα ἔχει τὸ τρέπειν τὸ σ, ποτὲ μὲν εἰς τ, ποτὲ δὲ εἰς ξ· τὴν γὰρ θάλασσαν θάλατταν λέ-

24 pro τοιοῦτον οἶμαι — θεολόγῳ. Mon. ἰδιωτικὸν καὶ τό. 25 Vind. ἐπείασαν, Mon. ἐπίασαν. Joh. XXI. 3. 26 Mon. ὁ Θουκυδ. [I. 6.] 27 Mon. Vind. ἐν τῇ τοῦ ψ ῥαψῳδίᾳ, omisi τοῦ cum Reiskio, qui conjicit: ἐν τῇ τῆς Ὀδυσσείας ψ ῥ. [Il. ψ. 683.] 28 Haec usque ad litt. κή. Mnn. om. 29 Od. ε. 110. 30 Vind. διελοῦμεν, scripsi διαιροῦμεν.

zum, wo sie mannigfach Anwendung, wie z. B. schiefen Thürmen, finden. Die Ausführung der Arbeiten war nun meist so, daß man Gruben, wie die Figur 1 zeigt, in die Erde grub, und dann in diese Gruben, wie Figur 2 es zeigt, die Steine, die auf dem Bauplatze selbst, oder auf dem nächsten Steinbruche gebrochen waren, hineinlegte. Figur 3 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 4 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 5 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 6 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 7 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 8 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 9 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 10 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 11 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 12 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 13 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 14 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 15 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 16 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 17 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 18 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 19 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 20 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 21 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 22 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 23 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 24 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 25 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 26 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 27 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 28 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 29 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 30 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 31 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 32 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 33 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 34 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 35 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 36 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 37 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 38 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 39 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 40 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 41 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 42 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 43 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 44 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 45 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 46 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 47 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 48 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 49 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 50 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 51 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 52 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 53 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 54 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 55 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 56 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 57 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 58 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 59 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 60 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 61 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 62 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 63 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 64 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 65 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 66 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 67 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 68 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 69 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 70 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 71 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 72 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 73 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 74 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 75 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 76 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 77 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 78 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 79 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 80 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 81 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 82 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 83 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 84 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 85 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 86 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 87 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 88 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 89 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 90 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 91 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 92 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 93 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 94 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 95 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 96 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 97 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 98 zeigt, wie sie in Gruben gelegt werden sollten. Figur 99 zeigt, wie die Steine in Gruben gelegt wurden, und Figur 100 zeigt, wie sie in Gruben gelegt werden sollten.

εἴπῃς, ἢ τὴν τάφρον τράφον, ἢ τὸν καχρυδίαν [34] ἄρτον κεγχρυδίαν.

Cap. IV.

κς'. Περὶ ταυτότητος ὀνόματος καὶ ποικιλίας. [1]

Ἐν τῷ τετάρτῳ κεφαλαίῳ διδάσκει, πότε ἐπιμενετέον τῷ αὐτῷ ὀνόματι, καὶ πότε ποικιλτέον δι' ἄλλου καὶ ἄλλου ὀνόματος, ὅ ἐστιν ἐπίχυσις ὀνομάτων, ὡς τὸ παντὶ καὶ πανταχοῦ· καὶ γὰρ τὸ πρῶτον ὡσανεὶ προθεωρία ἐστὶ καὶ ἄρχεται ἀπὸ τοῦ πάσης λέξεως· ποικιλίαν δὲ λέγει, ἵνα ᾖ διάφορος μὲν καὶ παρηλλαγμένη ἡ λέξις, ὁμοιόσημος δέ· καὶ παραλαμβάνεται ἡ ποικιλία ἐπὶ ἰσοτίμων ὀνομάτων· ταυτολεξίᾳ καὶ ὁμοιότητι ὀνομάτων χρησόμεθα, ὅτε τοῦ πράγματος ἓν ὄνομα ἔχομεν τὸ ἐναργέστατον.

κζ'. Τοῦτο [2] λέγει ὁ τεχνικός, ὡς ὅταν μὲν πολλαὶ λέξεις εἶεν περὶ τὸ αὐτὸ ὄνομα, καὶ μία μὲν αὐτῶν ᾖ ἐναργεστάτη καὶ σαφῶς δηλωτικὴ τοῦ ὑποκειμένου, αἱ λοιπαὶ δὲ οὐχ ὡσαύτως ἔχωσιν, ἀλλὰ σημαίνωσι μὲν τοῦτο κἀκεῖναι, ἀμυδρῶς δέ πως, οὐ δεῖ ἀκαίρως φιλοτιμεῖσθαι τὸν ῥήτορα, καὶ τὴν εὐπορίαν τῶν λέξεων ἐπιδείκνυσθαι· ἢ γὰρ ἂν φιλοτιμήσηται μὲν ἀκαίρως καὶ τὴν χορηγίαν ἄφθονον ἐπιδείξεται, [3] ἀφανίσει δὲ καὶ τὴν σαφήνειαν τοῦ πράγματος, καὶ τὰ μέγιστα αὐτῇ λυμανεῖται, καὶ περὶ τὰ μικρὰ δόξας εὐδοκιμεῖν περὶ τὰ μέγιστα χωλα-

34 Vind. κεγχρὶς ἄρτον καγχροδίαν, recepi lectionem Par.

1 Mon. titulum habet περὶ ταυτότητος ὀνομάτων, cui subjicitur; ὡς δὲ χιὼν κατατήκει ἐν ἀκροπάλοισιν ὄρεσιν· αὕτη ἡ παρ. etc. ut litt. κή. 2 Litt. κζ'. est in Par. 3 Vind. ἐπιδεξεται, ἀφανίσῃ, Par. ἐπιδείξεται, ἀφανίσει.

νεῖ· ἂν μέντοι καὶ δύο ἢ [4] καὶ τρεῖς καὶ πλείους ὦσιν αἱ λέξεις, ἰσότιμοι δὲ καὶ ἰσοδύναμοι [5] κατὰ τοῦτο τὸ ἐναργέστατον παριστᾶν τὸ ὑποκείμενον, ὡς μὴ ἀποκναίεσθαι τὴν αἴσθησιν τῶν ἀκροατῶν, οὐδεὶς φθόνος τοῦ μὴ καὶ τῇ δαψιλείᾳ χρῆσθαι τὸν ῥήτορα, καὶ οἷον τὴν ἀκοὴν ἑστιᾶν τῇ ποικιλίᾳ τῶν λέξεων· δύο γὰρ τὰ μέγιστα ἔσται [6] κατωρθωκώς, αὐτό τε τὸ κατὰ πρῶτον λόγον ζητούμενον, τὸ ἐναργῶς παραστῆσαι τὸ ὄνομα, καὶ τὸ τῇ δαψιλεῖ χορηγίᾳ τῶν λόγων ἡδίω ποιῆσαι τὴν ἀκοήν· οὐκ ἔστι δὲ [7] παράδειγμα κάλλιον εὑρεῖν οὐδὲ θεῖναι τῶν Ὁμηρικῶν τούτων, οἷς ὁ συγγραφεὺς δαιμονίως ἄγαν ἐχρήσατο ἐφευρών.

κή. Ὡς δὲ χιὼν κατατήκεται· αὕτη ἡ παραβολὴ κεῖται ἐν τῷ ταῦ [8] τῆς Ὀδυσσείας διηγουμένου ψευδῶς τοῦ Ὀδυσσέως τὰ ἑαυτοῦ πάθη· ἔστι δὲ ἡ ἔννοια αὐτῆς τοιαύτη· ὅτι ὥσπερ τὴν ἐπιφάνειαν τῆς χιόνος διαλύει ὁ Εὖρος, ἣν ὁ Ζέφυρος συμπιλοῖ, οὕτω καὶ τὴν ἐπιφάνειαν τοῦ προσώπου τῆς Πηνελόπης ἡ θλῖψις τῆς ψυχῆς κατέτηξε· [9] τὸ δὲ ἐν ἀκροπόλοισι διὰ τὸ ἐν ἄκρῳ πέλειν εἴληπται, τουτέστιν ἐν ἐξοχῇ.

Ἐνταῦθα [10] τὴν αὐτὴν λέξιν διαφόρως προήνεγκε, τὸ μέν γὰρ ὁμοίως τιθέναι τὰς αὐτὰς λέξεις ἀφελοῦς ἐστι τύπου καὶ χαρακτῆρος· τὸ δὲ μεταβάλλοντα τὰς πτώσεις δεινοῦ καὶ καινοπρεποῦς καὶ τὸν συγγραφικὸν κόσμον συναύξοντος, διὸ εἶπε κατατήκεται, κατέτηξε, [11] τήκομαι, τήκετο, ὁμοῦ καὶ τὴν ἀφέλειαν φεύγων καὶ τὴν δεινότητα παριστῶν· διαφέρει δὲ τὸ τήκεται τοῦ λεί-

4 ἢ ex Par. recepi. 5 Par. ὁμοδύναμοι τούτῳ τῷ ἐναργεστάτῳ. 6 ἔσται Par. om. 7 δὲ ex Par. recepi. 8 v. 205. 9 Schol. in Med. 2. ἡ θλῖψις γὰρ τῆς ψυχῆς τήκει τὴν ἐπιφάνειαν τοῦ προσώπου, ὥσπερ καὶ τὴν ἐπιφάνειαν τῆς χιόνος ἡ τοῦ νότου πνοή. 10 ἐνταῦθα usque ad litt. κθ'. Mon. om. 11 Vind. κατέτηξαι.

βεται καὶ χέεται καὶ λύεται· τὸ μὲν γὰρ τήκεται, ὅπερ κατὰ μικρὸν καὶ λεληθότως λύεται, τὸ δὲ λύεται καὶ χέεται καὶ λείβεται ἐκ τοῦ φανεροῦ γίνεται. Σημείωσαι δὲ, ὅτι τέσσαρας [12] ἀνέμους οἶδεν ὁ ποιητὴς, Εὖρον καὶ Νότον καὶ Ζέφυρον καὶ Βορέᾶν, οὐδὲν [13] δὲ ἄλλο τὴν τηκεδόνα ὁρίζεται ὁ τεχνικὸς, ἢ μόνον θέαν ἀναλισκομένης χιόνος.

κθ'. Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα. Ταῦτα ἐν τῷ λ' [14] κεῖται τῆς Ἰλιάδος, ὅτε Ἀγαμέμνων [15] ἐτρώθη· εἴκασται δὲ πρὸς τοὺς νυγμοὺς τῆς ἀλγηδόνος ταῦτα· [16] πάντα δὲ ὀδυνηρὰ ἔλαβε τὰ ὀνόματα, τὸ ὀξὺ, τὸ δριμὺ, τὸ πικρὸν, ἐπιτείνων [17] τὸν πόνον. Εἰλείθυῖαι [18] δὲ λέγονται παρὰ Δωριεῦσιν αἱ ὠδῖνες· ὅθεν καὶ ἀνειλείθυια [19] ἡ ἄγονος γυνή· μογοστόκοι δὲ διὰ τὸ ἐπὶ τῶν μόγις τικτουσῶν τάττεσθαι. Ἀμφίβολον δὲ τὸ ἔχουσαι, ἢ γὰρ κέκτηνται ὀδύνας, ἢ ἐπέχουσι καὶ εἴργουσιν· ἄμεινον δὲ τὸ πρῶτον, διὰ δὲ τοῦ [20] δῦνον τὸ σφοδρὸν τῆς πληγῆς καὶ τὴν εἰς βάθος χωρήσασαν ἀλγηδόνα ἐσήμανεν. Ἰστέον [21] δὲ, ὅτι τὸ μὲν δριμὺ καὶ τὸ πικρὸν ἐπὶ τῶν ποιοτήτων λέγεται, ὥσπερ δριμὺ τὸ ὄξος καὶ τὸ σίνηπι, καὶ πικρὸν τὸ ἀψίνθιον, τὸ δὲ ὀξὺ ἐπὶ τῶν βελῶν.

Ἄξιον δὲ ζητῆσαι, πῶς ἡ Ἥρα, ἤγουν ὁ ἀὴρ, πικρὰς ὠδίνας ἐμποιεῖ ταῖς τικτούσαις· φασὶν οὖν ἀπαρτιζόμενον διὰ τῶν δέκα [22] μηνῶν τὸ ἔμβρυον [23] κυοφορούμε-

12 Vind. τεσσάρους. 13 οὐδὲν δὲ — χιόνος est in Par. 14 v. 269. 15 Mon. ὁ Ἀγαμ. 16 Vind. post ἀλγηδόνος interpungit. 17 Mon. ἐπιτεῖνον. 18 Mon. εἰληθυῖαι. 19 falso impr. ἀνηλείθυια. in Mon. ἀνειλείθυια. 20 Vind. τό. Mon. τοῦ. 21 ἰστέον δὲ usque ad ἐπὶ τῶν βελῶν Mon. post ἐμποιεῖν τὰς ὀδύνας ponit. Transpositionem innuere videntur verba ἄλλο γρ. in Vind. adjecta. 22 Mon. δέκα. Vind. τεσσάρων. 23 ἔμβρυον Mon. om.

νον ἕλκεσθαι πρὸς ἀναπνοὴν τοῦ ἀέρος καὶ ἀποσπώμενον τῆς μήτρας ἐμποιεῖν τὰς ὀδύνας. Ὀκτὼ [24] δέ εἰσι χυμοὶ, γλυκὺς, πικρὸς, ὀξὺς, δριμὺς, στύφος, σομφὸς, ἁλυκὸς καὶ στρυφνός· ὀξὺς μὲν ὁ ὀξώδης, δριμὺς δὲ ὁ πάνυ ὀξώδης, σομφὸς δὲ ὁ ἄποιος· στρυφνὸς δὲ ὁ ἰσχυρός. Εἰλείθυια δὲ γίνεται ἐκ τοῦ ἐλεύθω, Ἐλεύθεια παρὰ Δωριεῦσιν, ἢ παρὰ τὸ εἰλῶ τὸ συστρέφω γίνεται Εἰλείθυια, καὶ ἡ ἑορτὴ δὲ οὕτω καλεῖται, ὡς καὶ ἡ σύναξις τῶν ἀρχαγγέλων, ἐξ οὗ καὶ εἰλειθυεῖον τὸ τέμος παρὰ τὴν ἔλευσιν τὴν εἰς αὐτὸ τοῦ λαοῦ, ὡς τὸ τὴν συναγωγὴν ὑμῶν αὐτὸς ᾠκοδόμησα, συναγωγὴν τὸν τόπον λέγων τῆς συνάξεως· τὸ δὲ ὀξὺ, ὅταν μὲν ἐν τῇ φωνῇ θεωρῆται, ὑπὸ τὸ ποιὸν ἀνάγεται, ὅταν δὲ ἐν ὄγκῳ, ὑπὸ τὸ ποσόν.

λ'. Τοιοῦτόν ἐστι καὶ παρὰ τῷ θεολόγῳ· „ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, ἡ μὴ κινουμένη σφραγὶς, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου·“ ταῦτα γὰρ πάντα τὰ ὀνόματα δηλωτικὰ τοῦ υἱοῦ, καὶ τὴν ἐνέργειαν ὁμότιμον ἔχοντα.

λά. Καὶ ὁ Θουκυδίδης ἐν τῷ προοιμίῳ [25] τεκμήριον, σημεῖον. Διαφέρει τεκμήριον σημείου, τῷ τὸ μὲν, τὸ σημεῖον, [26] τῶν ἐνδεχομένων εἶναι καὶ τῶν θέσει θεωρουμένων, τὸ δὲ τεκμήριον τῶν φύσει παρεπομένων, ὥσπερ εἰ λέγοιμεν, τεκμήριον μὲν [27] τοῦ τετοκέναι τὴν γυναῖκα τὸ γάλα ἔχειν, [28] καὶ πυρὸς τὸν καπνόν· σημεῖον δὲ τῆς μάχης τὰς ἐπὶ τοῖς δόρασι σημαίας· διαφέρουσι δὲ κἀν τούτῳ, ὅτι τεκμήρια [29] μὲν τοῦ πράγματος ἓν ἢ καὶ δύο πολλάκις, καὶ αὐτὰ κατὰ φύσιν, σημεῖα δὲ αὐτοῦ [30] πολλά.

---

24 ὀκτὼ δέ εἰσι usque ad litt. λά. Mon. om. 25 Mon. τῷ προοιμίῳ. Vind. τοῖς προοιμίοις. 26 τὸ σημεῖον Mon. om. 27 μέν Vind. om. est in Mon. 28 ἔχειν Mon. om. 29 Mon. τεκμηρίῳ. Reisk. corr. τεκμήρια. 30 Mon. τοῦ αὐτοῦ.

Εἰς τὸ αὐτό· [31] Σύγκρισιν ποιεῖται ὁ Θουκυδίδης τοῦ Τρωϊκοῦ πολέμου καὶ τοῦ Πελοποννησιακοῦ, καὶ δείκνυσιν, ὅτι ὁ Πελοποννησιακὸς μείζων τοῦ Τρωϊκοῦ. Ἐν δὲ [32] τῷ προοιμίῳ τοῦ τοιούτου λόγου καὶ περὶ τεκμηρίων καὶ μαρτυρίων καὶ σημείων καὶ παραδειγμάτων διαλαμβάνει [33] καὶ τὸ αὐτὸ πᾶσι τούτοις δηλοῖ, ὡς ὁμοτίμοις τὴν ἐνέργειαν. Χρὴ δὲ σημειώσασθαι, ὡς οὐδεμία διαφορὰ τούτων τῶν τεσσάρων λέξεων, τὸ εἰκὸς δὲ τοῦτο [34] μόνον ἐκείνων διαφέρειν, οὐδέποτε γὰρ ἐπὶ πραγμάτων, ἀλλ᾽ ἀεὶ ἐπὶ προσώπων λαμβάνεται. Λέγει δὲ ὁ Θουκυδίδης, ὅτι οἱ Ἀθηναῖοι μόνοι ἀπὸ τῶν Ἑλλήνων ηὐξήθησαν, διὰ τὸ λυπηρὰν οἰκεῖν γῆν καὶ ἄζηλον, καὶ περὶ τοῦτο μήτε φθονηθῆναι μήτε ἐκβληθῆναι παρά τινων, οἱ γὰρ ἄλλοι διὰ τὸ λῃστεύειν ἀλλήλους καὶ μετανάστας ἐντεῦθεν γίνεσθαι ἠλαττοῦντο.

λβ'. Ἐκ δὲ τεκμηρίων· τοῦτο ἐν ἀρχῇ τῆς πρώτης [36] τοῦ Θουκυδίδου συγγραφῆς κεῖται· λέγων γὰρ περὶ τοῦ Πελοποννησιακοῦ πολέμου, ὡς μέγας ἐγένετο ὑπὲρ τοὺς πρὸ αὐτοῦ, οὕτως διέξεισι· τὰ γὰρ πρὸ αὐτῶν καὶ ἔτι παλαιότερα σαφῶς εὑρεῖν μὲν διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε εἰς τὰ ἄλλα· τὰ μὲν οὖν πρὸ αὐτῶν εἰπὼν τὰ Μηδικὰ ἐδήλωσε, διὰ δὲ τῶν ἔτι παλαιοτέρων τὰ Τρωϊκά. Ὃ δὲ λέγει, τοιοῦτόν στιν, ὡς ἐκ μὲν ἱστορίας ἀδύνατόν ἐστιν ἀποδεῖξαι, πῶς οὐκ εἰσὶν οὔτε τὰ Μηδικὰ, οὔτε τὰ Τρωϊκὰ μεγάλα, οὔτε κατὰ τοὺς πολέμους, οὔτε εἰς τὰ ἄλλα, τουτέστι τὰς ἐκλείψεις, τοὺς σεισμούς· ἐκ δὲ τεκμηρίων ἐοίκασιν οὐ τοιαῦτα εἶναι.

---

31 εἰς τὸ αὐτὸ usque ad λβ'. Mon. om., est in Par. usque ad προσώπων λαμβάνεται. 32 δὲ ex Par. recepi. 33 Vind. διαλάβει. 34 Par. μόνον τοῦτο διαφέρει, sine ἐκείνων. 35 I. l.

Καὶ παράδειγμα τόδε τοῦ λόγου. Εἰδέναι δεῖ, ὡς ἀδιαφόρως τοῦτο ὁ τεχνικὸς ἔθηκε τέταρτον· παρὰ γὰρ τῷ συγγραφεῖ δεύτερον κεῖται μετὰ τὸ τεκμήριον· διεξιὼν γὰρ, ὡς οὐκ ἐν βεβαίῳ ᾤκουν τὰς χώρας οἱ Ἕλληνες, ἀλλ' ἀεὶ συνεχεῖς μεταβολὰς ἐποιοῦντο· πόθεν; ὅτι οὔτε μεγέθει πόλεων ἴσχυον θαῤῥεῖν, οὔτε τῇ ἄλλῃ παρασκευῇ· μάλιστα δέ τοῦτο ἐποίει ἡ τῆς γῆς ἀρετή· διὰ γὰρ τὴν ἀρίστην γῆν ἐξωθοῦντο ὑπὸ τῶν δυνατωτέρων· ταῦτα οὖν διεξελθὼν ἐπήγαγε τάδε· τὴν γοῦν Ἀττικὴν διὰ τὸ λεπτόγεων οὖσαν ἀστασίαστον ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί· καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, τὸ διὰ τὰς μετοικίας εἰς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι· ἔστι δὲ ἡ ἔννοια τοῦ ῥητοῦ τοιαύτη· πόθεν δῆλον, ὅτι μετοικίας ἐποιοῦντο ἀεὶ καὶ πυκνὰς μεταναστάσεις; ἐκ τοῦ μὴ ὁμοίως τῇ Ἀττικῇ αὐξηθῆναι τῷ πλήθει τῶν ἀνδρῶν τοὺς οἰκήτορας τῆς ἄλλης Ἑλλάδος, διὰ τὰς ἀρίστας τῶν γαιῶν ἀπανισταμένους· [36] ἡ γὰρ Ἀττικὴ διὰ τοῦτο ἔμεινεν ἀστασίαστος, διὰ τὸ λεπτόγεως εἶναι. Ἔνιοι [37] δὲ τὸ παράδειγμα οὐκ ἐξελάβοντο ἐπὶ τῆς μεταβολῆς καὶ ἀπαναστάσεως, ἀλλ' ἐπὶ τοῦ τὴν Ἀττικὴν ἀστασίαστον μεῖναι διὰ τὸ λεπτόγεων εἶναι· ἐξηγοῦνται οὖν τοῦτο οὕτως· σημεῖον τοῦ [38] τὴν Ἀττικὴν τοὺς αὐτοὺς οἰκεῖν τὸ κατὰ μὲν τὰ ἄλλα πράγματα μὴ αὐξηθῆναι, οἷον πλοῦτον καὶ ὅπλα, ἐπειδὴ οὐκ ἀπανίσταντο, κατὰ δὲ τὸ πλῆθος τῶν ἀνδρῶν καὶ μάλιστα μεγάλην γενέσθαι· σημεῖον δὲ [39] ταῦτα τῆς Ἑλλάδος· εἰπὼν, ὡς ἐσιδηροφόρει πᾶσα ἡ Ἑλλὰς διὰ τὰς ἀφράκτους οἰκήσεις καὶ οὐκ ἀσφαλεῖς, ἐπάγει πόθεν δῆλον, ὅτι ἐσιδη-

---

36 Mon. ἀπανισταμένας. 37 Ἔνιοι δὲ τὸ παράδ. usque ad λεπτόγεων εἶναι Vind. om. Mon. habet. 38 Mon. σημ' τοῦ, quod Reisk. legit σημαίνει τῷ. 39 Mon. δ' ἐστὶ et post Ἑλλάδος comma.

Artikels über 1 Million Tir. bis auf eine auf die Dauer von 5 Jahren, die 1 Million Tir. nicht übersteigt.

Die Aktien müssen auf den Namen lauten.

Die Gründer müssen mindestens 25 % der Aktien und 25 % der Stimmen besitzen.

Die Gründer müssen mindestens 5 Jahre lang Aktionäre bleiben.

Die Gründer müssen mindestens 5 Jahre lang die Mehrheit der Stimmen besitzen

γειν. διαιρεῖ δὲ ταύτην εἰς δύο, εἰς λέξιν καὶ γνώμην,[2] τουτέστιν ἔννοιαν. καὶ τὴν μὲν λέξιν αὖθις εἰς διατριβὴν καὶ πλῆθος, τὴν δὲ γνώμην εἰς καθολικοὺς λόγους καὶ ἐπενθυμήσεις. ὁ δὲ καιρὸς τῆς χρήσεως τούτων οὗτος· ὅτε μὲν βούλοιο[3] ἐνδείξασθαι ἦθος ἐνδιάθετον, τότε δεῖ παραλαβεῖν[4] τὴν διατριβὴν καὶ τὸ πλῆθος. ὅτε δὲ τὰ σκληρὰ καὶ αὐθάδη νοήματα λεᾶναι, τότε χρεία τῶν ἐπενθυμήσεων. ὅτε δὲ τοὺς ἰδίους[5] λόγους πιστώσασθαι, τότε παραλαμβανέσθωσάν σοι οἱ καθολικοὶ λόγοι.[6] Ἰστέον δὲ, ὡς ἡ κατὰ λέξιν περιττότης κατὰ τὸν Ἑρμογένην μέθοδός ἐστι τῆς περιβολῆς, ὡς αὐτὸς ἐν τῷ περὶ ταύτης λόγῳ φησίν. οὔκουν περιβλητικὸν τὸ τί ἐροῦμεν; οὐδὲ τὸ τί φήσομεν; οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδὲν αὐτὸ καθ' αὑτό.[7] ἀλλ' ἡ ἐκ[8] παραλλήλων θέσις αὐτῶν πεποίηκεν ἴσως τινὰ ἔμφασιν περιβολῆς. τοῦτο δὲ οὐχὶ[9] λέξεως δήπουθεν, ἀλλ' ἴσως μεθόδου.

Διατριβῇ καὶ πλήθει.[10] τουτέστιν ἐπιμονῇ καὶ ἐγχρονισμῷ καὶ συναγωγῇ.

Εἰς τὸ αὐτό.[11] Ἐνταῦθα διδάσκει, κατὰ πόσα καὶ ποῖα γίνεται ἡ περιττότης, ὅτι κατὰ λέξιν καὶ κατὰ γνώμην, καὶ ὅτι τούτων ἑκατέρα διπλῆ ἐστιν· ὑποδιαιρεῖται γὰρ ἡ κατὰ λέξιν διατριβῇ καὶ πλήθει, καὶ ἡ κατὰ γνώμην ἐπενθυμήσει καὶ λόγων καθολικῶν συμπλοκῇ· εἶτα διδάσκει καὶ πρὸς τί εὔκαιρον παραλαβεῖν τὰς ἐπενθυμήσεις καὶ τοὺς καθολικοὺς λόγους· ἔστι δὲ ἡ περιτ-

---

2 Mon. εἰς γνώμην. 3 Vind. βούλει. 4 Mon. παραλανθάνειν. 5 Vind. οἰκείους. 6 Med. 1. ad marg. τί δ' ἐστιν ἑκάτερον τούτων, καὶ τί διαφέρει ἀλλήλων ἐροῦμεν, μᾶλλον δὲ ἐξ ὧν αὐτὸς ὁ τεχνικὸς ὁρίζεται γνωσόμεθα. 7 Mon. αὐτὸ καθ' αὑτὸ οὐδέν. 8 Vind. οὐδέ. 9 ἐκ Vind. om. 10 Vind. Med. 1. διατριβὴ καὶ πλῆθος, τουτέστιν ἐπιμονῆς καὶ ἐγχρονισμοῦ καὶ συναγωγῆς. etiam Mon. διατριβὴ καὶ πλῆθος. 11 Εἰς τὸ αὐτὸ usque ad litt. λς'. Mon. om.

τότης τὸ παρέλκον καὶ ἡ περίσσεια καὶ ἡ περιβολὴ τῶν λέξεων καὶ τὸ ταῖς αὐταῖς λέξεσι χρῆσθαι· πᾶσα δὲ περιττότης ὑπὸ τὴν περιβολὴν κεῖται, καὶ εἴ τι μὲν περιττότης, τοῦτο καὶ περιβολή, οὐκέτι δὲ περιβολὴ τοῦτο καὶ περιττότης, ἔστι γὰρ περιβολὴ καὶ ὁ πλαγιασμὸς, ἀλλ' οὐ περιττότης· δεῖ δὲ ἡμᾶς τὴν περιττότητα διώκοντας μὴ τοῦ καιροῦ λείπεσθαι, καὶ γὰρ πανταχοῦ ἡ πρὸς τὸν καιρὸν συμμετρία δαιμονιωτάτη ἐστί. — Μακρηγόρα νοήματα τῶν λέξεων καὶ τῇ ἐπιχύσει τῶν ἰσοτίμων ὀνομάτων.

λς'. Ἡ δὲ κατὰ γνώμην [12] περιττότης γίνεται ἀπὸ ἐπενθυμήσεων καὶ συμπλοκῆς λόγων καθολικῶν [13] μετὰ τῶν μερικῶν [14] καὶ προκειμένων λόγων, καὶ ἔστι μὲν περιττότης ἐπενθυμήσεων, ὅταν ἐπὶ τῷ ἐνθυμήματι δύο ἢ [15] τρία ἕτερα ἐνθυμήματα παραληψώμεθα· [16] οἷον ὁ Δημοσθένης ἐν Φιλιππικοῖς κατασκευάζων, ὅτι δυνησόμεθα περιγενέσθαι [17] Φιλίππου, ἀπὸ τοῦ χρόνου [18] ποιεῖται τὴν πᾶσαν πίστιν· ἐπεὶ γὰρ αὔθαδες ἦν καὶ σκληρὸν τὸ λέγειν, ὅτι νικήσομεν [19] Φίλιππον, εἰς ἀπόδειξιν τούτου ἐπάγει, „ὅτι νῦν οἱ Ὀλύνθιοι φίλοι τυγχάνουσιν ἡμῶν," εἶτα ἐπὶ τούτῳ ἕτερον ἐνθύμημα, „ἀλλὰ μὴν καὶ Θετταλοὶ ἀπεγνώκασι διδόναι αὐτῷ [20] χρήματα·" τοῦτο δέ ἐστι καὶ [21] ἐπενθύμημα· καὶ πάλιν ἄλλο· [22] „καὶ Κερκυραῖοι διδοῦσιν ἡμῖν συμμαχίαν." Εἰδέναι δὲ χρὴ, ὅτι ἐπενθυμήσεις λέγει ἐνταῦθα οὐ τὰ κυρίως ἐνθυμήματα καὶ ἐπενθυμήματα, ἃ συγκριτικῶς προφέρονται καὶ ἐπὶ ταῖς ἐργασίαις τίθενται, ἀλλὰ τὰς ἁπλῶς ἐννοίας τὰς

12 Mon. κατ' ἔννοιαν. 13 in Vind. post καθολικῶν sequitur τῶν. in Mon. τῆς. 14 Vind. μερῶν. 15 Mon. ἢ καὶ τρία. 16 Mon. παραληψόμεθα. 17 Mon. τοῦ Φιλ. 18 Mon. τῶν χρόνων. Med. 1. Vind. τοῦ χρόνου. 19 Mon. τὸν Φίλ. Respicit ad Ol. II. p. 19. 20. 20 Mon. αὐτῷ διδόναι. 21 Vind. ἐστὶ καί. Mon. καλεῖται. 22 Vind. ἄλλος.

κατασκευαστικάς τινων καὶ ἀποδεικτικάς· καθολικοὶ δὲ λόγοι λέγονται οἱ γνωμικοὶ, οἳ καὶ εἰς πίστιν παραλαμβάνονται [23] τῶν ἰδίων λόγων, τουτέστι τῶν ἐπὶ μέρους, ὥσπερ ὁ Δημοσθένης, θρασὺν ὀνομάζων καὶ ἀπαίδευτον τὸν Φίλιππον ἐπήγαγε, [24] „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.“ Εἰς τὸ αὐτό. [25] Ἐπενθύμησις δέ ἐστιν ἐνθύμημα ἐπιφερόμενον τῷ αὐθάδει ἐπιχειρήματι, ὅταν ἐφ' ἑνὸς περιστατικοῦ δύο καὶ τρία νοήματα ἐπιφέρωμεν, οἷον ὁ Δημοσθένης ἐν Φιλιππικοῖς, κατασκευάζων, ὅτι δυνησόμεθα περιγενέσθαι τοῦ Φιλίππου, σκληρὸν γὰρ τοῦτο καὶ αὐθαδες, ἀπὸ τοῦ χρόνου ποιεῖται τὴν πᾶσαν πίστιν, καί φησιν, „ὅτι νῦν Ὀλύνθιοι φίλοι τυγχάνουσιν ἡμῶν,“ καὶ ἔστι τοῦτο ἐνθύμημα. εἶτα ἐπενθύμημα· „ἀλλὰ μὴν καὶ Θετταλοὶ ἀπεγνώκασιν διδόναι αὐτῷ χρήματα,“ καὶ πάλιν ἄλλο· „καὶ Κερκυραῖοι διδοῦσιν ἡμῖν συμμαχίαν·“ εἶτα, „ἡμέτερον ἔργον λοιπόν ἐστιν, ἢ προτερῆσαι ἢ ἱστερῆσαι·“ ταῦτα πάντα ἐπενθυμήσεις εἰσὶν ἀπὸ χρόνου, οἷς ἐπάγεται πρὸς πίστιν ὁ γνωμικὸς, ἤγουν ὁ καθολικὸς λόγος, ὅτι σωφρόνων ἀνδρῶν ἐστιν ἐνθυμεῖσθαι παρ' ἑαυτῶν, ὡς οὐκ ἔστιν ἀδικοῦντα ἢ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν ἔχειν· τινὲς δὲ τὸ, „ἀλλὰ μὴν καὶ Θετταλοὶ ἀπεγνώκασι,“ παράδειγμά φασιν, κακῶς δέ· παράδειγμα γάρ ἐστι τὸ πρὸς ὁμοίωσιν τοῦ ζητουμένου παραλαμβανόμενον, οἷον ἐν τῷ ὑπὲρ στεφάνου ζητουμένῳ, τῷ εἰ δεῖ βοηθεῖν Εὐβοεῦσιν ἀδικήσασι, τίθησιν ὁ Δημοσθένης ὅμοιον, ὅτι καὶ οἱ πρόγονοι ἡμῶν Λακεδαιμονίοις ἀδικήκασιν ἐβοήθησαν· καὶ Ὑπερίδης ἐν τῷ κατὰ Αὐτοκλέους εἰπὼν, ὅτι τοῦτον ἐπὶ λόγοις δεῖ κολάσαι, τίθησιν ὅμοιον, ὅτι καὶ Σωκράτην

23 Vind. παραλαμβάνοντες. omisso εἰς πίστιν. 24 pro ἐπήγαγε Vind. οἷον. — Ol. I. p. 16. 25 εἰς τὸ αὐτὸ usque ad litt. λξ'. Mon. om.

οἱ πρόγονοι ἡμῶν ἐπὶ λόγοις ἐκόλαζον, καὶ τό· „εἶτα Ὅμηρος μὲν τὸ φυτὸν ἐθρήνησεν, ἐγὼ δὲ τὴν Νικομήδους πόλιν οὐ θρηνήσω;“ συγκριτικόν ἐστιν ἐνθύμημα· καὶ „εἰ Ἰωνᾶς ὁ προφήτης ἐπὶ τῇ κολοκύντῃ λελύπηται, αὐτὸς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ τὸν Χριστὸν ἀρνησαμένου οὐ θρηνήσω;“ Τοιοῦτον καὶ ὁ μέγας Βασίλειός φησιν· „εἴ τις ἰατρῶν ἐπηγγέλλετό σοι μηχαναῖς τισι καὶ ἐπινοίαις νέον ποιῆσαι ἐκ γέροντος, οὐκ ἂν ἐπεθύμησας εἰς ἐκείνην ἐλθεῖν τὴν ἡμέραν, ἐν ᾗ σεαυτὸν ὁρᾷν ἔμελλες πρὸς ἀκμὴν ἐπιστρέφοντα·“ αἱ οὖν ἐνθυμήσεις καὶ ἐπενθυμήσεις αὗται μετὰ τὸ ἐπιχείρημα τίθενται, τὰ δὲ κυρίως ἐνθυμήματα καὶ ἐπενθυμήματα μετὰ τὴν ἐργασίαν. Ὅμοιον τοῦτο ἐκείνῳ· „εἰ δοῦλος ἀνθρώπων ἦσθα, προεγράφη δὲ δούλοις ἐλευθερία, οὐκ ἂν ἐπὶ τὴν κυρίαν ἀπήντησας, συνηγόρους μισθούμενος καὶ δικαστὰς παρακαλῶν, ὥστε πάσῃ μηχανῇ πρὸς ἐλευθερίαν ἐξαιρεθῆναι.“ ἔστι δέ τι ἐνταῦθα πλέον, ὃ τοῖς φιλομαθέσιν ἐξετάζειν παρήκαμεν. Πλάσμα δέ ἐστιν, ὅταν τὸ μήπω γεγονὸς πλάττων τις εἰς ἀπόδειξιν τοῦ γεγονότος παραλαμβάνῃ, ὡς ἐν τῷ πρὸς Λεπτίνην εἰπών, ὅτι οὐ δεῖ ἀφελέσθαι τὴν δωρεὰν Ἔκφαντον τὸν Θάσιον, ὅτι φίλην [25*] αὐτοῖς ἐποίησε τὴν νῆσον, ἔπλασεν ἐπιχείρημα· ὅτι εἴ τις τῶν νῦν ἐχόντων Πύδναν ἢ Ποτίδαιαν ὑπόσχοιτο περιποιήσειν, ἐὰν ψηφίσησθε τοιαύτην δωρεὰν Ἐκφάντῳ, οὐκ ἂν δοίητε. Ἔτι ἐπενθυμήσεις λέγει οὐ τὰ κυρίως ἐνθυμήματα καὶ ἐπενθυμήματα, ἃ συγκριτικῶς προφέρονται καὶ ἐπὶ ταῖς ἐργασίαις τίθενται, ἀλλὰ τὰς ἁπλῶς ἐννοίας τὰς ἐν τοῖς ἐπιχειρήμασι τιθεμένας, ὡς ὁ Ἀπόστολος· [26] „αὐτὸ γὰρ τὸ κατὰ τὸν θεὸν λυπηθῆναι πόσην κατηργάσατο ἐν ἡμῖν σπουδήν, ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλ' ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν·“ Ἄλλο εἰς τὸ διατριβῇ καὶ πλή-

25* Vind. φίλον, scr. φίλην. 26 2 Cor. VII. 11.

θει. τουτέστιν ἐπιμονῇ καὶ ἐγχρονισμῷ καὶ συναγωγῇ. Κατ' ἐπενθυμήσεις, καὶ λόγων καθολικῶν. τὸ ἑξῆς οὕτως· κατ' ἐπενθυμήσεις καὶ κατὰ συμπλοκὴν λόγων καθολικῶν περιστατικοῖς καὶ μερικοῖς καὶ προκειμένοις λόγοις. Τὸ ἐπιχείρημα ἴδιόν ἐστι τῆς ὑποθέσεως, τὸ δὲ ἐνθύμημα καὶ ἐπενθύμημα καὶ ἡ ἐργασία ἔξωθεν τῆς ὑποθέσεως λαμβάνεται, καθόλου δὲ εἰπεῖν πᾶν ἐπιχείρημα ἀπ' αὐτοῦ τοῦ πράγματος λαμβάνεται, ἢ ἔξωθεν ἀπὸ τῶν περιστατικῶν, καὶ τὰ μὲν ἀπὸ τοῦ πράγματος καλεῖται κατὰ τὸν Ἀριστοτέλην ἐνθυμήματα, καὶ λαμβάνεται ἀπὸ τῶν περιστατικῶν, ἃ παντὶ πράγματι παρέπεται, καὶ ἔστι νόημα ὃ κατασκευάζει τὸ προκείμενον κεφάλαιον, τὰ δὲ ἔξωθεν καλεῖται παραδειγματικά, καὶ ἔστιν ἐνθύμημα μὲν ἔξωθεν παραλαμβανόμενον εἰς ἀπόδειξιν τοῦ πράγματος, λαμβάνεται δὲ ἀπὸ τοῦ ὁμοίου, οὗ καὶ εἴδη ἐστὶ τέσσαρα, παραβολὴ καὶ παράδειγμα, καὶ πλάσμα καὶ εἰκών· καὶ παραβολὴ μέν ἐστιν ὄντος καὶ γενομένου πράγματος ἀπομνημόνευσις, „ὥσπερ [27] γὰρ οἰκίας ἢ πλοίου καὶ τῶν ἄλλων τοιούτων τὰ κάτωθεν ἰσχυρότερα δεῖ εἶναι, οὕτω καὶ τῶν πραγμάτων τὰς ἀρχὰς ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει." Παράδειγμα δέ ἐστι γενομένου πράγματος ὁμοίου παράθεσις εἰς ὁμοίωσιν τοῦ ζητουμένου· εἰκὼν δὲ σωμάτων ὁμοιότης ἀπὸ τόπων, οἷον ἐν τῷ κατὰ Ἀριστοκράτους [28] φησὶν, „ὡς ἡ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸ τῆς Βοιωτίας κεῖται, οὕτω καὶ Χερρονήσου πρὸ τῆς Θρᾴκης ἡ Καρδιανῶν κεῖται πόλις.

λζ. Διατριβή ἐστι βραχέος διανοήματος ἠθικοῦ [29] ἔκτασις, ἵν' [30] ἐμμείνῃ τὸ ἦθος τοῦ λέγοντος ἐν τῇ γνώμῃ τοῦ ἀκούοντος· τουτέστιν, ἵνα δόξωσιν οἱ ἀκούοντες, ὅτι ἐξ ἐνδιαθέτου [31] καρδίας ταῦτα ἀπαγγέλλει,

27 Ol. II. p. 21. 28 p. 681. 29 ἠθικοῦ Mon. om. 30 Mon. ἵνα. 31 Vind. ἐνδιαθέτης.

καὶ ἐν ψυχῇ τούτων[32] ἐμπαγῇ[33] καὶ βέβαιον γένηται[34] τὸ ἦθος τοῦ λέγοντος· οἷόν ἐστιν ὅτι ἐπιεικὲς,[35] καὶ ὅτι κατ' ἀνάγκην ὑπεισῆλθε τὴν δίκην· ὡς καὶ ὁ Δημοσθένης ἐποίησεν· ἵνα γὰρ παραστήσῃ, οἷός ἐστιν ὁ Μειδίας ὑβριστὴς καὶ ἀσελγὴς, οὐ πρὸς ἕνα τυχὸν, ἢ δύο, ἀλλὰ πρὸς πάντας εἶπε, „τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν," καὶ τὰ ἑξῆς· οὐκ εἶπε δὲ τοῦ κατηγορουμένου τὸ ἦθος, ἀλλὰ τοῦ λέγοντος, ὅτι ὁ κατηγορῶν τινος, ὡς ὑβριστοῦ, ἑαυτὸν δείκνυσιν ἐπιεικῆ· εἰ μὲν οὖν χαλεπὰ ᾖ τὰ πράγματα, τὴν ἀνάγκην ἐπιδεικτέον,[36] ὡς ἐνταῦθα πεποίηκεν ὁ ῥήτωρ· εἰ δὲ βελτίω τὴν προαίρεσιν, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου· βελτίω γὰρ δράσας ἐνδείκνυται, ὅτι προαίρεσιν ἔχει περὶ τὴν πόλιν ἀγαθήν. Τὸ τῆς ἀσελγείας ὄνομα λέγεται καὶ ἐπὶ τῆς πορνείας καὶ ἀκαθαρσίας· φασὶ γὰρ, ὡς ἡ Σέλγη πόλις ἐστὶ τῆς Πισσιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι· κατ' ἐπίτασιν οὖν τὸ ἀσελγὴς· ἐνταῦθα δὲ[37] ἀσελγὴς καὶ ἀνάγωγος· λέγεται γὰρ καὶ ἡ σφοδρότης καὶ ἡ μετ' ἐπηρείας καὶ θρασύτητος βία ἀσέλγεια.[38] Εἰς τὸ αὐτό. Διατριβή ἐστι τὸ ἐκόντα τὸν ῥήτορα βραχεῖ διανοήματι τῷ λόγῳ ἐνδιατρῖψαι, ὡς ἂν τὸ ἑαυτοῦ ἦθος ἀπομάξωνται[39] οἱ δικασταὶ, ἢ καὶ οἱ ἀκροαταὶ, ὁποῖόν ἐστι τὸ παράδειγμα, ὅπερ ὁ τεχνικὸς εἴληφεν ἐκ τῶν Δημοσθένους· θέλων γὰρ ἑαυτὸν ἐνδεῖξαι ὀργιζόμενον κατὰ Μειδίου, καὶ βουλόμενον δίκην λαβεῖν, ἵνα τὸ τοιόνδε ἦθος παραστήσῃ τοῖς δικασταῖς σαφὲς,[40] τῇ βραχεῖ ἐννοίᾳ ἐμφιλοχωρεῖ· καὶ

---

32 Vind. Med. 1. τούτων. Mon. τοῦτο. 33 Vind. ἐμποιῇ. 34 Vind. γίνεται. 35 Reisk. mavult: οἷον, ὅτι εἰ ἔστιν ἐπιεικὴς, sc. ὁ λέγων. 36 Mon. ἐνδεικτέον. 37 Vind. γὰρ. 38 In Vind. ἀσέλγεια· ἔχει καὶ διατριβήν. Εἰς τὸ αὐτὸ etc. Mon. εἰς τὸ αὐτὸ usque ad litt. λθ'. om. Sunt in Par. 39 Par. ἐναπομάξ. omissis sqq. οἱ δικασταὶ, ἢ καὶ. 40 Par. σαφὲς ponit ante παραστήσῃ.

ἐξὸν εἰπεῖν διὰ ὀλίγων,[41] πάντες ἴστε τὴν εἰς ἐμὲ ὕβριν Μειδίου, ὁ δὲ διὰ μακροῦ ἐξήγγειλε· „τὴν μὲν ἀσέλγειαν καὶ ὕβριν, ἣ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας“ καὶ τὰ ἑξῆς.

λή. Διανοήματος ἠθικοῦ ἔκτασις. Ἠθικὸς[42] γίνεται λόγος, ὅταν προαιρέσεις τινὰς ἐμφαίνῃ πρός τι ῥέπουσας· οὐδὲ γὰρ χρὴ ψιλῶς τὰ πράγματα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην μὲν ἐφ' ἑκάστου προστιθέναι, ἵν' ἡμῖν ἐντεῦθεν τὸ ἐπιεικὲς ἢ ὀργίλον συνιστῆται· καὶ εἰ μὲν χαλεπὰ εἴη τὰ πράγματα, τὴν ἀνάγκην ἐνδεικτέον, εἰ δὲ βελτίω, τὴν προαίρεσιν· αὕτη δὲ πιθανὴ γίνεται ἀπὸ τοῦ τὴν αἰτίαν προτιθέναι, τὴν δὲ αἰτίαν δεῖ τοῦ συμφέροντος καὶ λυσιτελοῦς ἔχεσθαι.

λθ'. Ἔχει δὲ διατριβὴν καὶ τὸ περὶ τοῦ στεφάνου προοίμιον· ἔχει δὲ οὕτω. „Πρῶτον μέν,[43] ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν,[44] τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα.“ Πλῆθος δέ ἐστι ποικίλων ὀνομάτων ἰσοτίμων ἐπίχυσις[45] ἥγουν ἀφθονία πρὸς τὸ κινῆσαι πάθος τοῖς ἀκούουσι. Διαφέρει δὲ ἡ ἐνταῦθα διδασκαλία τῆς[46] ἐν ταυτότητι καὶ ποικιλίᾳ, καθὸ ἐκείνη μὲν ἄσχετός ἐστι· σαφηνείας γὰρ χάριν μόνον εἴρηται, αὕτη δὲ

41 Par. ὀλίγων. Vind. λόγων. 42 Eadem verbis paullo immutatis Med. 1. habet ad marg. διανόημα δέ ἐστιν ἠθικὸν ὅτε προαίρεσίν τινα ἐμφαίνῃ καὶ πρός τι ῥέπουσαν ὁ λόγος, οὐ γὰρ δεῖ ψιλῶς τὰ πράγματα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην ἐφ' ἑκάστου προτιθέναι, ἵν' ἡμῖν ἐντεῦθεν τὰ ἤθη γνώριμα γίνηται. 43 Schol. in Med. 1. ὅρα πῶς βουλόμενος ὁ ῥήτωρ ἐμμεῖναι τὸ ἦθος αὐτοῦ ταῖς τῶν ἀκουόντων διανοίαις ὡς φιλόπολι καὶ φιλόπατρι διατρίβει· ἐξὸν γὰρ εἰπεῖν, εὐχόμην τοῖς θεοῖς, εὐνοῆσαι ὑμᾶς ἐμοὶ, ὡς καὶ ἐγὼ ὑμῖν, τὴν ἐπιμονὴν ποιεῖται. 44 Vind. addit: καὶ ὥσπερ ὑμῶν. 45 Mon. addit: εἰς κίνησιν ἤθους. 46 Vind. τῇ.

πρὸς τὸ πάθος ἐμποιῆσαι τῷ ἀκροατῇ. Διαφέρειν δὲ διατριβῆς πλῆθος λέγουσιν, ὅτι ἐν ἐκείνῃ μὲν κατὰ κῶλον γίνεται ταυτότητος, ἐνταῦθα δὲ κατὰ λέξιν.[47] Εἰς κίνησιν ἤθους. Κίνησιν ἤθους[48] νῦν τὸν ζῆλον τῶν δικαστῶν νόει, διὰ τοῦτο γὰρ συνεφόρησε τὰ ὀνόματα, ἵνα ζηλώσωσιν ὑπὲρ αὐτοῦ τοιαῦτα πεπονθότος, ἢ[49] καὶ τῶν ἀκροατῶν.

μ΄. Ἔχθρου μὲν ἐπήρειαν ἔχει· τοῦτό ἐστι τὸ πλῆθος καὶ ἡ ἐπίχυσις καὶ συμφόρησις τῶν ποικίλων καὶ διαφόρων νοημάτων, ἐπήρεια, ὕβρις, λοιδορία, προπηλακισμός·[50] προπηλακισμὸς δὲ καταχρηστικῶς μὲν λέγεται πᾶσα οἵα δήποτε οὖν ὕβρις, κυρίως δὲ τῷ πηλῷ χρίειν τὸ πρόσωπόν τινος, καὶ ἄγειν αὐτὸν εἰς μέσον, ὃ τοῖς παλαιοῖς ἐπινενόηται, ὅτε τὰ ἔσχατα ὑβρίσαι τινὰ προηροῦντο, ὡς φησιν ὁ Πλούταρχος ἐν τοῖς παραλλήλοις.

μά. Ἡ δὲ ἐπενθύμησίς ἐστιν ἐνθύμημα ἐπιφερόμενον, οἷόν φησιν ἡ Σαπφὼ,[51] ὅτι „τὸ ἀποθνήσκειν κακὸν, οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν, εἴπερ ἦν καλὸν τὸ ἀποθνήσκειν· καὶ πάλιν· „οὐ δεῖ σε[52] δημηγορεῖν· τὸ γὰρ δημηγορεῖν πρᾶγμα σφαλερὸν καὶ ἐπίφθονον· εἰ μὲν γὰρ[53] τὰ δίκαια λέγεις, οἱ ἄνθρωποί σε μισήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί.“ Ταῦτα γοῦν μὴ προστεθέντα μὲν οὐ ζητοῦνται, ἐὰν δὲ προστε-

---

47 Mon. addit: τοῦ δὲ παρόντος ἀγῶνος ὑπόθεσις αὕτη· ἐν τῷ περὶ στεφάνου κεῖται ταῦτα. Sqq. εἰς κίνησιν ἤθους usque ad litt. μά. Mon. om., habet Par. 48 κίνησιν ἤθους repetit Par. 49 ἢ Par. om. 50 προπηλακισμὸς Par. repetit. 51 Versus hos Hermannus in Annal. Vindobon. T. LIV. p. 251, ita restituit:

ἀποθνάσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν,
ἀπέθνασκον γὰρ ἄν, αἴπερ ἦν καλὸν δὴ μ᾽ ἀποθνάσκειν.

52 Vind. με. 53 Mon. οὖν, Reisk. scripsit γὰρ, ut est in Vind.

θῶσι, κατασκευάζουσι τὸν προτεθέντα νοῦν. Τί δέ[54] ἐστιν ἐνθύμημα καὶ τί ἐπενθύμημα, ἔμαθες ἐν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ κεφαλαίῳ τοῦ τρίτου τόμου τῶν εὑρέσεων, ἐν οἷς μετὰ πολλῶν ἄλλων καὶ τοῦτο εἰς παράδειγμα τέθεικεν ὁ Ἑρμογένης, ὅτι χαλεπώτερός ἐστιν ὁ πολίτης ἀδικῶν πολεμίου·[55] ὁ μὲν γὰρ διὰ τὸ γένος συγγνώμην ἔχει, ὁ δὲ ἐπιτείνει τὸ μισεῖθαι[56] διὰ τὸ πολίτης εἶναι.

μβ'. Ἔστιν ἐνθύμημα. Τὸ γὰρ ἐπενθύμημα περιττοτέρα δριμύτης ὂν τοῦ ἐνθυμήματος οὐκ ἀναγκαῖόν ἐστι, καὶ διὰ τοῦτο καὶ μὴ εὑρεθὲν μὲν ὑπὸ τοῦ ῥήτορος οὐκ ἐπιζητεῖται παρὰ[57] τῶν ἀκροατῶν· ἀρκεῖ γὰρ καὶ τὸ ἐνθύμημα μόνον τὴν χρείαν ἀποπληρῶσαι, εὑρεθὲν δὲ καὶ τεθὲν πάνυ τῷ ὅλῳ ἐπιχειρήματι καὶ ἐνθυμήματι συμβάλλεται πρὸς ἰσχύν.

μγ'. Προστεθὲν δὲ τὸ πᾶν ὠφελεῖ, ὡς ἐὰν εἴπῃς νέῳ, πόνει, νέος γὰρ εἶ, καὶ τοῦτο μὲν τὸ ἴδιον, εἶτα τοῦ κοινοῦ ἡ συμπλοκή· πᾶσι γὰρ νέοις, καὶ μᾶλλον ἀνθρώποις, λυσιτελεῖ τὸ πονεῖν.

μδ'. Οἱ δὲ καθολικοὶ λόγοι δῆλον ὅ τι ποτέ εἰσιν, ἐπειδὴ πάντες οἴδασιν, ὅτι γνῶμαί εἰσιν οἱ[58] καθολικοὶ λόγοι. διὰ τοῦτο παρῆκεν εἰπεῖν· δῆλον γάρ, ὅτι γνώμας τοὺς λόγους πάντες τοὺς καθολικοὺς ὀνομάζουσι· κατὰ γὰρ τὸν Θεόφραστον γνώμη ἐστὶ καθόλου ἀπόφασις ἐν τοῖς πρακτέοις.[59] εἰσὶ δὲ τούτων αἱ μὲν παράδοξοι, αἱ δὲ ἔνδοξοι, αἱ δὲ ἀμφισβητούμεναι. καὶ αἱ μὲν παράδοξοι δέονται κατασκευῶν,[60] οἷα ἐστὶν αὕτη.

Χρὴ[61] δ' οὔποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνήρ,
Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

τὰς δὲ ἐνδόξους χρὴ λέγειν ἄνευ ἀποδείξεως· οἷον· ἀνδρὶ

---

54 τί δέ ἐστιν usque ad litt. μδ'. Mon. om. Sunt in Par. usque ad litt. μγ'. 55 Par. τοῦ πολ. 56 τὸ μισεῖσθαι Par. ponit post: πολίτης εἶναι. 57 Vind. περί. 58 Mon. οἱ om. κατα
59 Mon. πρακτικοῖς. 60 Vind. παρασκευῶν. 61 Eur. Med. 297.

δ' ὑγιαίνειν ἄριστόν ἐστι. τῶν δὲ μὴ παραδόξων μὲν [62] ἀδήλων δὲ καὶ ἀμφιβόλων προστιθέναι [63] δεῖ τὰς αἰτίας σὺν ἀποφθέγμασιν· οἷον εἴ τις λέγει, ὅπερ Στησίχορος εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, [64] ὅπως μὴ οἱ τέττιγες αὐτοῖς χαμόθεν ἀντᾴσωσιν· [65] ἐὰν γὰρ ὦσιν οἱ ὑβρίζοντες δυνατώτεροι, δενδροτομήσουσι τὴν χώραν ἅπασαν [66] τοσοῦτον, ὥστε μηδὲ τοὺς [67] τέττιγας ἔχειν ἔνθα καθεσθέντες ᾄσουσι. [68]

μέ. Παράδειγμα [69] καὶ τῶν ἐπενθυμήσεων καὶ τῶν καθολικῶν λόγων παραλλὰξ ἐστὶν ἐν τῷ Θουκυδίδου ἐπιταφίῳ· [70] ὅτι, φησὶν, αἱ ἐπενθυμήσεις καὶ οἱ καθολικοὶ λόγοι περιττότητες εἰσὶν ἐννοίας, [71] ὥσπερ ἡ διατριβὴ καὶ τὸ πλῆθος τῶν λέξεων, [72] ἔξεστί σοι λαβεῖν τὰ παραδείγματα ἀπὸ τῶν ἐν τῷ Θουκυδίδου ἐπιταφίῳ κειμένων· ἔθους γὰρ ὄντος παρὰ τοῖς Ἀθηναίοις ἄνδρα ἀξιώματι προὔχοντα αἱρεῖσθαι ἐπὶ τῷ ἐπαινέσαι τοὺς ἐν τῷ πολέμῳ πεπτωκότας, ᾑρέθη Περικλῆς ὁ Ξανθίππου· [73] καὶ ἐν προοιμίοις μὲν εἶπεν, ὡς „ἐπαινοῦσί τινες τὸν θέντα τόνδε τὸν νόμον, τὸν τοῖς θαπτομένοις διοριζόμενον ἐπιτάφιον λέγεσθαι· ἐμοὶ δὲ ἀρκοῦν ἂν ἐδόκει εἶναι ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων ἔργῳ δηλοῦσθαι καὶ τὰς τιμάς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶται, [74] καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται· ὅ τε γὰρ ξυνετὸς καὶ εὔνους

62 μὲν Mon. et Vind. om. addidi duce Reiskio. 63 Vind. προτιθέναι. 64 Vind. ὅπερ. — Arist. Rhet. III. 11. 65 Vind. ᾄδωσιν. 66 Vind. πᾶσαν. 67 Mon. τάς. 68 Mon. καθισθήσονται δὴ καὶ ᾄκουσι. 69 Mon. παραδείγματα. 70 παραλλάξ ἐστιν ἐν τῷ Θουκυδίδου ἐπιτ. ex Mon. recepi, Vind. om. 71 Vind. ἐννοίαις. 72 Mon. λέξεως. 73 Vind. Ξωνθείππου. — Thuc. II, 35. 74 Vind. ὁρᾶσθαι.

ἀκροατὴς τάχα ἄν τι ἐνδεεστέρως πρὸς ἃ βουλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ τε[75] ἄπειρος ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν αὐτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε οἱ ἔπαινοί εἰσιν ἀνεκτοὶ περὶ ἑτέρων λεγόμενοι, εἰς ὅσον ἂν καὶ αὐτὸς[76] ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε. τῷ δ' ὑπερβάλλοντι φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν." ἐνταῦθα μὲν οὖν τὸ σκληρὸν καὶ αὔθαδες νόημά ἐστι τὸ μὴ λέγεσθαι ἐπιτάφιον. τὰ δὲ ἐπενθυμήματα ἤγουν αἱ κατασκευαί, ὅτι χαλεπὸν τὸ εἰπεῖν ἀξίως, ὧν ἔπραξαν καὶ κατώρθωσαν οἱ ἀποθανόντες, ὁμοίως καὶ τὰ ἐφεξῆς· ὁ μὲν γὰρ ἔμπειρος, φησὶν, ὧν ἔπραξαν οἱ ὑπὲρ τῆς πατρίδος ἀποθανόντες,[77] οὐ νομίσει ἱκανῶς καὶ ἀξίως λεχθῆναι τὸν ἔπαινον. ὁ δὲ ἄπειρος καὶ πάντα ὑπὲρ τὴν ἀξίαν οἰήσεται ῥηθῆναι· διὰ δὲ τὸ ἄπιστον ἐνταῦθα τὸ καθολικὸν παρελήφθη τό· μέχρι γὰρ τοῦδε οἱ ἔπαινοι εἰσὶν ἀνεκτοί· γνῶμαι[78] γάρ εἰσι ταῦτα. ἰδίους δὲ λόγους ἢ τοὺς παραδόξους λέγει· τὸ γὰρ παράδοξον ἑνός τινος δόξα ἔστιν· ἢ τοὺς μερικοὺς λόγους, ἢ τοὺς προκειμένους, καὶ περὶ ὧν ὁ σκοπὸς τῷ λέγοντι. — Ὧν ὁ καιρὸς οὗτος.[79] Διδάσκει ὁ τεχνικὸς, πηνίκα χρηστέον ἐπενθυμήσει, καὶ πηνίκα λόγοις καθολικοῖς.

μς'. Σκληρὰ δὲ καὶ αὐθάδη διανοήματά ἐστι τὰ δεόμενα κατασκευῆς καὶ ἀποδείξεως. Ταῦτα δὲ ἢ ἀφ' ἡμῶν, ἢ ἀφ' ἑτέρου εἰσάγονται. ὡς τὸ εἰδωλικῆς τεχνουργίας ὑπαρχούσης τῆς τῶν εἰκόνων ἀνατυπώσεως οὐ δεῖ ταύτας προσκυνεῖν· τοῦτο οὐκ αὔθαδες μόνον, ἀλλὰ καὶ ἀσεβὲς καὶ βλάσφημον, καὶ διανοίας ἐφεύρημα πεπωρω-

75 Vind. ὅτι. 76 Vind. αὐτή. 77 Mon. ἐκλιπόντες. ἐκλιπόντες. Reisk. conj. τὸ ζῆν ἐκλιπόντες. Vind. ἀποθανόντες. mox Vind. ἱκανόν. 78 Mon. γνώμη γάρ ἐστι ταῦτα. 79 ὧν ὁ καιρὸς οὗτος usque ad cap. περὶ τῶν αὐθαδῶν καὶ τολμηρῶν διανοημάτων Mon. om.

μένης καὶ κακοδαίμονος. Ἔτι αὖθαδές ἐστι τὸ αὐτῷ μόνῳ ἀρέσκον τῷ εἰσάγοντι μὴ μέντοι δὲ καὶ πᾶσιν, σκληρὸν δὲ τὸ ἀπαράδεκτον· οἷον οὕτω·

Τόνδε φέρω [80] Λὶ μῦθον ἀπηνέα τε κρατερόν τε·

διαφέρει δὲ ἡ ἐνταῦθα διδασκαλία τῆς ἐν ταυτότητι καὶ ποικιλίᾳ, καθὸ ἐκείνη μὲν ἄσχετός ἐστι· σαφηνείας γὰρ μόνον χάριν εἴρηται· αὕτη δὲ τὸν πρός τι· πρὸς γὰρ τὸ πάθος ἐμποιῆσαι τῷ ἀκροατῇ λαμβάνεται, ὡς ἐν τῷ Θουκυδίδου ἐπιταφίῳ· ἐνταῦθα γὰρ λέγει ὁ Θουκυδίδης, ὅτι οὐ χρὴ λέγειν ἐπιτάφιον τῶν ὑπὲρ τῆς πατρίδος ἀποθανόντων, ἀλλ᾽ ἐγκώμιον, οὗτοι γὰρ ζῶσιν, οὐκ ἀπέθανον. Τοῦτο ἐπενθύμημα τὸ οὐ δεῖ θρηνητικὸν λόγον λέγειν, ὡς ἐν τοῖς ἐπιταφίοις, ἀλλὰ μᾶλλον ἐγκωμιαστικούς. αὖθαδες οὖν ἐστι καὶ σκληρὸν τὸ λέγειν, ὅτι οὐ χρὴ λέγειν ἐπιτάφιον ἐπὶ τῶν ὑπὲρ τῆς πατρίδος ἀποθανόντων· ἴδιος δὲ λόγος ἐστὶ τὸ λέγειν, ὅτι χρὴ μᾶλλον λέγειν ἐγκώμιον, τουτέστι παράδοξος λόγος· τὸ γὰρ παράδοξον ἑνός τινος δόξα ἐστὶ, καὶ διὰ τοῦτο εἶπεν ἴδιος, κοινὸς δὲ λόγος καὶ καθολικός ἐστιν ὁ πᾶσι δοκῶν, ὡς τὸ „πέρας [81] μὲν ἅπασιν ἀνθρώποις τοῦ βίου ὁ θάνατος·“ ἰδίους δὲ λόγους λέγει τοὺς παραδόξους, ἢ τὰς ἐπενθυμήσεις μερικὰς οὔσας, ἢ τὰς προκειμένας καὶ περὶ ὧν ὁ σκοπὸς τῷ λέγοντι, ὡς τῷ Θουκυδίδῃ σκοπὸς ἦν οἱ τεθνεῶτες ἐν πολέμῳ. Καὶ κατὰ γνώμην τουτέστι κατ᾽ ἔννοιαν.

Τοῦ Τζέτζου. Ἐν τῷ ἐπιταφίῳ χρεία. Τοῖς Ἀττικοῖς πρὶν ἀνδράσιν ἐπηρμένοις, μέγα φρονοῦσι ταῖς τύχαις ταῖς πατρίαις, ἐνῆν νόμος τις ὀφρύος πεπλησμένος· Ἀμαζόνας γὰρ Ἄρεος οὔσας κόρας ἡττηκότες πρώτιστον ἐν στερρᾷ μάχῃ, Θηβῶν μετ᾽ αὐτὰς δευτέραν πανοπλίαν, τρίτην Ἐννὼ κρατερὰν Εὐρυσθέως, ἄλλην δὲ μακρῷ τῆσδε δυσχερεστέραν φάλαγγα πυκνὴν Περσικὴν Δαρειάδα, Ξέρξην μετ᾽ αὐτὸν τὸν πνέοντα φασγάνων,

80 Vind. φέρω τόνδε. Il. O. 202. 81 pro cor. p. 258.

τὸν τὰς ἀπείρους τῶν στρατῶν λοχαγίας [82] πεζῇ διαζεύξαντα τοῦ πόντου μέσον, Ἄθων δὲ τὸν πλεύσαντα ναυσὶ μυρίαις, νόμους ἔθεντο τῶν φρενῶν ἐπαξίους· τοὺς γὰρ πεσόντας ἐν Μαραθῶνι τότε, καὶ τοὺς πρὸ αὐτῶν Ἀττικῶν στρατηγέτας ὑμνεῖν ἐτῶν ἔταξαν εἰς περιδρόμους. λαχὼν δὲ τούτους καὶ Περικλῆς αἰνέσαι προοίμιον τέθεικεν οὕτω [83] τῷ λόγῳ· „πρὸς τοὺς ἀρίστους τοὺς πεσόντας ἐν μάχαις γράψαι ἐπαίνους οὐκ ἐχρῆν, αὔθαδες [84] τόδε·“ φέρει δ' ἐπενθύμημα καὶ κοινοὺς λόγους· „τούτους γὰρ αἰνέσας τις ὡς πρὸς ἀξίαν ψεύστης δοκεῖ, πῶς ῥήτορας γράψας σθένει· εἰ δ' ἐνδεῶς, ἤσχυνε τοὺς ἄνδρας λέγων.“

Cap. VI.

Περὶ τῶν αὐθαδῶν [1] καὶ τολμηρῶν διανοημάτων.

Τῶν αὐθαδῶν καὶ τολμηρῶν διανοημάτων θεραπεῖαι καὶ παραμυθίαι δύο. Ὅπως ἂν θεραπεύσωμεν τὰ τολμηρὰ δοκοῦντα νοήματα, δύο μεθόδους παραδίδωσι. Βραχεῖάν τινα προσθήκην. οἷον τὸ ὥσπερ, τὸ μονονουχὶ καὶ τὸ οἷον. Καὶ τὸ ὁμολογεῖν τὸ τόλμημα, ἐν τῷ λέγειν· εἰ καὶ χαλεπόν ἐστιν, ὅ φημι, ἢ λυπηρὸν ἢ βαρύ, ἤ τι τοιοῦτον, ἀλλ' οὖν λέγω τοῦτο. Ὁ μὲν παρὼν καιρός. Τοῦτο ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν κεῖται· ὅτι τῶν πραγμάτων μονονουχὶ προκαλουμένων ἡμᾶς εἰς ἀντίληψιν, αὐτοὶ ἀμελεῖτε. Ὥσπερ ἐωλοκρασίαν· τοῦτο ἐν τῷ περὶ στεφάνου κεῖται· [2] „καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ λέ-

---

οὕτω αὔθαδες.

82 Vind. λοχαργίας. 83 Vind. αὐτοῦ. 84 Vind. σκληρόν.

1 Vind. constanter αὐθάδων. rationem infra in commentario invenies. 2 p. 242.

γειν, καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι· αἴτιος δ' οὗτος ὥσπερ ἐωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας." Περὶ δὲ τῆς ἐωλοκρασίας τοιοῦτόν τι λέγεται· ἔθος ἦν ἔν τινι ἑορτῇ τοῖς παννυχίζουσι μέτρον οἴνου δίδοσθαι, ὥστε πίνοντι ἑκάστῳ ἀγρυπνεῖν·[3] εἰ δέ τις καθευδήσας εἴασε τὸν οἶνον, ἕωθεν ὁ ἄρχων κατέχεε τοῦτον, πάντων ὁρώντων, κατὰ τῆς κεφαλῆς αὐτοῦ, καὶ τοῦτο ἐκαλεῖτο ἐωλοκρασία· ἐγὼ δὲ νομίζω πεποιῆσθαι μᾶλλον τὸ ὄνομα ὑπὸ[4] τοῦ ῥήτορος ἀπὸ τῶν ἐώλων, ἃ ἐστιν ἀρχαῖα· πράγματα γὰρ ἀρχαῖα συγκεράσας ὁ Αἰσχίνης καὶ ψυχρὰ καὶ μάταια κατηγόρησεν αὐτοῦ.

Ἔτι[5] εἰς τὸ τῶν αὐθαδῶν[6] καὶ τολμηρῶν διανοημάτων. Ἐνταῦθα διδάσκει, πόσαι καὶ ποῖαι τῶν αὐθαδῶν διανοημάτων[7] αἱ θεραπεῖαι καὶ παραμυθία, ἤτοι ἀσφάλειαι, πρὸς τὸ μὴ κινδυνευώδη γενίσθαι τὸν λόγον, ὅτι δύο, ἢ βραχεῖα προσθήκη, ἢ ὁμολογία τοῦ τολμήματος· βραχεῖα μὲν προσθήκη, ὡς τό· „τάχα καὶ τὸ ὃ λαλῶ οὐ κατὰ κύριον λαλῶ, λαλήσω δὲ ὅμως· τούτῳ τῷ στεφάνῳ κἀγώ τι συνεβαλόμην τοῖς πλέκουσι," καὶ τό· „οὐδὲ αὐτὸν οἶμαι χωρῆσαι τὸν κόσμον τὰ γραφόμενα βιβλία·"[8] καὶ τό· ἡ δριμύτης ἐπιβόλειός ἐστι βαθύτης," καὶ τό· „καθάπερ ῥήτορι ῥέοντι καὶ τοῖς λόγοις ἐπικλύζοντι·" παραμυθία γὰρ τοῦ ῥέοντος τὸ ἐπικλύζοντι· ὁμολογία δὲ τοῦ τολμήματος, ὡς τό· „τολμᾷ τι νεανικὸν ὁ λόγος· θεὸς θεοῖς ἐνούμενός τε καὶ γνωριζόμενος." Τολμηρὰ δὲ διανοήματά ἐστι τὰ ἄπιστα καὶ παράδοξα, οἷς ἐπάγειν δεῖ κατά τινας οἰκονομίαν τινὰ, τὸ ὁμολογεῖν μὲν, οὐκ εὔπιστα εἶναι τὰ πράγματα,

3 videtur ἐπάναγκες εἶναι vel tale quid deesse. Reisk. 4 Vind. ἀπό. 5 Vind. εἴτι. 6 ἔτι εἰς τὸ τῶν αὐθαδῶν usque ad καὶ Πλάτων, οἷον ἅλμυρὰν Mon. om. 7 Vind. διηγημάτων. 8 Ev. Joh. XXI. 25.

ὑπισχνεῖσθαι δὲ τοὺς ἐλέγχους καὶ τὰς πίστεις. Τὰ δὲ ἀτοπίαν ἢ αἰσχύνην ἔχοντα νοήματα συγχωρούντων μὲν τῶν πραγμάτων παραλειπτέον· ἀνάγκης δὲ οὔσης εἰπεῖν οὐκ ἐκστατέον· θεραπεία γὰρ τῶν ἀτόπων νοημάτων ἐστὶν ἡ ὁμολογία τῆς ἀνάγκης. Τὸ δὲ αὐθαδῶν ὁ μὲν Ἀρίσταρχος ἀλόγως περισπᾷ, ἄλλοι δὲ ὡς οὐδέτερον ὂν βαρύνουσι τὸ αὔθαδες νόημα, καὶ ἡ γενικὴ τῶν πληθυντικῶν τῶν αὐθάδων. Ἐπὶ δὲ τῶν γριφωδῶν καὶ συμβολικῶς λεγομένων ἐκλείπουσιν αἱ παραυυθίαι αὗται, οἷον ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου, τουτέστιν οὕτως εἰσὶν ἕτοιμοι πρὸς πληγὰς αἱ τοῦ μεθύσου χεῖρες, ὡς ὑπὸ ἀκανθῶν νυττόμεναι· καὶ ὁ Δημοσθένης[8*] „ἀπὸ τριῶν τρυπημάτων τὴν ἐργασιαν πεποίηται·“ συμβολικὸν δὲ διήγημά ἐστι τὸ εἰς τὴν ψύλλαν. Ἔθνος Μαυρούσιον μηνὶ Μαρτίῳ γεννᾶται, ὑπὸ πέντε διώκεται καὶ ὑπὸ δύο τελευτᾷ, τουτέστιν ὑπὸ τῶν πέντε δακτύλων διώκεται, καὶ ὑπὸ τῶν δύο τελευτᾷ· ἐφ᾽ ὧν δὲ ὀνομάτων ἡ μεταφορὰ τὸν τοῦ κυρίου μετέχει τόπον, ἐπὶ τοῦτον λανθάνει διὰ τὸ ἀσφαλῶς μετενηνέχθαι· καὶ οὐ δεῖ παραμυθίας, ὡς ὅταν λέγωμεν· φωνὴν λευκὴν καὶ ὀφθαλμὸν ἀμπέλινον, καὶ ὅσα οὕτως μουσικῶς καὶ πεπαιδευμένως μεταφέρει τις, ὥστε ὅμοια δοκεῖν τοῖς κυρίοις διὰ τὴν συνήθειαν· σπόνδυλοι δὲ καὶ κλεῖς καὶ κτένες τὰ ἐπὶ τοῦ σώματος οὐ κατὰ μεταφορὰν ὠνόμασται, ἀλλὰ καθ᾽ ὁμοιότητα, διὰ τὸ ἐοικέναι τὸ μὲν κτενὶ, τὸ δὲ κλειδὶ, τὸ δὲ σπονδυλίῳ· μεταφέρειν δὲ δεῖ ἀπὸ τῶν μειζόνων ἐπὶ τὰ ἥττονα, οὐ μὴν τὸ ἀνάπαλιν· οἷον τοῦ Ξενοφῶντος ἐπειπόντος· [9] „ἐπεὶ δὲ πορευομένων ἐξεκύμηνέ τι τῆς φάλαγγος,“ εἰ [10] μεταβαλών τις εἴπῃ, ἐκφαλαγγίσασα ἡ θάλασσα, οὐκ οἰκείως μετοίσει, ἀλλὰ πάντη σμικροπρεπῶς· συμβάλλονται δὲ αἱ

8* in or. in Neaeram olim lectum esse testatur Hermog. de Id. II. 5. 9 Vind. ἐποιπόντος. Anab. I. 8. 18. 10 Vind. εἰς.

αἱ μεταφοραὶ πρὸς ἡδονὴν καὶ ὄγκον καὶ μέγεθος τοῖς λόγοις, καὶ χρὴ λαβεῖν αὐτὰς μὴ πόῤῥωθεν, ἀλλ' ἐκ τοῦ ὁμοίου· οἷον ἐοίκασιν ἀλλήλοις ὁ στρατηγὸς καὶ ὁ κυβερνήτης καὶ ὁ ἡνίοχος· πάντες γὰρ οὗτοι ἄρχοντές εἰσιν, ὅθεν ἀσφαλῶς ἐρεῖ τις καὶ τὸν κυβερνήτην στρατηγὸν, καὶ τὸν στρατηγὸν ἄρχοντα τῆς νεώς. Ἔνιαι δὲ μεταφοραὶ σμικροπρέπειαν μᾶλλον ποιοῦσιν ἢπερ μέγεθος·

Ἀμφὶ δ' ἐσάλπιγξε μέγας οὐρανός, [11]

οὐρανὸν γὰρ ὅλον ἠχοῦντα οὐκ ἐχρῆν προσεικάσαι σάλπιγγι ἠχούσῃ, πλὴν εἰ μή τις ὑπεραπολογεῖται Ὁμήρου, λέγων ὡς οὕτως ἤχησεν, ὡς εἴ τις ἠχήσει σάλπιγξ. Θεραπεῖαι δὲ καὶ παραμυθίαι ταὐτόν ἐστιν· ἀνωτέρω δὲ πρὸς μὲν τὰ σκληρὰ καὶ αὐθάδη διανοήματα καιρὸν ἔλεγεν ἔχειν τὰς ἐπενθυμήσεις, ἵνα μαλάξωσι τὰ ἤθη· ἐνταῦθα δὲ τῶν αὐτῶν τούτων θεωρημάτων δύο λέγει παραμυθίας καὶ θεραπείας, ἄλλο γάρ ἐστι παραμυθία καὶ ἄλλο πίστωσις.

μή. Βραχεῖα μὲν οὖν προσθήκη οὕτως. Βραχεῖαν μὲν λέγει προσθήκην τὸ μονονουχὶ, τοῦτο γὰρ ἡ προσθήκη, καὶ τὸ τολμηρὸν νόημα, τὸ ὃ καιρὸς λέγει ἐθεράπευσεν· εἰ δὲ χωρὶς τοῦτο εἶπεν, ἔξω τοῦ πολιτικοῦ χαρακτῆρος τὸν λόγον ἐποίει, νῦν δὲ τοῦτο προσθεὶς ἐκόλασεν αὐτὸ διὰ τούτου.

μθ'. Τὸ [12] μονονουχί ἐστιν ἡ βραχεῖα προσθήκη· τὸ δὲ αὔθαδες, ὅπερ καὶ τῆς παραμυθίας ἐδεῖτο, τὸ φωνὴν ἀφιεὶς, αὔθαδες γὰρ ὡς ἀληθῶς τὸ λέγειν, τὸν καιρὸν φωνὴν ἀφιέναι. [13]

ν'. Ἑωλοκρασία ἐστὶ χθεσινὸν καὶ παλαιὸν κρᾶμα, τοῦτο δὲ καὶ δριμύμητα ἔχει, ἐμφαίνει γὰρ τοῦτο μέθυσον τὸν Αἰσχίνην· ἕωλον δὲ τὸ χθίζινον καὶ μὴ πρόσφατον· κατεχεῖτο δὲ τότε ἡ ἕωλος κρᾶσις τῶν πανυχίζειν

11 Il. Φ. 388. 12 Haec usque ad χθεσινῆς ἡμέρας p. 1162. v. 11. habet Par. 13 Par. addit: τὸ ὥσπερ ἐστὶν ἡ βραχεῖα προσθήκη, τὸ δὲ ἑωλοκρασίαν τινὰ καταχέας, τὸ αὔθαδες.

μὴ δυναμένων, καὶ γὰρ συνῆεσάν τινες πολλάκις πρὸς τὸ πίνειν δι' ὅλης τῆς νυκτὸς, καὶ οἶνον κρατῆρσιν ἐγκεράσαντες ἔπινον, εἶτα, οἷον εἰκὸς, οἱ μὲν ἀπηγόρευον, οἱ δὲ ἀντεῖχον· οἱ τοίνυν εἰς ἡμέραν ἀνίσχουσαν καρτερήσαντες τὸ περιττευόμενον κρᾶμα τῷ κοιμωμένῳ ἐπέχεον, σύμβολον τῆς ἥττης· ἔτι ἐωλοκρασίαν λέγει τὰς ἀσεβεῖς φλυαρίας ἃς εἶπεν κατ' αὐτοῦ. Καὶ γὰρ ὁ Αἰσχίνης παλαιὰν διήγησιν ἤτοι παλαιὰ διηγήματα κατὰ τοῦ Δημοσθένους ἐσκέδασεν. Ἐωλοκρασίαν [14] κυρίως ἂν εἴποι τις τὴν ματαίαν κρᾶσιν, καταχρηστικῶς δὲ ἔλαβον τοῦτο ἐπὶ τῆς χθεσινῆς ἡμέρας. [15]

Καὶ Πλάτων, οἷον [16] ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι· ἐν τῷ Φαίδρῳ τοῦτο κεῖται, ἡ δὲ ὑπόθεσις τοῦ λόγου τοιάδε. Λυσίας, ὁ ῥήτωρ, ἐρῶν τοῦ Φαίδρου αἰσχρῶς, τυγχανόντων καὶ ἑτέρων ἐραστῶν αὐτοῦ, προσποιούμενος δὲ μὴ ἐρᾷν, ἐσπούδαζε διὰ λόγων τῶν μὲν ἄλλων ἀποστῆσαι τὸν Φαῖδρον, ἑαυτῷ [17] δὲ μᾶλλον χαρίζεσθαι, [18] ὡς μὴ ἐρῶντι· εἰκὸς γὰρ εἶναι τοῖς μὴ ἐρῶσιν αὐτὸν μᾶλλον στοιχεῖν· τοῦτον οὖν τὸν λόγον ὑπερθαυμάζων ὁ Φαῖδρος συνέτυχε Σωκράτει· ὁ δὲ τοῦ θαυμάζειν τε τοῦτον ἐκώλυσε καὶ σφόδρα τὸν ἐρῶντα διέβαλε, [19] καὶ ταῦτα εἰπὼν ἠβουλήθη τὸν ποταμὸν διαβὰς ἀπιέναι· καὶ γίνεται αὐτῷ κατὰ τὸ εἰωθὸς σημεῖον κώλυσις ὑπὸ τοῦ δαιμονίου· συνήσθετο [20] οὖν τὴν αἰτίαν, τὸ κατηγορῆσαι δηλαδὴ θεοῦ ὄντος τοῦ ἔρωτος, καὶ εὐθὺς ἐπεχείρησεν ἀνυμνῆσαι τοῦτον, προειπών· ὡς αὐτὸν τὸν ἔρωτα δεδιὼς ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι· πότιμον μὲν οὖν λόγον τὸν [21] ἀπὸ θεοῦ

---

14 Par. ἐωλ. δὲ κυρίως μὲν εἴποι. 15 Par. μέθης. 16 οἷον Mon. om. Phaedr. p. 343. c. 17 Vind. ἑαυτόν. 18 videtur πεῖσαι vel ποιῆσαι vel simile quid deesse. Reisk. 19 Mon. διέβαλλε. 20 Vind. συνήθετο. 21 Mon. τὸ ἀπὸ νοῦ καὶ θεῶν ἐκάλεσε. Vind. τὸν ἀπὸ θεοῦ. omisso ἐκάλεσε.

ἐκάλεσε, καὶ τὸν περὶ τὴν ἐκείνων θεωρίαν ἀναστρεφόμενον· ἀλμυρὸν δὲ τὸν περὶ τὰ αἰσθητὰ καὶ ἔνυλα διατρίβοντα. ἢ ἀλμυρὸν μὲν λόγον λέγει τὸν ψόγον τοῦ ἔρωτος, πότιμον δὲ τὸν ἔπαινον αὐτοῦ. Ὁ δὲ θεολόγος [22] ἀθεράπευτον τοῦτο εἰσάγει, λέγων, „μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἀλμυροὺς ἀποκλίσωμεν·“ διότι περὶ τῶν Ἑλληνικῶν λόγων ἦν ὁ λόγος αὐτοῦ· καὶ ἔμελλε μᾶλλον κινδυνώδης γίνεσθαι ὁ λόγος, εἰ μετὰ προσθήκης τοῦ οἷον προήνεγκεν· ἐνέφηνε γὰρ μὴ εἶναι τελέους ἀλμυροὺς τοὺς Ἑλληνικοὺς λόγους, ὅπερ ἄτοπον· ὁ δὲ Ξενοφῶν τὰ τολμηρὰ διανοήματα καὶ δι' ἐπιμονῆς παραμυθεῖται· εἰπὼν γὰρ περὶ τῶν Ἀσσυρίων, πρὸς οὓς ἐξάγειν [23] Πέρσαις πόλεμον συνεβούλευεν, ὅτι „οὐ γάρ πω οὗτοι ἱκανοί εἰσιν ἀγωνίζεσθαι, οἷς [24] ἂν τοξεύωσιν ἢ ἀκοντίζωσι,“ παράδοξον ἔδοξεν εἰσάγειν· πρότερον δέ φησιν ἰδιώτας εἶναι τοὺς ἐναντίους· πολλοὶ γὰρ αὐτοὺς ἄριστα πολεμεῖν συνεπίστανται, καὶ διὰ τοῦτο παραμυθίαν ἐκ τῶν ἐπιζευχθέντων, τουτέστιν ἐπαχθέντων, αὐτοῖς παρέσχε, δὶς καὶ τρὶς τῷ λόγῳ χρησάμενος· δεῖ δὲ ἡμᾶς, ὅταν λέγωμεν παράδοξά τινα πρότερον πολλάκις ἐπάγειν αὐταῖς ταῖς κατασκευαῖς, ἵνα γίνηται τῷ συνεχεῖ πιθανόν, παρακειμένων τῶν ἀποδεικνύντων αὐτοῖς,[25] ὅπερ ἐκεῖνος ἐποίησε προσθεὶς τὴν προτέραν καὶ μὴ συνάψας αὐτὴν πολλάκις ταῖς κατασκευαῖς· οἷον εἰπὼν, ὅτι „οὐ γάρ πω οὗτοι ἱκανοί εἰσιν ἀγωνισταὶ, οἷς ἂν τοξεύωσιν ἢ ἀκοντίζωσιν,“ ἐπήνεγκεν, „οὐδέ γε οἵτινες, ποιῆσαι δέον, [26] ἡττῶνται ὕπνου, ἱκανοί εἰσιν ἀγωνισταὶ, ἀλλὰ καὶ οὗτοι ἰδιῶταί εἰσι κατὰ τὸν ὕπνον, καὶ οὐκ ἴσασι χρῆσθαι νυξίν, ὅσα περ ἡμέρᾳ ἡμεῖς,“ καὶ οὕτω μὲν παρεμυθήσατο τὴν παραδοξολογίαν διὰ τῆς ἐπιμονῆς,

---

Reisk. mavult περὶ pro ἀπό. 22 ὁ δὲ θεολόγος usque ad litt. νβ'. Mon. om. 23 Vind. ἐξάγει. 24 Vind. οἷς. Cyrop. I. 5. 11. οἵ. 25 Vind. αὐτός. 26 Vind. οὐδὲ, scripsi δέον.

καὶ οὐκ ἐφυλάξατο αὐτὴν δὶς καὶ τρὶς ἐπενεγκεῖν· εἰ δὲ ἦν γνώριμος, οὐκ ἂν πολλάκις αὐτὴν προήνεγκεν, ἀλλότριον γὰρ τοῦτο τοῦ δημιουργικοῦ τρόπου καὶ διαλεκτικοῖς μᾶλλον ἁρμόττον ἢ ῥήτορσι· πλὴν ἀνάγεται καὶ τοῦτο ὑπὸ τὴν βραχεῖαν προσθήκην τοῦ τεχνικοῦ, εἰ καὶ πλατύ ἐστι· τὸ αὐτὸ ποιεῖ καὶ ὁ Ἀφθόνιος παλιλλογῶν τὴν ἀπορίαν τοῦ κατὰ φύσιν ἀδυνάτου· διὰ πολλῶν πρότερον παριστῶν τὸ ἀδύνατον, ἔτι καὶ τὸ τῶν ὑπερβατῶν εἶδος, καὶ ὁ χαρακτὴρ πανηγυρικοῖς μὲν καὶ πρὸς ψυχαγωγίαν ἡρμοσμένοις λόγοις πρέπει· πολιτικοῦ δὲ τρόπου καὶ πρὸς ἀγῶνα συγκειμένου μακρὰν ἀφέστηκε, [27] καὶ ποιηταῖς μὲν καὶ συγγραφεῦσιν οἰκεῖός ἐστι, ῥήτορσι δὲ πολλῆς εὐλαβείας ἄξιος. Ὁ δὲ Ξενοφῶν καὶ συνεχῶς ταύτῃ ἐνταῦθα κέχρηται· [28] „νυξὶν μὲν," λέγων, „ὅσαπερ ἡμέραις χρῆσθαι, λιμῷ δὲ ὅσαπερ ὄψῳ προσφέρεσθαι, δίψει δὲ ὅσαπερ ποτῷ·" ὅμως δὲ παραμυθεῖται ἡ πρὸς τὰ λεγόμενα τῶν ἀκουόντων οἰκειότης· ἡδέως γὰρ ἀκούουσιν ἅπαντες τῶν εἰς ἑαυτοὺς ἐπαίνων· συνεισάγει δὲ καὶ παρ' ἑαυτοῦ μετρίαν τινὰ παραμυθίαν· φησὶ γὰρ, εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν, ἀλλὰ γινώσκων λέγω, καὶ οὐκ ἐμαυτὸν ἐξαπατῶ. Ἔτι θεραπεία ἐστὶ τοῦ τολμηροῦ διανοήματος ἡ προκατασκευὴ, ὡς τό· [29]

Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο,

τοῦτο γὰρ πρὸς κατασκευὴν ἔχει τό· [30]

οὐ γὰρ ἐῴκει
Ἀνδρὶ γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι.

καὶ τὸ ῥόπαλον αὐτῷ προσάψαι,

Ὅσσον [31] ἰστὸν νηὸς εἰκοσόροιο μελαίνης.

ὁμοίως προκατασκευή ἐστι δηλονότι καὶ τῇ τοῦ Ἀποστόλου· [32] „εἶδον ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε

27 Vind. ἐφέστηκε. 28 Cyrop. I. 5. 12. 29 Od. ι. 481. 30 Od. ι. 190. 31 Vind. ὅσον εἰς τὸν νηὸς εἰκουόῤῥοιο, μ. correxi ex Od. ι. 322. 32 2. Cor. XII. 2.

ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος·" ἔχει δὲ καὶ βραχεῖαν προσθήκην τό· „καυχᾶσθαι οὐ συμφέρει μοι·" ἀνάγεται δὲ καὶ ἡ προκατασκευὴ ὑπὸ τὴν βραχεῖαν προσθήκην. Ἔτι προκατασκευή ἐστι καὶ τὸ τοῦ θεολόγου τό· „καὶ ἔστην καὶ ἀπεσκόπευσα καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν· καὶ οὗτος ὑψηλὸς σφόδρα καὶ ἡ ὅρασις αὐτοῦ ὡς ὅρασις ἀγγέλου" καὶ τὰ ἑξῆς.

νβ. Ὁμολογία δὲ τοῦ τολμήματος, ὡς ἐν τῷ κατὰ Τιμοκράτους· ὁ Τιμοκράτης εἰσήνεγκε νόμον τοιόνδε. εἴ τις Ἀθηναῖος ἐπὶ δημοσίῳ ὀφλήματι δεσμώτης γενήσεται, ἐξέστω αὐτῷ ὑπὲρ ἑαυτοῦ ἐγγυητὰς καταστήσαντι, οὓς ἂν ὁ δῆμος χειροτονήσειεν, ἢ μὴν [34] ἐντὸς ῥητῆς προθεσμίας ἐκτίσειν, ἀφεθήσεσθαι τοῦ δεσμοῦ· ἐὰν δὲ ἐπιστάντος τοῦ χρόνου μὴ ἐκτισθῇ [35] τὸ ὄφλημα, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν· παντάπασι τοῦτον αἰτιᾶται τὸν νόμον Διόδωρος, ὑπὲρ Γλαυκίου καὶ Μελανώπου καὶ Ἀνδροτίωνος λέγων γεγράφθαι, οἳ πρεσβευταὶ ἀποσταλέντες καὶ ἐμπόροις Ναυκρατίταις περιτυχόντες, ἐχθροῖς οὖσι τῶν Ἀθηναίων, ἀφείλοντο τὰ χρήματα αὐτῶν· ὁ οὖν δῆμος εἰσεπράττετο ταῦτα ἀπὸ Λυσιθίδου [36] καὶ Ἀρχιβίου τῶν τριηράρχων τῆς νηὸς, ἐφ' ἧς οἱ περὶ τὸν Ἀνδροτίωνα ἔπλεον· ἐκείνων δὲ φασκόντων μὴ ἔχειν, οἱ πρεσβευταὶ ὡμολόγησαν, καὶ ἔδει πάντα καταβαλεῖν· βοηθῶν οὖν αὐτοῖς ὁ Τιμοκράτης τέθεικε τοῦτον τὸν νόμον· φορτικὸν δὲ καλεῖ τὸν λόγον, ὅτι κελεύει ἀποκτεῖναι τὸν Τιμοκράτη, νομοθέτην ὄντα καὶ σοφὸν καὶ γέροντα ἤδη, ὃν νομοθετήσαι τοῖς ἐν Ἅιδου [37] κελεύει· τοῖς γὰρ ζῶσιν οὐ συμφέρειν [38] τὰ παρ' αὐτοῦ τιθέμενα· νεκροὶ δὲ οὐ πολιτεύονται. Ἔστι δὲ [39] θερα-

33 Vind. γένηται. 34 Vind. μή. 35 Vind. ἐκτιθῇ.
36 Vind. Λυσιθείδου. 37 Vind. ᾅδῃ. 38 Vind. συμφέρει.
39 δὲ Mon. om.

πεία τοῦ τολμηροῦ διανοήματος καὶ ἡ προκατασκευή, ὡς ἐν τῷ τετάρτῳ τόμῳ τῶν εὑρέσεων ἐδιδάχθημεν· τὸ γὰρ

Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο [40]

προκατασκευὴν ἔχει· [41] καὶ τό·

οὐ γὰρ ἐώικει

Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι,

καὶ τὸ ῥόπαλον αὐτῷ προσάψαι·

Ὅσσον [42] ἴστὸν νηὸς εἰκοσόροιο μελαίνης.

Τάχα δ' ἄν τις βιάσαιτο καὶ τὴν προκατασκευὴν ὑπὸ τὴν βραχεῖαν προσθήκην ἀναγαγεῖν.

νγ'. Ἀποκτείνατε αὐτόν· [43] τοῦτο εἶπε, διότι οὐ πολιτεύονται οὐδὲ δανείζονται οἱ νεκροί· ἔγραψε γὰρ ὁ Τιμοκράτης καὶ ἕτερον νόμον, ἵνα μηδεὶς δανειζόμενος δίδωσιν ἐγγυητὰς, ἐπεὶ συνέβαινεν ἐκ τούτου μηδένα δανείζειν καὶ τὴν πολιτείαν ἀνατρέπεσθαι· φησὶν οὖν ὁ Δημοσθένης, ἀποκτείνατε αὐτὸν, ἵνα τοῖς ἐν Ἅιδου τὸν τοιοῦτον νόμον θῇ, [44] ἐπεὶ τοῖς ζῶσιν οὐ συμφέρει.

Cap. VII.

νδ'. Περὶ παραλείψεως καὶ ἀποσιωπήσεως.

Πότε [1] παράλειψις καὶ ἀποσιώπησις γίνεται. Ἐνταῦθα διδάσκει, πότε χρηστέον παραλείψει καὶ πότε ἀποσιωπήσει, καὶ παραδίδωσιν ἡμῖν μεθόδους, δι' ὧν μνήμην τῶν πραγμάτων ποιησόμεθα, προσποιή-

---

40 Vind. ad marg. add. καὶ τὰ ἑξῆς, ὅσα εἴρηται. 41 Vind. προκατασκευή ἐστι τό. etiam Mon. καὶ om. 42 Vind. Mon. ὅσον. 43 litt. νγ'. in Mon. deest. 44 θῇ addidi ex meis. Vind. om.

1 Vind. τότε. Mon. πότε παράλειψις usque ad προσποιήσει παραλείψεως om.

σει παραλείψεως. Διαφέρει δὲ [2] ἡ παράλειψις ἀποσιωπήσεως· [3] ἡ μὲν γὰρ παράλειψις νόημά ἐστιν ἐν προσποιήσει σιωπῆς λεγόμενον· ἀποσιώπησις δὲ τὸ τό πρέπον καὶ ἀναγκαῖον παραλιπεῖν· οἷον, ἡ μὲν παράλειψις· „ἀλλὰ τί ἐχρῆν ποιεῖν; ἤδη γάρ σε ἐρωτῶ ταῦτα πάντα [4] ἀφεὶς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν·“ ἡ δὲ ἀποσιώπησις, οἷον· πατὴρ μὲν, οὐκ ἐρῶ τίς ἐστι· γίνεται δὲ αὕτη ἢ δι' ἐπίτασιν τοῦ σιωπωμένου, ὅταν λέγῃ τις, οὐκ ἐρωτῶ [5] τί ἔδρασας· φαίνεται γὰρ, ἐπεὶ ἐσιώπησεν, ὅτι τὸ σιωπηθὲν μέγα δεινόν ἐστιν, εἰ [6] καὶ ἴσως ἐστὶν οὐδαμινόν· ἢ διὰ παράλειψιν τοῦ γινωσκομένου, ὅταν λέγῃ τις· τοσαῦτα πέπονθα, ὥσα ὀκνήσαιμι λέγειν· παντὶ γὰρ δῆλον·“ ἢ δι' ἀσχρότητα τοῦ πράγματος, ὡς παρὰ τῷ θεολόγῳ· „τὰ μὲν ποιεῖται, τὰ δὲ πάσχει· [7] αἰσχύνομαι γὰρ ἡμέρᾳ δοῦναι τὴν τῆς [8] νυκτὸς τελετήν·“ λαμβάνεται δὲ ἡ ἀποσιώπησις καὶ ὅταν φεύγῃ τις τὴν τραχεῖαν ἐπιτίμησιν καὶ τὸ φορτικὸς εἶναι δοκεῖν, ὥσπερ καὶ ὁ θεολόγος· καὶ ἡ λαμπρότης ἐγγύθεν, [9] καὶ τὸ δύσφημον σιωπήσαιμι [10] οἷον· λάβωμεν πρῶτον τὸ ἐκ τοῦ λό-

---

2 δὲ Mon. om. 3 Mon. τῆς ἀποσιωπ. 4 Mon. πάντα ταῦτα. — pro cor. p. 248. 5. Mon. ἐρῶ. 6 εἰ Mon. om. 7 Mon. περιέχει. 8 τῆς Mon. om. 9 Vind. ἐκεῖθεν. 10 Med. 1. ad marg. Εἰσὶν οὖν αἱ πᾶσαι μέθοδοι τῆς ἀποσιωπήσεως τέσσαρες· τὰς οὖν τρεῖς μεθόδους τῆς ἀποσιωπήσεως οὐκ οἶδ' ὅπως ὁ τεχνικὸς ἀποσιωπήσας μίαν ἡμῖν παραδίδωσιν, ἡ δέ ἐστι τὸ ἐπιτείνειν τὸ σιωπώμενον, ὅτέ γάρ, φησὶν, αὐξῆσαι τὸ πρᾶγμα βουλώμεθα, καὶ μείζονα τὴν περὶ αὐτοῦ ὑπόληψιν ταῖς ψυχαῖς τῶν ἀκουόντων ἐγκατασπείραι σπουδάζωμεν, τότε δεῖ χρῆσθαι τῇ ἀποσιωπήσει. Ὅταν βουληθῶμεν τὴν ὑπόνοιαν· τὸ ἑξῆς οὕτως· ὅταν βουληθῶμεν τὴν ὑπόνοιαν τῶν πραγμάτων μείζονα καταστῆσαι ἐν τῇ γνώμῃ τῶν ἀκουόντων, ἤγουν ὅταν σιωπῶντες μᾶλλον, ἤπερ λέγοντες παριστῶμεν τοῖς ἀκροαταῖς τὴν ὑπόληψιν τοῦ προκειμένου ἐγκλήματος τῆς ὑποθέσεως μείζονα· τὸ γοῦν, ἢ εἰ λέγοι-

μη σκληρόν, ἀλλὰ ἁπαλὸν καὶ ἐπιτηδειότατον πρὸς ἀφὴν καὶ ἐπὶ τὸ ἐναντίον ἐπὶ τὸ σκληρὸν ἐλθεῖν, ἐὰν ἐπὶ τὸ μαλακὸν ἐλθεῖν ἐπιτήδειον ἦν. ἐπὶ δὲ τὸ μαλακὸν ἐλθεῖν ἐπιτήδειον ἦν, ἐὰν μὴ ἐκ πολλοῦ ἐπὶ τὸ σκληρὸν ἐληλυθὸς ᾖ· ἐκ πολλοῦ δὲ ἐπὶ τὸ σκληρὸν ἐληλυθὸς οὐκ ἂν εἴη, ἐὰν μὴ ἐκ πολλοῦ ἐπὶ τὸ μαλακὸν ἐληλυθὸς ᾖ· ἐκ πολλοῦ δὲ ἐπὶ τὸ μαλακὸν ἐληλυθὸς ἔσται

πληκτικώτερον ποιῶν· „πατὴρ δὲ οὐκ ἐρῶ πόθεν ἢ τίς ἡ μήτηρ.“

νέ. Ὅταν [17] βουληθῶμεν, φησὶ, τὴν ὑπόληψιν τοῦ πράγματος, περὶ οὗ λέγομεν, μείζονα δεῖξαι τοῖς ἀκούουσιν, ἢ λέγομεν, ὁ γὰρ ἢ σύνδεσμος διασαφητικός ἐστι.

νϛ. Λάβωμεν πρῶτον· παραδειγματίσωμεν, φησὶ, τὴν παράλειψιν καὶ ἀποσιώπησιν· εἶτα τίθησιν ἐχομένως τὸ παράδειγμα· πῶς οὗτος κέχρηται τῷ πατρί· ἴσως ἢ ἀντεῖπεν ἢ οὐκ ἐπείσθη· τὸ δὲ [18] λέγω ὡς ἀπὸ τοῦ τεχνικοῦ ἔστι κείμενον διὰ μέσου· διὰ δὲ τοῦ εἰπεῖν ἢ ἀντεῖπεν ἢ οὐκ ἐπείσθη, μείζονα ὑπόνοιαν δέδωκεν, ὅτι ἐπεβούλευεν. [19] — Ἡ δὲ ἀποσιώπησις μείζονα τὴν ὑπόνοιαν. ὥσπερ ποιεῖ καὶ ὁ Δημοσθένης· θέλων γὰρ ὀνειδίσαι τὸν Αἰσχίνην, ὅτι πένης ἐστὶν, ἐσχημάτισεν τὸν λόγον οὕτως· „ἐγὼ γὰρ, οὔτε εἴ τις πενίαν ὀνειδίζει, [20] νοῦν ἔχειν ἡγοῦμαι, οὔτε εἴ τις ἐν ἀφθονίᾳ τραφεὶς σεμνύνεται ἐπὶ τούτῳ.“ Διαιρεῖται δὲ ἡ παράλειψις εἰς ὁμώνυμον παράλειψιν καὶ ἀποσιώπησιν. Σημειωτέον [21] δὲ, ὅτι ἡ ἀποσιώπησις καὶ παράλειψίς ἐστιν, οὐ μὴν ἡ παράλειψις καὶ ἀποσιώπησις.

νζ. Δημοσθένης δὲ τῇ ἀποσιωπήσει τῇ τελείᾳ. [22] Τελείαν εἶπε τὴν τοῦ Δημοσθένους ἀποσιώπησιν, οὐχ ὡς τῆς αὐτοῦ ἀποσιωπήσεως ἀτελοῦς οὔσης, ἀλλ' ἢ ὅτι ταύτῃ τῇ τελείᾳ ἀποσιωπήσει, ὡς λείποντος τοῦ ταύτῃ, ἢ τιμῶν τάχα τὸν ῥήτορα· τὸ δὲ δυσχερὲς

---

17 Sunt haec in Par. usque ad *σεμνύνεται ἐπὶ τούτῳ*. 18 *τὸ δὲ λέγω — — οὐκ ἐπείσθη* Par. om. 19 in Par. sequitur: *ἐρωτώμενος, φησὶν* etc. ut Planud. T. V. p. 574. 20 Vind. *ὀνειδίζειν*. — pro cor. p. 312. 21 Mon. *ἰστέον δὲ*, ὃ ς. sed post *ἐκπεσεῖν τῆς αὐτῶν φιλίας* in eo inferuntur. 22 Mon. add. *οὕτω κέχρηται*.

ὃ απεσιώπησεν ὁ ῥήτωρ, τοῦτο ἦν, τὸ στερηθῆναι καὶ ἐκπεσεῖν τῆς αὐτῶν φιλίας.

νή. Ἀλλ' ἐμοὶ μὲν, [23] οὐ βούλομαι δὲ, ἀρχόμενος τοῦ λόγου· ἐνταῦθα γὰρ ἐσιώπησε, τὸ μὲν ἵνα μὴ βλάσφημον λέγῃ ἐν ἀρχῇ τοῦ λόγου, τὸ δὲ ἵνα μὴ πλείονα τῷ ἀκροατῇ παρεμβάλῃ· καὶ ὅλως σιωπήσας δεινότερον ἐποίησε τὸν λόγον, τουτέστι φρονιμώτερον· δεινότερον γὰρ τὸ ὑπονοούμενον, τὸ δὲ ἐξαπλωθὲν καταφρονεῖται, καὶ γελοῖον τὸ πρόδηλον λέγειν· δεινὴ ἡ κευθομένη ἔμφασις, καὶ τὸ ἐν ὀλίγῳ πολὺ ἐμφαινόμενον δεινότερον· ὡς τό· Διονύσιος ἐν Κορίνθῳ· τοῦτο γὰρ εἰ ἐξέτειναν οἱ Λακεδαιμόνιοι γράφοντες πρὸς Φίλιππον, ὅτι ὁ Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς πτωχεύει ἐν Κορίνθῳ, διδάσκων γράμματα, διήγημα μᾶλλον ἔδοξεν ἂν ἢ λοιδορία εἰς Διονύσιον δηλονότι. Παραλείπει δέ τις ἢ ἄντικρυς ἢ οὐκ ἄντικρυς· ἄντικρυς μὲν, ὅταν φανερῶς καὶ κατάληπτον λέγων τὰ πράγματα προστιθῇ καὶ τὸ ἐάσω· οἷον „Ὄλυνθον [24] μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ Ποτίδαιαν ἐάσω," καὶ πάντα εἰπὼν, ὅσα ἠβούλετο, παραλείπων, λέγει ὡς δεινότερα εἰπεῖν ἔχων ἕτερα· οὐκ ἄντικρυς δὲ, ὅταν ἀόριστον ὄνομα εἰπὼν προσθήσει καὶ τὸ ἐάσω· οἷον πολλὰ ἔχων εἰπεῖν ἐάσω, πολλὰ γὰρ εἰπὼν οὐκ ἐδήλωσε, τίνα εἰσίν.

Ἔτι δύο τρόποι εἰσὶ παραλείψεως· ἢ γὰρ κατὰ διασταγμόν τις παραλείπει τὸ ὑβρισμένως εἰπεῖν, ὡς τὸ ἴσως, ἢ ἀντεῖπεν, ἢ οὐκ ἐπείσθη· ἢ κατὰ τελείαν ἀποσιώπησιν· χρηστέον δὲ τῇ παραλείψει χάριν τοῦ αὔξησιν ἐμποιῆσαι τῷ λόγῳ· πλήθους γὰρ ἔμφασις γίνεται· ἔτι χρηστέον καὶ ὅπου πλῆθος ἔργων ἢ λόγων ἐστὶν, ἐπεὶ κατάγελως, εἰ δύο τις ἔχων θάτερον παρεὶς θάτερον λέγει· μάλιστα δὲ χρήσιμός ἐστιν ἡ παράλειψις καὶ ἡ ἀπο-

23 ἀλλ' ἐμοὶ μὲν usque ad litt. νθ'. Mon. om. 24 Phil. III. p. 117.

σιώπησις ἐν τοῖς ἐσχηματισμένοις προβλήμασιν, ὡς ἐπὶ τούτου· πλούσιος ἤτησεν ἐχθρὸν πένητα ἀποκτεῖναι ἀριστεύσειν ἐπαγγειλάμενος· [25] ἐπηγγείλατο ὁ δῆμος, μετὰ ταῦτα ἐπανῆλθεν ὁ πλούσιος ἰδιώτης, τουτέστιν ἄπρακτος, καὶ προσαγγέλλει ἑαυτὸν ὁ πένης· ἐνταῦθα γὰρ ἐπαινεῖ πρῶτον τὸν αἰτήσαντα καὶ τοὺς δεδωκότας, καὶ ὁ μὲν ἔπαινος ἐν τῇ ἀρχῇ μόνῃ περιγράφεται, ἡ δὲ ἐργασία αὐτοῦ ἕτερόν τι δύναται, οἷον ἐγὼ καὶ τὸν αἰτήσαντα ἐπαινῶ· πολέμιον γὰρ φονεῦσαι ἔσπευσεν, ἀναγωνισάμενον αὐτῷ πολλάκις ἐν τῇ πολιτείᾳ, καὶ ὑμᾶς δὲ τοὺς δεδωκότας ἐγκωμιάζω, καὶ γὰρ ἐδυσώπησεν ὑμᾶς ὁ πλοῦτος, ἐφοβήθητε τὸν πλούσιον, λαμπρὰ τὰ τῆς ὑποσχέσεως ὑμῖν κατεφάνη, μόνον δυνατὸν τῷ πλουσίῳ κατεργάσασθαι. Εἶτα κατὰ παράλειψιν· οὐκοῦν ὑμῖν ὀνειδίζω τοῖς ἐνδεδωκόσι μὲν πρὸς σφαγήν· ὠνείδιζον γὰρ, εἰ ταῦτ' ἔλεγον, νόμων ὄντων, δημοκρατίας ἀκμαζούσης, ἀπαγορευόντων διαῤῥήδην νομοθετῶν, φόνου μὴ βουλεύειν, αἰτίαν θανάτου μὴ παρέχειν· ἔτι ἡ παράλειψις καὶ τάχους ἕνεκα παραλαμβάνεται· ὡς ἐπὶ τοῦ·

Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἁλάπαξ' ἀνθρώπων·
Πεζὸς δ' ἕνδεκά φημι [26] κατὰ Τροίαν ἐρίβωλον.

Ἐνταῦθα παραλείπει τὸ ἁλάπαξα. Ἔτι ἡ παράλειψις καὶ καθ' ὑπαλλαγὴν προσώπου γίνεται, οἷον εἴ τις εἴποι, αὐτὸς μὲν οὐκ ἂν εἴποιμί σε κακὸν, λέγουσι δὲ πολλοὶ, τὸ δὲ σὲ πράττειν, ὅμοιον γὰρ τὸ μὴ ἐρεῖν φάσκειν τῷ εἰς ἕτερον πρόσωπον ἀναφέρειν, καὶ πάλιν, ἄλλος μὲν ἄν τις εἶπε τόδε, ἐγὼ δὲ οὐ λέγω.

νθ'. Ἐν προσποιήσει δὲ παραλείψεως μνήμη τῶν πραγμάτων κατὰ τρεῖς τρόπους γίνεται· ἐν σχήματι, φησὶν, ἐν ὑποκρίσει, τουτέστιν,

---

25 Vind. ἐπαγγελλόμενος. ἐπαγγείλατο. 26 Vind. φησί. Il. ι. 329. φημί.

ἐκ προοιμίου παράβασις. ἢ ἐκ τῆς ἐν ἀρχῇ ἀπορίας, ἐπεὶ ἀπορήσαντες ἐν ἀρχῇ λύουσιν. ἢ ἐκ τοῦ ἐπεισοδίου, ὅταν ἐκ τοῦ ἐπεισοδίου φέρωσι. διόπερ ἐπεισοδιώδεις αἱ τοιαῦται. ἔστι δὲ ἐπεισόδιον μὲν ὃ παρέλκει τὸ "ἐν" εἶπε δὲ ὁ Σοῦσι τὸν κύριον ἐπεισοδιώδεις δὲ

πεισθήσεται τοῖς ἐμοῖς λόγοις, ὡς ἐναντίοις οὖσι πρὸς αὐτόν· οἱ γὰρ παρωχημένοι ἀντὶ μελλόντων εἰσίν· ἢ τὸ ἀντεῖπεν ἢ οὐκ ἐπείσθη ἀντὶ τοῦ ἐπεβούλευσεν, ἢ προήκουσεν, ἢ οἱ διαζευκτικοὶ σύνδεσμοι ἀποσιωπήσεώς εἰσιν· εἰ δὲ χωρὶς αὐτῶν εἶπεν, ἀντεῖπεν οὐκ ἐπείσθη, ἀποφαντικῶς εἴρητ' ἂν καὶ οὐ κατὰ παράλειψιν· [31] ἢ ἀντεῖπεν ἢ οὐκ ἐπείσθη, ἢ ἀντειπεῖν ἔχειν, ἢ οὐ μὴ πεισθῇ ἐρωτῶντι τῷ πατρὶ, δι' ἣν αἰτίαν ἀποπέμπεται τὴν γυναῖκα, ἢ ἴσως ἢ ἀντεῖπεν, ἢ οὐκ ἐπείσθη, τὴν αἰτίαν εἰπεῖν.

Ὅσα μὲν οὖν [32] ἢ τοὺς χορευτάς· ἔθος ἦν τοὺς χορεύοντας τῷ Διονύσῳ μὴ, καθ' ὃν ἐχόρευον, χρόνον στρατεύεσθαι· ὁ δὲ Μειδίας ἐξιέναι αὐτοὺς ἠνάγκαζε, καὶ οὐκ εἴα τῆς στρατείας ἀφίεσθαι· εἰσῆκται δὲ κατὰ παράλειψιν, ἐπειδὴ οὐκ ἔχει πολλὴν τὴν ἰσχύν· ἔστι δὲ ἡ σύνταξις τοιαύτη· οἶδα, ὅτι ἐμοὶ μὲν τῷ ἐπηρεαζομένῳ καὶ παθόντι ἕκαστον τούτων, οἷον τὸ τοὺς χορευτὰς κωλύειν, τὸ προβάλλεσθαι ἑαυτὸν καὶ κελεύειν χειροτονεῖν ἐπιμελητὴν τῶν Διονυσίων, τὴν ὁμοίαν ὀργὴν ἐμποιεῖ, ἣν ἂν ἔσχον καὶ ἄλλο ὁτιοῦν τῶν μεγάλων ἐγκλημάτων παθών· ὑμῖν δὲ τοῖς ἔξω βελῶν οὐκ ἂν εἴη ἴσως ἄξιον ὀργῆς. Καὶ γὰρ εἴρηται τρόπον τινά· πῶς εἴρηται, εἶπεν· ὅτι ἄδικόν ἐστι καὶ ἐπειδὴ ἐπεξειργάσατο, τὰς αἰτίας μὴ προσθεὶς, δι' ἃς ἄδικόν ἐστιν, εἶπε τὸ ἐάσω. ὥστε καὶ εἴρηται καὶ οὐκ εἴρηται, εἴρηται μὲν, καθὸ ἔφησε τὸ [33] ἄδικον εἶναι τὸ ἑνὸς κατηγορουμένου, [34] πάντας τὴν δωρεὰν ἀφαιρεῖσθαι. οὐκ εἴρηται δὲ, καθὸ τὰς αἰτίας οὐ προσέθηκε τὰς κατασκευαστικὰς τοῦ ἄδικον εἶναι· οὐκ εἶπε δὲ ταύτας, ὅτι καὶ ὑφ' ἡμῶν [35] τῶν ἀκουόντων γινώσκεται ἐπίσης· τὸ γὰρ ἴσως [36] ἐν-

31 Vind. παράληψιν. 32 οὖν Mon. om. 33 Mon. ἔφη ἄδικον εἶναι. 34 Mon. κατηγορεῖν. Reisk. scripsit κατηγορῶντα. 35 Mon. ὑμῶν. 36 ἴσως Vind. om.

ταῦθα ἀντὶ τοῦ ὁμοίως κεῖται. Εἰς τὸ αὐτὸ [37] ἑτέρου ἐξηγητοῦ. Χορευτὰς λέγει τοὺς κατὰ τὴν χώραν στρατεύοντας· ἠνώχλει δὲ, φησὶν, αὐτοὺς ἕνεκα τοῦ ἀφεθῆναι αὐτὸν τῆς στρατείας, καὶ ἠνάγκαζε χειροτονεῖν αὐτὸν ἐπιμελητὴν τῆς ἐν τοῖς Διονυσίοις τελουμένης ἑορτῆς· ταῦτα δὲ πάντα τῷ μὲν εἶναι μικρὰ ἐγκλήματα καὶ οὐδενὸς ἄξια λόγου παραλιπεῖν ἔδει· τῷ δὲ χρήσιμον τῷ ῥήτορι τυγχάνειν· ἔδει ῥηθῆναι τοίνυν καὶ ἐν προσχήματι παραλείψεως, κατὰ τὸ ἐπιτρέχον καλούμενον σχῆμα εἴρηται αὐτῷ.

ξά. Οὐ γὰρ ἀγνοῶ τοῦθ' ὅτι· οὐκ ἀγνοῶ, φησὶ, τοῦτο, ὅτι ἐμοὶ μὲν καὶ παντὶ τῷ ἐπηρεαζομένῳ καὶ τοιαῦτα πάσχοντα τῶν προειρημένων ἕκαστον, ἃ μὴ πέπονθα, ὀργὴν παρίστησι κατὰ τοῦ δεδρακότος, ἣν ἐμποιεῖν εἴωθα, καὶ ἄλλο τι τῶν δεινοτάτων· ὑμῖν δὲ τοῖς δικασταῖς, τοῖς ἔξωθεν τοῦ πάθους οὖσιν, οὐκ ἂν ἴσως ταῦτα ἄξια ἀγῶνος φανείη, μικρὰ νομιζόμενα καὶ οὐδαμινά. Ποῖα δὲ ταῦτα, τὸ παρενοχλεῖν τοὺς χορευτὰς χάριν τοῦ ἀφεθῆναι τῆς στρατείας· τὸ ἀναγκάζειν αὐτὸν χειροτονεῖν ἐπιμελητὴν τῶν Διονυσίων ἤτοι τῶν τῆς ἑορτῆς τοῦ Διονύσου [38] καὶ τὰ λοιπά.

ξβ'. Ἐγὼ δ' ὅτι μέν τινων. Ἐγὼ, φησὶ, τοῦτο ἐῶ, ὅτι τῶν ἀδίκων ἐστὶ, τὸν Λεπτίνην κατηγοροῦντά τινων, ὡς οὐκ ἀξίων ἀτελείας οὐκ ἐκείνους μόνους, ἀλλὰ πάντας πειρᾶσθαι διὰ τοῦ τεθέντος νόμου ἀφαιρεῖσθαι ταύτην· ἡ δὲ αἰτία, ὅτι τρόπον τινὰ εἴρηταί μοι τὸ τοιόνδε, καὶ γινώσκεται ὑφ' ὑμῶν· τὸ δὲ [39] κατηγοροῦντά τινων ἤτοι ὀλίγων πάντας ἀφαιρεῖσθαι τὴν τῆς ἀτελείας δωρεὰν ἐάσω εἰπεῖν, ὅτι τῶν ἀδίκων ἐστί. Τοῦ προσποιεῖσθαι παραλείπειν, οὐ γὰρ παραλείπει, ἀλλὰ λέγων πα-

---

37 εἰς τὸ αὐτὸ usque ad litt. ξγ'. Mon. om., habet Par.
38 Vind. Διονυσίου. 39 τὸ δὲ — τῶν ἀδίκων ἐστὶ Par. om.

ραλείπειν ὑποκρίσει μόνον τοῦτο ποιεῖ· φησὶ δὲ καὶ οὐ παραλιμπάνει. πῶς γὰρ ὁ διαῤῥήδην ταῦτα κατηγορῶν.

ξγ'. Τῶν δὲ ἐπαχθῶν παραδειγμάτων [40] ἀντιπαραθεὶς τὰ ἑαυτοῦ τοῖς τοῦ Αἰσχίνου ἀπέδειξεν ἑαυτὸν τὴν πόλιν μυρία εὐεργετήσαντα, ἐκεῖνον δὲ πολλὰ λυμηνάμενον· [41] εἶτα καὶ πρὸς τὰ ἰδία [42] παρ' ἐκείνου [43] πρὸς ἕκαστον γενόμενα εὐεργετήματα ἀπιδὼν καὶ συνιδὼν, ὡς ἐάν γε παραλείψῃ πάντα, οὐδὲ δόξει τι πεποιηκέναι· [44] πάλιν δὲ ἐὰν ἀπαριθμήσῃ ταῦτα, φορτικὸς καὶ βαρὺς ἔσται ὁ λόγος αὐτῷ, τῷ κατὰ παράλειψιν κέχρηται σχήματι.

ξδ. Εἰ μὴ πάντες [45] ἴστε. Διὰ μέσου [46] τὸ εἰ μὴ πάντες ἴστε· ἐγὼ μὲν, φησὶ, πάντας εἰδέναι οἶμαι· [47] εἰ μέντοι μὴ πάντες ἴστε, γνῶτε ὅτι κοινὸς καὶ φιλάνθρωπος, εἰ μὴ ἐν τοῖς ἰδίοις καὶ πᾶσι τοῖς δεομένοις ἐπαρκῶ. οὐ λέγω [48] δὲ ταῦτα, διατί; ὅτι οἶδα χρῆναι τὸν μὲν εὐεργετηθέντα [δεῖ] μεμνῆσθαι τῆς εὐεργεσίας παρὰ πάντα τὸν βίον, τὸν δὲ εὐεργετήσαντα εὐθὺς ἐπιλελῆσθαι.

Cap. VIII.

Περὶ περιπλοκῆς. [1]

ξέ. Τὸ περιπλέκειν διαβάλλεται. Τῶν πραγμάτων πολλαχῶς ἀπαγελλομένων, ἢ γὰρ ἐπ' [2] εὐθείας φρά-

---

40 Mon. τῶν δὲ ἐπαχθῶν παραδείγματα ἐν τῷ περὶ στεφάνου. 41 Mon. πολλὴν λυμαινόμενον. Reisk. corr. πολλά. 42 Vind. ἴδια. 43 imo vero ἑαυτοῦ, a se, Demosthene, nam ἐκείνου ad Aeschinem sit rediturum. Reisk. 44 Vind. πεποιηθέναι. 45 Litt. ξδ'. Mon. om. est in Par. 46 Vind. μέσον. Par. μέσου. 47 Par. οἶμαι ponit post φησί. — pro cor. p. 316. 48 Vind. λέγει. Par. λέγω. 1 Mon. περὶ τοῦ περιπλέκειν. idem om. τὸ περιπλέκειν διαβάλλεται. 2 Mon. ἀπ'.

Digitized by Google

χρόνῳ. ἐξ ἑκάστης φυλῆς ἑκατὸν, ἐξ ἑκατοντάδων καὶ ἑκατοντάρχων ἑκατοντάρχης εἷς. ἐπὶ τούτοις ἱππάρχοι δύο καὶ φυλαρχοι δέκα, ἐξ ἑκάστης φυλῆς ἕνα ἱππάρχην καὶ φυλάρχην ἕνα. ἐπὶ τούτοις ἱππαγωγοὶ δύο καὶ ἱππαγωγοὶ δέκα, ἐξ ἑκάστης φυλῆς ἕνα ἱππαγωγόν. ἔπειτα ἐπὶ τοῖς ἱππαγωγοῖς ἱππαγωγὸς εἷς ἐπὶ τοῖς ἱππαγωγοῖς. ἐπὶ τούτοις ἱππεῖς ἑκατὸν καὶ ἑξακόσιοι, ἐξ ἑκάστης φυλῆς τριάκοντα καὶ ἑκατόν. ἐπὶ τούτοις ἱππεῖς ἑκατὸν καὶ ἑξακόσιοι, ἐξ ἑκάστης φυλῆς τριάκοντα καὶ ἑκατὸν, οἱ καλούμενοι ἐπίλεκτοι

δυνάμεις αὐτῶν, καὶ ὡς ὑπαγορεύουσιν ἡμῖν οἱ καιροὶ, οὕτω ποιεῖν ὀφείλομεν· καὶ τὰς ἑρμηνείας ἐνταῦθα διδάσκει· ποῖος καιρὸς ζηλωτὸν καὶ χρήσιμον τὸ περιπλέκειν ποιεῖ καὶ ποσαχῶς γίνεται· περιπλέκειν δέ ἐστι τὸ συσκιάζειν καὶ ἀμαυροῦν καὶ λέγειν ἀσαφῶς καὶ μὴ φανεροῦν τὰ λεγόμενα· ἢ τὸ ἐναλλάττειν τὰς λέξεις καὶ τὰ νοήματα πρὸς τὸ εὔσχημον. Τριπλοῦς δὲ αὐτῶν ὁ καιρὸς, ἤτοι ὅταν αἰσχρὰ ᾖ τὰ λεγόμενα, ἢ ὅταν λυπηρὰ ᾖ τοῖς ἀκούουσιν, ἢ ὅταν ἐπαχθῆ τοῖς λέγουσιν. Ἔτι [10] περιπλοκή ἐστι τὸ διὰ μακρηγορίας ἐκτείνειν τὸν λόγον, καὶ περιπλέκειν φασὶ τὸ περικαλύπτειν καὶ συσκιάζειν καὶ ἀσαφῶς λέγειν· χρήσιμον οὖν τοῦτο τῷ τεχνικῷ δοκεῖ ἐν καιρῷ τῷ προσήκοντι τεθέν. τίς δὲ ὁ καιρὸς, αὐτὸς ὁ Ἑρμογένης ἐχομένως λέξει. [11]

ξζ. Ἤτοι [12] ὅταν αἰσχρὰ ᾖ τὰ λεγόμενα· ὡς ἐν τῷ ἐπιταφίῳ τοῦ μεγάλου Βασιλείου φησὶν ὁ Θεολόγος, τοὺς ἐν γυναιξὶν ἄνδρας καὶ ἐν ἀνδράσι γυναῖκας. ἐνταῦθα γὰρ περιέπλεξε καὶ ἀσαφῶς ἔλεξε. δοκεῖ γὰρ λέγειν, ὅτι οὔτε ἄῤῥενές εἰσιν, οὔτε γυναῖκες. τὸ μὲν, διὰ τὰ παιδογόνα [13] μόρια, τὸ δὲ ὅτι ἀνδρῶν εἰλήφασι σχῆμα καὶ φύσιν· τῇ δὲ ἀληθείᾳ τοιοῦτόν τι ἐμφαίνει, ὅτι ταῖς γυναιξὶ μὲν συνέρχονται ὡς ἄνδρες, πάσχουσι δὲ μετὰ τῶν ἀνδρῶν ὡς γυναῖκες· [14] διὰ γοῦν [15] τὸ εἶναι αἰσχρὰ ταῦτα περιέπλεξε, καὶ [16] ἐδήλωσεν εὐπρεπῶς, ὃ ἐβούλετο. καὶ τὸ ἑξῆς δὲ τοιοῦτόν ἐστιν· οἷον τὸ φυσικῶς ἀσελγαίνειν οὐκ ἔχοντες, ὃ δύνανται μόνον, τῇ γλώσσῃ

---

10 Ἔτι sqq. usque ad litt. ξζ. habet Par. 11 Par. λέγει. 12 Mon. ἤτε. 13 Reisk. conj. μὴ παιδογ. 14 πάσχουσι δὲ μετὰ τῶν ἀνδρῶν ὡς γυναῖκες Mon. om. Reisk. supplendum esse conjecit: διὰ δὲ τὴν ἀπουσίαν τοῦ σπέρματος οὐ δυνάμενοι τὰ τῶν ἀνδρῶν ἐπιτελεῖν αἰσχρουργοῦσι, vel simile quid. 15 Reisk. mavult μέντοι. pro sq. τὸ Vind. τοῦ. 16 Mon. πλὴν καὶ. Reisk. conj. πλὴν καί οὕτως: verumtamen vel sic quoque.

regulations. At the suggestion therein mentioned, and the request of the Duke of Wellington, I have the honour to transmit to your Lordship the enclosed copy of a letter which I have received from Mr. Canning, and of the answer which I have returned to that letter. I am, &c. (signed) Henry Addington.

Enclosure 1 in No. 1.

Mr. Canning to Mr. Addington.

Foreign Office, 1st May, 1804.

Sir, I have the honour to transmit to you, for the information of his Majesty's servants, a copy of a letter which I have received from Mr. Constant, a gentleman who has been for some time past in the service of the Duke of Enghien, and who has accompanied that prince in all the journeys which he has made in Germany. I have also the honour to transmit to you a copy of the answer which I have returned to that letter. I am, &c. (signed) George Canning.

Enclosure 2 in No. 1.

Mr. Constant to Mr. Canning.

Ettenheim, 30th April, 1804.

Sir, Having had the honour to be in the service of the Duke of Enghien, and having accompanied that prince in all the journeys which he has made in Germany, I think that I am bound to inform you of the circumstances which have preceded the arrest of his Royal Highness, and of those which have accompanied it. I am induced to do this, Sir, by the interest which you have always shown for the Prince, and by the kindness with which you have received the communications which I have already had the honour to make to you. I shall, therefore, confine myself to the simple recital of facts, and shall not attempt to draw any conclusions from them.

τῆς δεινότητός εἰσι τοῦ ῥήτορος, διὰ τοῦτο καὶ ὑπὸ τὴν δεινότητα τάττεται. — Τούτου τοῦ σχήματος χρήζομεν, ὅτε πρὸς τύραννον ἢ ἄλλον τινὰ βίαιον διαλεγόμενοι ὀνειδίσαι βουλόμεθα μὲν, οὐκ ἰσχύομεν δέ· διὰ τοῦτο ἐπειδὴ λυπηρά ἐστι τῷ ἀκούοντι τὰ κατ' αὐτοῦ τοῦ τυράννου ῥήματα, καὶ ἀηδῶς οἱ δυνάσται τὰ ἑαυτῶν ἀκούουσιν ἁμαρτήματα, ἑτέρους τινὰς πεποιηκότας τὰ παραπλήσια ψέγομεν, οἷον πρὸς Διονύσιον λέγοντες ἐροῦμεν κατὰ Φαλάριδος, ἢ Διονυσίῳ[23*] τινὰς ἐναντίους ἐπαινέσομεν, οἷον Γέλωνα καὶ Ἱέρωνα, ὅτι πατράσι τῆς Σικελίας ἐῴκεσαν, καὶ γὰρ ἅμα τε νουθετεῖται ὁ τύραννος καὶ τῷ λέγοντι οὐκ ὀργίζεται, μᾶλλον δὲ ζηλοτυπεῖν ἐπαινουμένου τοῦ Γέλωνος, καὶ οὗτος ἐπαινεῖσθαι ὀρέγεται· ταῦτα δ' εἴρηκα διεξοδικώτερα, ἐμφῆναι βουλόμενος, ὡς τὸ δυναστεύοντος ἦθος ἀσφαλοῦς λόγου χρήζει μάλιστα· καὶ μὴν οἱ μεγάλοι δῆμοι καὶ ἰσχυροὶ τοιούτου εἴδους ὥσπερ οἱ τύραννοι δέονται, καθάπερ ὁ Ἀθηναίων δῆμος ἄρχων τῆς Ἑλλάδος, καὶ κόλακας τρέφων Κλεοφῶντας καὶ Κλέωνας· τὸ μὲν οὖν κολακεύειν αἰσχρὸν, τὸ δὲ ἐπιτιμᾷν ἐπισφαλές· ἄριστον δὲ τὸ μεταξύ· τοῦτό γέ ἐστι τὸ ἐσχηματισμένον, ἥγουν ἡ περίπλοκη, ὃ καὶ Δημοσθένης ἐποίησε πρὸς δῆμον διαλεγόμενος κολακείας δεόμενον, εἰπὼν, ἡμεῖς δὲ οὐκ οἶδ' ὅν τινα τρόπον δοκοῦμεν ἔχειν.

οἀ. Τῶν δὲ λυπηρῶν ὁ Δημοσθένης·[24] παράδειγμα δὲ τῶν μὲν λυπηρῶν τὸ παρὰ Λακεδαιμονίων πρὸς Φίλιππον εἰρημένον· „Διονύσιος ἐν Κορίνθῳ." εἰ δὲ ἐφανέρωσαν αὐτὸ καὶ ἐξέτειναν, ὅτι Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς πτωχεύει ἐν Κορίνθῳ, διδάσκων γράμματα, διήγημα μᾶλλον ἢ λοιδορία ἐγένετο· ὁμοίως καὶ Πλάτων Ἀρίστιππον καὶ Κλεόμβροτον λοιδορῆσαι θελήσας ὀψοφαγοῦντας ἐν Αἰγίνῃ δεδεμένου τοῦ Σωκράτους Ἀθήνη-

23* Vind. Διονύσῳ. 24 Mon. add. ἐν τοῖς Φιλιππικοῖς. Sqq. usque ad σημείωσαι δὲ, ὅτι καὶ Ol. Mon. om.

σιν ἐπὶ πολλαῖς ἡμέραις, καὶ μὴ διαλύσαντας τὸν ἑταῖρον καὶ διδάσκαλον, καίτοι οὐ πολὺ ἀπέχοντας·[25] ταῦτα πάντα διαῤῥήδην μὲν οὐκ εἶπεν, ἐν σχήματι δὲ τῷ κατ᾽ ἐπίκρυψιν· ἐρωτηθεὶς γὰρ ὁ Φαίδων τοὺς παρόντας Σωκράτει, καὶ καταλέξας ἕκαστα, αὖθις ἐρωτηθεὶς, εἰ καὶ Ἀρίστιππος καὶ Κλεόμβροτος παρῆσαν, οὔ φησιν, ἐν Αἰγίνῃ γὰρ ἦσαν·[26] καὶ οὕτως ἐν τούτῳ πάντα τὰ κατηγορημένα[27] καὶ τὸ λύσαντας οὐδαμῶς τὸν ἑταῖρον καὶ ὀψοφαγοῦντας ἐνέφηνε, καὶ πολὺ δεινότερος ὁ λόγος ἔδοξε τοῦ πράγματος, αὐτὸ τὸ δεινὸν ἐμφαίνοντος οὐ μὴν τοῦ λέγοντος· πρὸς δὲ τύραννον ἢ ἄλλως σκαιόν τινα διαλεγόμενοι καὶ ὀνειδίσαι ὁρμώμενοι χρήζομεν ἐξ ἀνάγκης ἐπικρύψεως σχήματος ὅλου, ὡς ὁ Δημήτριος ὁ Φαληρεὺς πρὸς Κρατερὸν τὸν Μακεδόνα καθήμενον ἐπὶ χρυσῆς κλίνης μετέωρον καὶ ἐν πορφυρᾷ χλαμύδι, καὶ ὑπερηφάνως ὑποδεχόμενον τὰς πρεσβείας τῶν Ἑλλήνων, σχηματίσας εἶπεν ὀνειδιστικῶς, ὅτι ὑπεδεξάμεθά ποτε καὶ ἡμεῖς πρεσβεύοντα τόνδε καὶ Κρατερὸν τοῦτον· ἐν γὰρ τῷ δεικτικῷ, τῷ „τοῦτον“ πᾶσα ἡ τοῦ Κρατεροῦ ὑπερηφανία ὠνειδισμένη[28] ἐπίκρυψιν ἐμφαίνεται· τὸ αὐτὸ καὶ Κτησίας ἐν τῇ περὶ Κύρου τεθνεῶτος ἀγγελίᾳ ποιεῖ· ἐλθὼν γὰρ ὁ ἄγγελος πρὸς τὴν Παρύσατιν οὐκ εὐθέως λέγει, ὅτι ἀπέθανεν ὁ Κῦρος, ἀλλὰ πρῶτον μὲν λέγει ὅτι νικᾷ· ἡ δὲ ἥσθη τε καὶ ἠγωνίασε· μετὰ δὲ τοῦτο ἐρωτᾷ, βασιλεὺς δὲ, πῶς πράττει; ὁ δὲ, πέφευγε, φησί· καὶ ἡ ὑπολαβοῦσα, Τισαφέρνης γὰρ τούτων αἴτιος αὐτῷ· καὶ πάλιν ἐρωτᾷ· Κῦρος, δὲ, ποῦ νῦν; ὁ δὲ ἄγγελος ἀμείβεται, ἔνθα δεῖ τοὺς ἀγαθοὺς ἄνδρας αὐλίζεσθαι· καὶ οὕτω κατὰ μικρὸν προϊὼν μόλις ἀπέῤῥηξε τὸ ζητούμενον· δεῖ γὰρ τὰ γενόμενα μὴ εὐθὺς λέγειν, ὅτι ἐγένοντο, ἀλλὰ κατὰ μικρὸν κρεμῶντα τὸν ἀκροατὴν, καὶ ἀναγκάζοντα

25 Vind. ἀπέχοντες, scr. ἀπέχοντας. 26 Phaed. p. 59. c. 27 Vind. κεκατηγορημένα. 28 Vind. ὠνειδισαμένη.

συναγωνιᾷν. ἁπλῶς δὲ εἰπεῖν ἡ περιβολὴ τριχῶς γίνεται, ἢ ἐξ ἐμφάσεως, ἢ ἐξ ἀλληγορίας, ἢ ἐξ ὑπερβολῆς· συμβολικῶς μὲν, ἤτοι ἐξ ἐμφάσεως, ὡς τὸ χαμόθεν ὑμῖν οἱ τέττιγες ᾄσονται, ταῦτο γὰρ δεινότερον ἔδοξεν οὕτω ῥηθὲν, ἢ εἰ ἁπλῶς, ὅτι τὰ δένδρα ὑμῖν ἐκκοπήσονται· συνάμα δὲ ἀπὸ τῶν τριῶν, ὡς τὸ, οὐ τέθνηκεν Ἀλέξανδρος, ὦ ἄνδρες, ὦξε γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ, τουτέστιν ἠσθάνετο τῆς δυνάμεως ἐκείνου, ὅπερ ἀλληγορία ἐστὶ καὶ ἐμφαντικὸν καὶ ὑπερβολικὸν, ἅμα δὲ καὶ ἐκπληκτικόν τι ἔχει ὁ λόγος, ἠθροισμένων τῶν τριῶν· παράδειγμα δὲ τοῦ σεμνοῦ λόγου τὸ Διονυσίων ἦν πομπή· ὁ δέ μοι ἠκολούθησε μέχρι τοῦ πρὸς τὴν θύραν, ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω μὲν εἰσελθών· καὶ Διογένης μειρακίῳ καλῷ προσπαλαίων διεκινήθη πως τὸ αἰδοῖον· τοῦ δὲ μειρακίου φοβηθέντος καὶ ἀποπηδήσαντος· θάρσει, ἔφη, ὦ μειράκιον, οὐκ εἰμὶ [29] ταύτῃ ὅμοιος. Σημείωσαι δὲ, ὅτι καὶ Ὀλυνθιακοὶ καὶ Φιλιππικοὶ λέγονται οἱ λόγοι οὗτοι. Ὀλυνθιακοὶ μὲν, ὡς τοῦ Δημοσθένους τοῖς Ὀλυνθίοις συμμαχεῖν [30] συμβουλεύοντος, Φιλιππικοὶ δὲ, ὡς κατὰ Φιλίππου διεγείροντες, καὶ κατ' [31], αὐτοῦ τοὺς λόγους ποιουμένου τοῦ ῥήτορος.

οβ'. Καὶ πάλιν παρὰ πόδας ἔνεστί γε περιπλοκὴ μετὰ συλλήψεως· περιπλοκὴ μέν ἐστιν ἡ τοῦ ἀορίστου πρόσληψις, οἷον [32] τὸ οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκοῦμεν ἔχειν· σύλληψις δὲ τὸ εἰπεῖν· ἡμεῖς δὲ, συλλαβὼν καὶ τὸ ἑαυτοῦ πρόσωπον, οὐ γὰρ εἶπεν ὑμεῖς δέ.

ογ'. Τῶν δὲ ἐπαχθῶν τὸ παράδειγμα· οὕτω κεῖται [33] ἐν τῷ κατὰ Μειδίου τὰ ῥητά· ὑπεσχόμην ἐγὼ χορηγήσειν, ἐθελοντὴς καὶ κληρουμένων πρῶτος αἱρεῖσθαι

29 Vind. εἰ μή. 30 Mon. συμμαχῆσαι. 31 καὶ κατ' αὐτοῦ — — τοῦ ῥήτορος Mon. om. 32 Mon. τουτέστι· 33 Mon. κεῖνται.

τὸν αὐλητὴν ἔλαχον· καὶ ὑμεῖς μέν, ὦ δικασταὶ, πάντες ἀμφότερα, ὡς οἷόν τε [34] μάλιστα, ἀπεδέξασθε, τήν τε ἐπαγγελίαν τὴν ἐμὴν, καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης.

ογ'. Καὶ [35] πάλιν παρὰ πόδας. Ἐγγὺς, φησὶ, τοῦ μνημονευθέντος ῥητοῦ ἐστιν ἑτέρα περιπλοκὴ, τὸ ἡμεῖς δέ· συνεξακούεται γὰρ τὸ ἀμελοῦμεν· σύλληψιν δὲ λέγει τὴν πρόσληψιν τοῦ ἀορίστου· τὸ οὐκ οἶδ' ὅντινα τρόπον δοκοῦμεν ἔχειν [36] πρὸς ταῦτα. Καὶ ἄλλως δέ· ἡμεῖς δὲ περὶ οὗ ὑπόκειται εἰπεῖν ἀμελοῦμεν, ἀλλὰ τοῦτο λυπηρόν ἐστι, πῶς οὖν περιέπλεξεν, οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά· περιπλοκὴ μὲν οὖν ἐστιν ἡ τοῦ ἀορίστου πρόσληψις, τουτέστι τὸ οὐκ οἶδ' ὅντινα τρόπον δοκοῦμεν ἔχειν πρὸς ταῦτα· σύλληψις δέ ἐστι τὸ εἰπεῖν ἡμεῖς δέ· συλλαβὼν καὶ τὸ ἑαυτοῦ πρόσωπον, οὐ γὰρ εἶπεν· ὑμεῖς δέ. — Ὅπερ ἐστὶ φιλοτιμίας· φιλοτιμίας ἐστὶν ὁ πρὸς δόξαν πολιτευόμενος, ἀφ' οὗ καὶ φιλοτιμία. — Τὸν αὐλητὴν ἔλαχον· ἄριστος οὗτος ἦν αὐλητὴς, τὴν κλῆσιν Τηλεφανής. — Εἰς τὸ παράδειγμα τῶν μὲν αἰσχρῶν· ἐν τῷ κατὰ Τιμάρχου φησὶν Αἰσχίνης· εἰδὼς δ' αὐτὸν ἔνοχον ὄντα θέλει μὲν εἰπεῖν τῇ πορνείᾳ· φυλαττόμενος δὲ τὸ αἰσχρὸν περιπλέκει λέγων, οἷς ὀλίγῳ πρότερον ἀκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως· τοῦτο ἐν ἀρχαῖς κεῖται τοῦ λόγου, ὃν Αἰσχίνης κατὰ Τιμάρχου ἔγραψε· ἔχει δὲ οὕτως ἡ ἀρχή· „οὐδένα πώποτε τῶν πολιτῶν, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε γραφὴν γραψάμενος, οὔτε ἐν εὐθύναις λυπήσας, ἀλλ' ὡς ἔγωγε νομίζω, μέτριον ἑαυτὸν πρὸς ἕκαστα τούτων παρεσχηκὼς, ὁρῶν τήν τε πόλιν μεγάλα βλαπτομένην ὑπὸ Τιμάρχου τούτου δημηγοροῦντος παρὰ τοὺς νόμους, καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος, ὃν

34 Vind. ἀμφότεροι ὡς οἴομαι. 35 καὶ πάλιν παρὰ πόδας usque ad litt. οέ. ἐπανάληψις δὲ ἐνταῦθα. Mon. om. 36 Vind. ἔχει. — Ol. I. init.

δὲ τρόπον προϊόντος ἐπιδείξω τοῦ λόγου, ἔν τι τῶν αἰσχίστων ἡγησάμην, μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ, εἰδὼς δὲ αὐτὸν ἔνοχον ὄντα, οἷς ὀλίγον πρότερον ἠκούσατε, ἀναγινώσκοντος τοῦ γραμματέως ἐπήγγειλα αὐτοῦ τὴν δοκιμασίαν ταύτην· καὶ ὡς ἔοικεν, ἄνδρες Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέγεσθαι ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς, αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσιν." Ἡ δὲ ὑπόθεσις τοῦ κατὰ Τιμάρχου λόγου ἐστὶν αὕτη· ἐπανελθόντος ἐκ τῆς δευτέρας πρεσβείας Αἰσχίνου, δύο ἐπέστησαν τούτου κατήγοροι, Δημοσθένης καὶ Τίμαρχος τοῦτον ἐλέγχοντες, πρὸς μὲν οὖν Δημοσθένην εἰσέρχεται τὸν λόγον τῆς ἀπολογίας ποιούμενος ὕστερον δεικνὺς, ὡς οὐ παρεπρέσβευσεν, ὃν καὶ παραπρεσβείας ἐκάλεσε. Τέως δὲ νῦν πρῶτον τὸν Τίμαρχον παραγράφεται, μὴ ὀφείλειν αὐτὸν κατηγορεῖν, ὡς ἡταιρηκότα· λέγων, τοὺς γὰρ τοιούτους οὐκ ἐῶσιν οἱ νόμοι δημοσίᾳ δικάζεσθαι, καὶ πρὸς τοὺς θεσμοθέτας τοιαύτην εἰσάγων κατηγορίαν εἰσέρχεται, παρ' αὐτοῖς γὰρ αἱ γραφαὶ τῶν ἡταιρηκότων ἐγίνοντο· ἡ μὲν οὖν ὑπόθεσις τοιαύτη, ἡ δὲ τοῦ λόγου στάσις κατὰ μὲν Χειρίσοφον στοχασμὸς, καθὸ ζητεῖται, εἰ ἀληθῶς ἡταίρηκε Τίμαρχος· εἰ γὰρ καὶ ἡ ὑπόθεσις τοῦ λόγου παραγραφή ἐστιν, ἀλλ' οὐ δεῖ, φησὶ, χαρακτηρίζειν ἀπὸ τῆς ὑποθέσεως τὴν στάσιν, ἀλλ' ἀπὸ τῆς ὕλης τοῦ λόγου τὸ εἶδος τῆς στάσεως κρίνεσθαι. ὅμως δὲ κατ' ἄλλους τινὰς ἀπὸ τῆς ὑποθέσεως ἔσται μᾶλλον μετάληψις, καθὸ τὸν Τίμαρχον παραγράφεται· στοχαστικῶς δὲ προέρχεται καὶ ἔχει τὰ σημεῖα καὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν. ὁ μὲν οὖν Αἰσχίνης κατηγορῶν τοῦ Τιμάρχου φησὶν, ὡς ἡταίρηκε, καθότι Πιτταλάκῳ κιναιδοποιῷ συνῆν· ὁ δὲ προφέρει τὴν πιθανὴν ἀπολογίαν λέγων, ἀλλ' οὐχ ὁ Πιτταλάκῳ συνὼν πάντως δὴ καὶ ἡταίρηκεν. Ἐζήτησαν δέ τινες εἰ παραγραφὴ

ἐστιν ἡ στάσις τοῦ λόγου, ὅ ἐστιν ἀπαγωγὴ τῆς εὐθυδικίας· ἐπανέρχεται εἰς τὴν εὐθυδικίαν· οὕτω γὰρ γίνεται ἡ παραγραφή· ἦν δὲ ἡ εὐθυδικία ἐν τῷ λόγῳ τούτῳ, ὅτι παρεπρέσβευσεν ὁ Αἰσχίνης, πρὸς ἣν ὀφείλει ἀπολογήσασθαι· λέγομεν οὖν, ὅτι οὐ συνέφερε τοῦτο τῷ Αἰσχίνῃ, διὸ ἀρκεῖται τῇ παραγραφῇ. Ἰστέον δὲ, ὅτι ὁ Ἑρμογένης στοχασμὸν εἶναί φησι τὸν κατὰ τοῦ Τιμάρχου λόγον ἐν τῷ τρίτῳ τόμῳ τῶν εὑρέσεων λέγων οὕτως· ὅταν μὲν γὰρ ὁ λόγος ἄλλης στάσεως ᾖ, κεφαλαίοις ἄλλοις διαιρουμένης, τῷ νομίμῳ δὲ οὐ κατασκευασθησομένης, τότε προκατασκευὴ τὸ νόμιμον γίνεται, ὡς ἐν τῷ κατὰ Τιμάρχου στοχασμοῦ τῆς στάσεως προκατασκευὴ τὸ νόμιμον ἐγένετο. — Μένανδρος ὁ ῥήτωρ ἐπιμερίζων τοὺς Ὀλυνθιακοὺς λόγους τοῦτο τὸ σχῆμα ὑποσιώπησιν κέκληκε λέγων οὕτω· τοῦτο τὸ σχῆμα, ἡ περιπλοκὴ δηλαδὴ, ὑποσιώπησις λέγεται, ὅταν μέλλῃ τις ἐπιφέρειν τραχύ τι καὶ λοιδορίας ἐχόμενον, μὴ βούλοιτο δὲ διὰ τὸ εἶναι λῃπηρὸν τῷ ἀκούοντι, δι' αἰνιγμάτων δὲ αὐτὸ σημαίνῃ· οἷον ὅταν ἴδωμέν τινα ἐπὶ ξένην πεμφθέντα πόλιν, ὥστε ἀναγινώσκειν, καὶ μὴ ἀναγινώσκοντα, ἀλλὰ μέθαις τε καὶ κύβοις καὶ τοῖς τοιοῖσδε σχολάζοντα· εἶτα βουλόμενοι αὐτῷ ἐγκαλεῖν, διὰ μὲν τὸ ἐπαχθὲς ὑποσιωπῶμεν ταῦτα ἃ ποιεῖ, δι' ἑτέρων δὲ ῥημάτων αὐτὰ αἰνιττώμεθα, λέγοντες, ὅτι ὁ μὲν σὸς πατὴρ ἔπεμψέ σε, ὥστε ἀναγινώσκειν, σὺ δὲ, οὐκ ἴσμεν, τί ἐστιν, ὅ τι ποιεῖς· οὕτω καὶ ἐνταῦθα βουλόμενος εἰπεῖν, ὅτι ὁ μὲν καιρὸς πάντα ποιεῖ, παροξύνων ἡμᾶς ἐπὶ τὴν σωτηρίαν τῶν πραγμάτων, ἡμεῖς δὲ ῥᾳθυμοῦμεν καὶ οὐ προσέχομεν αὐτῷ, ἀλλὰ θέαις τε καὶ τρυφαῖς σχολάζομεν, ὑπεσιώπησε μὲν τοῦτο καὶ τὸ δυσχερὲς, ἐπήγαγε δὲ, οὐκ οἶδ' ὅν τινά μοι τρόπον ἔχειν δοκοῦμεν πρὸς αὐτὰ τὰ πράγματα. Διαφέρει δὲ ἡ ὑποσιώπησις ἀποσιωπήσεως, τῷ τὴν μὲν ὑποσιώπησιν παντελῶς ἀποσιωπᾶν, καὶ μηδὲ

δι' αἰνιγμάτων λέγει τὸ ἐπιφερόμενον, ὡς ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· καὶ ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν, τὴν δὲ ὑποσιώπησιν αἰνίττεσθαί τι τῶν ἐνταῦθα· ταῦτα μὲν ὁ Μένανδρος· ἰτέον δὲ ἐπὶ τὸ προκείμενον. — Τῶν δὲ ἐπαχθῶν ῥημάτων· τὸ παράδειγμα ἓν τῷ κατὰ Μειδίου· φησὶ γὰρ ὁ Δημοσθένης πρῶτον μὲν, ὅτι ἐθελοντὴς χορηγεῖν ὑπέστην καὶ τὰ ἑξῆς· τὰ δὲ ῥητὰ οὕτω κεῖνται· „ἐπειδὴ γὰρ οὐ καθεστηκότος [37] χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἢ τέταρτον ἔτος ταυτὶ, παρούσης δὲ τῆς ἐκκλησίας, ἐν ᾗ τὸν ἄρχοντα ἐπικληροῦν ὁ νόμος τοῖς [38] χοροῖς τοὺς αὐλητὰς κελεύει, λόγων [39] καὶ λοιδορίας γινομένης καὶ κατηγοροῦντος τοῦ μὲν ἄρχοντος τῶν ἐπιμελητῶν τῆς φυλῆς, τῶν δὲ ἐπιμελητῶν τοῦ ἄρχοντος, παρελθὼν ἐγὼ ὑπεσχόμην χορηγήσειν ἐθελοντὴς;" καὶ τὰ ἑξῆς. Ὅτι δὲ τοῦ σχήματος τὸ ὄνομα τοῦτό ἐστιν ἡ περιπλοκὴ, Αἰσχίνης φησὶν ἐν τῷ κατὰ Τιμάρχου οὕτως· [40] εἰ μὲν τοίνυν, ὦ Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ παρέμεινε παρὰ τῷ Μισγόλᾳ, καὶ μηκέτι ὡς ἄλλον ἦλθε, μετριώτερον ἂν διεπέπρακτο, εἰ δή τι τῶν τοιούτων μέτριόν ἐστι, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲ αἰτιᾶσθαι, ἢ ὅπερ ὁ νομοθέτης παῤῥησιάζεται, ἡταιρηκέναι μόνον· οὐ γὰρ πρὸς ἕνα τοῦτο πράττων, ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος εἶναι· ἐὰν δ' ἡμᾶς ἀναμνήσας ἀποδείξω ὑπερβαίνων τούσδε τοὺς ἀγρίους, Κηδωνίδην, Αὐτοκλείδην καὶ Θέρσανδρον, ὧν ἐν ταῖς οἰκίαις ἀνειλημμένος γέγονε, μὴ μόνον παρὰ τοῦ [41] Μισγόλα μεμισθαρνηκότος αὐτὸν ἐπὶ τῷ σώματι, ἀλλὰ καὶ παρ' ἑτέρου καὶ πάλιν παρ' ἄλλου καὶ παρὰ τούτου ὡς ἕτερον ἐληλυθότα, οὐκέτι δήπου μόνον φαίνε-

ηκότος

37 Vind. καθεστῶτος. — in Mid. p. 518. 38 Vind. τῆς.
39 Vind. λέγων. 40 §. 51. p. 267. Bekk. 41 Vind. τό.

Ausbildung, die sich in der Weise vollzieht, daß die Zellen des Epithels sich in Form von Knospen in das Bindegewebe hineinsenken und dann zu Drüsenschläuchen werden. Diese Drüsenschläuche sind anfangs solide, werden aber später durch Auftreten eines Lumens hohl. Die Drüsenschläuche sind in ihrer Gesamtheit von einer Bindegewebshülle umgeben, die sich in Form von Septen in das Innere der Drüse hineinerstreckt und dieselbe in Läppchen teilt. Die Drüsenschläuche sind in ihrem Verlaufe mehrfach gewunden und verästelt. Die Drüsenzellen sind in ihrer Gestalt sehr verschieden, je nachdem sie sich in Ruhe oder in Tätigkeit befinden. Ihr Kern ist rund und liegt in der Regel in der Mitte der Zelle. Das Protoplasma ist feinkörnig und enthält Sekretkörnchen.

Die Ausführungsgänge der Drüsen, welche, wie wir gesehen haben, aus einer Einstülpung des Epithels hervorgehen, sind anfangs solide, werden aber später durch Auftreten eines Lumens hohl. Sie sind in ihrem Verlaufe mehrfach gewunden und verästelt. Ihre Wandung besteht aus einer Lage kubischer Zellen.

ἐστιν ὁ καιρὸς, διορίζεται, ὡς πολλαχοῦ τῶν κεφαλαίων ἔστιν ἰδεῖν· ἐπανάληψις [1] δὲ ἐνταῦθα τῆς λέξεως γίνεται, οὐ τῆς ἐννοίας· λέγεται δὲ ἡ ἐπανάληψις ὑπὸ τῶν παλαιῶν κατὰ πολλοὺς τοὺς [2] τρόπους· πρῶτα [3] μὲν, ὅταν ἐπανίῃ ὁ λόγος ἀπὸ ἐκβάσεως [4] ἐπὶ τὸ ἐξ ἀρχῆς προκείμενον, οἷον ἀλλὰ γὰρ [5] ἐμπέπτωκα εἰς λόγους, οὓς ὕστερον εἰπεῖν ἁρμόδιον· ἐπανίτω οὖν ὁ λόγος ἐπὶ τὸ ἐξ ἀρχῆς· δεύτερον ἐπανάληψίς ἐστιν, ὅταν δύο πράγματα καὶ ὀνόματα προθέντες, μηδέπω τοῦ νοῦ πέρας ἔχοντος, ἐπανιόντες ἐφ' ἑκάτερα τὸ τῆς διανοίας ἀναπληρῶμεν ἐλλιπές· οἷον Ἀλκιβιάδης καὶ Νικίας τὴν Σικελίαν ἐλυμήναντο, Ἀλκιβιάδης μὲν τῇ στρατιᾷ, Νικίας δὲ στρατηγήσας ἀργῶς· λέγεται ἐπανάληψις καὶ ἡ ἐπανακεφαλαίωσις, ἡ καὶ ἐπάνοδος καλουμένη· [6] ἔτι [7] ἐπανάληψίς ἐστιν, ὅταν τὴν αὐτὴν φωνὴν δι' ὀλίγου ἐπαναλαμβάνωμεν, ἤτοι [8] ἐν τῷ αὐτῷ κώλῳ διὰ μέσου βραχύ τι παρεντιθέντες, ὡς καὶ ὁ θεολόγος· [9] ἦν, ὅτε ἦν· ἢ ὅταν ἐξ οὗ ἄρχεται τὸ πρῶτον κῶλον ἢ κόμμα, ἢ εἰς ὅ λέγει, ἀπ' αὐτοῦ πάλιν καὶ τοῦ δευτέρου κώλου ἢ κόμματος [10] ἀρχώμεθα, ἢ εἰς ἐκεῖνο λῆγον ποιῶμεν· οἷον πάλιν ἡμῖν συμφοραὶ, πάλιν δακρύων ὑπόθεσις, ἢ οὐ γὰρ [11] διὰ τοῦτο τοῖς περὶ λόγους ἐχρώμην πόνοις, ἵνα πολλοῖς περιπέσω πόνοις, ἀλλὰ τούτων ἡ μὲν ἐν τῷ αὐτῷ κώλῳ λέξις καλεῖται ἐπαναδίπλωσις, ἡ δὲ ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ κώλῳ ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχὴ καλεῖται ἐπαναφορὰ, ἡ δὲ ἐν ἄλλῳ καὶ ἄλλῳ κώλῳ εἰς τὴν αὐτὴν λέξιν κατά-

1 Mon, *Περὶ ἐπαναλήψεως· ἐπανάληψις ἐνταῦθα τῆς λέξεως γένος.* 2 τοὺς Mon, om. 3 Mon, πρῶτον. 4 Mon, παρεμβάσεως, impr. παρεκβάσεως. 5 οἷον ἀλλὰ γὰρ usque ad ἐπὶ τὸ ἐξ ἀρχῆς Mon, om. 6 Mon, βουλομένη, Reisk. conj. λεγομένη. 7 Mon, ἔτι δέ, 8 Mon, ἤτε. 9 Mon. ὡς τό. ἦν τότε ἦν. 10 ἢ κόμματος Mon. om. 11 ἢ οὐ γὰρ διὰ τοῦτο usque ad ἀλλ' ὁ μὲν Αἰθίοπας Mon. om.

ληξις ἀντιστροφή· ὅταν δὲ, εἰς ἣν λέξιν λήξει, ἀπὸ τῆς αὐτῆς ἄρξηται, λέγεται ἐπαναστροφή· ἀλλὰ ταῦτα μὲν καὶ ἐν ταῖς ἰδέαις εἴρηται· νῦν δὲ τούτου χάριν ταῦτα εἰρήκαμεν, ἵνα δείξωμεν, ὅτι οἱ παλαιοὶ ἀδιαφόρως ταῦτα ἔλεγον· ἢ τάχα, ἐὰν χρὴ τἀληθὲς ἐξετάζειν, γένος μέν ἐστιν ἡ ἐπανάληψις, εἴδη δὲ ἥ τε ἐπαναδίπλωσις καὶ ἡ ἐπαναφορὰ καὶ ἡ ἀντιστροφὴ καὶ ἡ ἐπαναστροφή· ἄλλοι δὲ τὴν ἐπανάληψιν καὶ παλιλλογίαν ἐκάλεσαν· διαιρεῖται δὲ εἰς ἀνακεφαλαίωσιν, καὶ εἰς τὴν ἐκ τῆς παρεκβάσεως ἐπάνοδον.

ος'. Καὶ ἐνταῦθα [12] παραδίδωσι τοὺς καιροὺς, καθ' οὓς τις τῇ ἐπαναλήψει χρήσεται· ἢ γὰρ ὅτε [13] διδάξαι τις τὸ πρᾶγμα καὶ σαφέστερον ποιῆσαι βούλεται, ἢ διὰ τὸ ἐγκωμιάσαι καὶ διὰ τὸ διαβαλεῖν τὸ πρόσωπον· δεῖ γὰρ χρῆσθαι τῇ ἐπιμονῇ, ἐγκωμιάζοντά τε καὶ διαβάλλοντα. [14] ἢ διὰ ἤθους βεβαίωσιν· ἤθους δέ φησι τοῦ τρόπου [15] καὶ τοῦ τῆς ψυχῆς παραστήματος, ἢ τοῦ λέγοντος, ἢ τοῦ περὶ οὗ ὁ λόγος. Ἐπανάληψις [16] δέ ἐστιν ἐνταῦθα τῆς λέξεως, οὐχὶ τῆς ἐννοίας, ὡς παρ' Ὁμήρῳ·

Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκλαθε τηλόθ' ἐόντας·

τοῦτο κεῖται ἐν τῇ α τῆς Ὀδυσσείας ῥαψῳδίᾳ· λέγει δὲ τοῦτο ὁ ποιητὴς περὶ τοῦ Ποσειδῶνος καὶ ἔχει οὕτως·

Ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
Ὧι οἱ ἐπεκλώσαντο θεοὶ οἰκόνδε νέεσθαι
Εἰς Ἰθάκην· οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων,
Καὶ μετὰ οἷς ἑτάροισι, θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι Ποσειδάωνος, ὃ δ' ἀσπερχὲς μενέαινεν

12 In Med. 1. ad marg. adjecta sunt: ἐνταῦθα παραδίδωσι — usque ad περὶ οὗ ὁ λόγος. 13 Vind. ὅταν. Med. ὅτε. 14 Med. ἐγκωμιάζοντός τε καὶ διαβάλλοντας. 15 Vind. τοὺς τρόπους. 16 Mon. breviter: ἀλλ' ὁ μὲν Αἰθίοπας. περὶ τοῦ Ποσειδῶνος τοῦτο λέγει ἐν τῇ α ῥαψῳδίᾳ τῆς Ὀδυσσείας [v. 22.] omissis sqq. usque ad iitt. οζ'. — Od. α, 16.

Ἀντιθέῳ Ὀδυσῆι, πάρος ἦν γαῖαν ἱκέσθαι,
Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τήλοθ' ἐόντας,
Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος.

Σημείωσαι δὲ, ὅτι τὸ διχθὰ δεδαίαται τοῦτο λέγει, ὅτι μερίζονται οἱ μὲν αὐτῶν ἐπ' ἀνατολὰς, οἱ δὲ ἐπὶ δυσμὰς, οὐχ ὅτι τινὲς αὐτῶν κατοικοῦσιν ἐπὶ δυσμὰς, ἀλλ' ὅτι οἱ μὲν αὐτῶν ἀνατολικώτεροι, οἱ δὲ δυσικώτεροι· σχίζεσθαι δὲ αὐτοὺς λέγει πρὸς τῷ Νείλῳ· τοῦτο γοῦν παρέλαβεν ἐπὶ διδασκαλίᾳ τοῦ δεῖξαι δύο γένη Αἰθιόπων.

οζ. Ἐπὶ συστάσει προσώπου· [17]

Νιρεὺς αὖ [18] Σύμηθεν ἄγε τρεῖς νῆας ἔἵσας,

τοῦτο ἐν τῇ Βοιωτίᾳ κεῖται· διηγησάμενος γὰρ περὶ τῶν ἄλλων, πόσας [19] ἕκαστος νῆας εἰς Τροίαν κεκόμικεν, εἰσάγει καὶ τὸν Νιρέα τοῦτον [20] μετὰ τριῶν νηῶν ἀφικόμενον· θαυμάσαι [21] δὲ ἄξιον Ὅμηρον, πῶς τὸν Νιρέα αὐτόν τε ὄντα μικρὸν καὶ τὰ πράγματα αὐτοῦ μικρότερα τρεῖς ναῦς καὶ ὀλίγους ἄνδρας μεγάλους ἐποίησε καὶ πολλὰ ἀντ' ὀλίγων, τὸ διπλοῦν σχῆμα καὶ καλὸν προβαλλόμενος·

Νιρεὺς δ' αὖ Σύμηθεν, φησὶ, ἄγε τρεῖς νῆας ἔἵσας,
Νιρεὺς Ἀγλαΐης υἱὸς Χαροποῖό τ' ἄνακτος,
Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν.

ἡ γοῦν ἐπαναφορὰ πλῆθος ἔχουσα λέξεων πλῆθος πραγμάτων ἐνέφηνεν, οὐ μὴν ἀλλὰ καὶ τὸ πρόσωπον Νιρέως κεκόσμηκεν· σχεδὸν γὰρ ἅπαξ τοῦ Νιρέως ὀνομα-

17 ἐπὶ συστάσει προσ. Mon. om. 18 Mon. δέ. Vind. αὖ. et infra δ' αὖ. uterque Λισύμηθεν. 19 Mon. ὁπόσας. Il. β. 671. ἕκ. νῆας ἦκε κομίζων εἰς Τρ. 20 Vind. τοῦτον. Mon. διὰ τοῦ τοιοῦδε σχήματος. 21 Mon. θαυμάσαι δὲ Ὅμηρον ἄξιον ἐξυμνήσαντα τὸν Νιρέα διὰ τοῦ τοιοῦδε σχήματος, καὶ ταῦτα μετ' ὀλίγων ἀφικόμενον. omissis sqq. usque ad litt. οή.

Article 12. Of Attorneys, Counsel, and Solicitors . . . 1
Article 13. Of Bail, Bail-bonds, and Recognizances . . . 2
Article 14. Of Bills of Exchange and Promissory Notes . . . 3
Article 15. Of Bills of Sale, Mortgages, and Liens . . . 4
Article 16. Of Boats, Vessels, and Navigation . . . 5
Article 17. Of Boundaries, Fences, and Party-walls . . . 6
Article 18. Of Carriers, Wharfingers, and Warehousemen . . . 7
Article 19. Of Contracts, Covenants, and Agreements . . . 8
Article 20. Of Corporations, Companies, and Associations . . . 9
Article 21. Of Damages, Costs, and Penalties . . . 10
Article 22. Of Deeds, Conveyances, and Records . . . 11
Article 23. Of Dower, Curtesy, and Jointure . . . 12
Article 24. Of Ejectment, Trespass, and Trover . . . 13
Article 25. Of Executors, Administrators, and Wills . . . 14
Article 26. Of Fraudulent Conveyances and Assignments . . . 15
Article 27. Of Guaranty, Suretyship, and Indemnity . . . 16
Article 28. Of Husband and Wife . . . 17
Article 29. Of Infants, Guardians, and Wards . . . 18
Article 30. Of Insurance . . . 19
Article 31. Of Interest, Usury, and Annuities . . . 20
Article 32. Of Joint-tenancy, Tenancy in Common, and Partition . . . 21
Article 33. Of Judgments, Executions, and Liens . . . 22
Article 34. Of Landlord and Tenant . . . 23
Article 35. Of Libel and Slander . . . 24
Article 36. Of Limitations, Prescription, and Adverse Possession . . . 25
Article 37. Of Mortgages of Real Estate . . . 26
Article 38. Of Negligence . . . 27
Article 39. Of Notaries Public, Protests, and Notices . . . 28
Article 40. Of Partnership . . . 29
Article 41. Of Principal and Agent . . . 30
Article 42. Of Sales . . . 31
Article 43. Of Set-off, Recoupment, and Counter-claim . . . 32
Article 44. Of Tenancy by the Curtesy . . . 33
Article 45. Of Tenancy in Dower . . . 34
Article 46. Of Vendor and Purchaser . . . 35
Article 47. Of Warranty and Quiet Enjoyment . . . 36

συλλαβὴ ἔχουσα δίχρονον συνεσταλμένον, τοῦτο πάντη ὀφείλει ἐκτείνεσθαι· τοῦτο δὲ διδασκόμεθα ἤδη καὶ ἐκ τοῦ Ἀθάμαντος καὶ Ἀκάμαντος· ἔστω δὲ ὑποδείγματι, ἶσος Ἐνυαλίῳ ἱέμος καὶ καπνῷ· ἵετο γὰρ βαλέειν ἱερὸν ἰχθῦν ἄορον θεινομένῳ.

οθ'. Ἐπὶ ἤθους βεβαιώσει· [27] οἷον·

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι·

τοῦτο ἐν τῷ υ κεῖται τῆς Ἰλιάδος· φησὶν Ἕκτωρ [28] περὶ νοῦ Ἀχιλλέως. ἔχει δὲ οὕτως·

Ὡς φατ' ἐποτρύνων, Τρῶας δ' αὖ φαίδιμος Ἕκτωρ
Κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμεναι ἀντ' Ἀχιλῆος,
Τρῶες ὑπερθυμοὶ μὴ δείδετε Πηλείωνα. [29]
Καί κέν ἐγὼ ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·

καὶ μετ' ὀλίγα,

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι; καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ [30] πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ·

τοῦτο δὲ εἶπεν ὁ Ἕκτωρ βεβαιῶν τὸ αὐτοῦ ἦθος ἀνδρεῖον ὂν καὶ θαρσαλέον καὶ ἀκατάπληκτον, τὸ δὲ σχῆμα ἐπαναστροφὴν ἐν τῷ περὶ κάλλους λόγῳ ὁ Ἑρμογένης ἐκάλεσε. Εἰδέναι δὲ δεῖ, ὅτι τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ δεινότητος καὶ πάθους, ὡς τὸ τέκνον ἐλεεινὸν, τέκνον οὐ γνωριζόμενον, τέκνον ὃ κρημνοῖς καὶ ὄρεσιν ἐθρεψάμην, καὶ ὡς τὰ τραγικά, φεῦ, φεῦ, ἰού, ἰού. Τίθεται δὲ καὶ ἐπὶ χαρᾶς, ὡς τὸ, πάσχα κυρίου, πάσχα, καὶ πάλιν ἐρῶ πάσχα, καὶ πάλιν ἐγκαινίων ἡμῖν ἡ πανήγυρις, ἀδελφοὶ, ἐγκαινίων· ὅτι δὲ τοῦτο τὸ σχῆμα καὶ ἐπὶ περιχαρείᾳ παραλαμβάνεται, ἐδήλωσεν ὁ θεολόγος εἰπὼν, λεγέσθω γὰρ πολλάκις ὑφ' ἡδονῆς· παράδειγμα

27 ἐπὶ ἤθους βεβαιώσει Mon. om. 28 Mon. φησὶ δὲ τοῦτο ὁ Ἕκτωρ, περὶ τοῦ Ἀχ. βεβαιῶν τὸ αὐτοῦ ἦθος ὡς ἀνδρεῖον ὂν καὶ θαρσαλέον καὶ ἀκατάπληκτον. omissis sqq. usque ad litt. π'. 29 Vind. δείδητε Πολείωνα. 30 εἰ πυρὶ χεῖρας ἔοικε repetere omisit Vind., recepi ex Il. v. 372.

Lucian, Dialogi Deorum, 20, Leipsic, 1811.

Lucian, Dialogi Meretricii, 1, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum, 1, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum, 2, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum, 3, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum, 4, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum, 5, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum, 6, Leipsic, 1811.

Lucian, Dialogi Mortuorum,

ἐνόμιζεν, οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ ποτ' ἐχρήσαντο [36] τεκμηρίῳ; θύων τε [37] γὰρ φανερὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς [38] ἦν, διατεθρύλλητο γὰρ, ὡς φαίη Σωκράτης, τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν, ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι, καινὰ δαιμόνια εἰσφέρειν· ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις, οὗτοί τε γὰρ ὑπολαμβάνουσι καὶ τοὺς ὄρνιθας, οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις· ἀλλὰ διὰ τούτων τοῖς θεοῖς αὐτὰ σημαίνειν, κἀκεῖνος οὕτως ἐνόμιζε.

πά. Καὶ Δημοσθένης [39] ἐν Φιλιππικοῖς· τοῦτο κεῖται ἐν τῷ ὑπὲρ Διοπείθους [40] λόγῳ· ἔχει δὲ οὕτω ταῦτα· „ὑμεῖς μέντοι νῦν εἰώθατε ἑκάστοτε τὸν παριόντα ἐρωτᾶν, τί οὖν χρὴ ποιεῖν; ἐγὼ δὲ ὑμᾶς ἐρωτῆσαι βούλομαι, τί οὖν χρὴ λέγειν; εἰ γὰρ μήτε τῶν κοινῶν ἀφέξεσθε, μήτε τὰς συντάξεις Διοπείθει δώσετε, μήτε ὅσα ἂν αὐτὸς ἑαυτῷ πορίσηται [41] ἐάσετε, μήτε τὰ ὑμέτερα αὐτῶν [42] πράττειν ἐθελήσετε, οὐκ ἔχω τί λέγειν· εἰ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶσθαι καὶ διαβάλλειν βουλομένοις δίδοτε, ὥστε καὶ περὶ ὧν φασι μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι, τί ἄν τις λέγοι; ὅτι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους

36 Vind. Mon. ἐχρήσατο. 37 θύων τε γὰρ usque ad litt. πά. Mon. om. 38 Vind. ἀφανές. 39 Mon. πάντες, ὅσοι πώποτ' ἐκπεπλεύκασι· τοῦτο ἐν τῷ ὑπὲρ Διοπείθους [de Chers. p. 95.] λόγῳ κεῖται, στρατηγοῦ ἀποσταλέντος παρ' Ἀθηναίων καὶ κατηγορηθέντος, ὡς χρήματα λαμβάνοντος ἀπὸ τῶν κατοικούντων τὰς νήσους. omissis reliquis usque ad litt. πβ'. 40 Vind. Δημοσθένους. 41 Vind. πορίσητε. 42 Vind. ἡμέτερα αὐτόν, correxi ex Dem. p. 95.

a pencil. Hold the head steadily, as you will find it difficult to draw if you move it about. Look at the model and compare each part with the rest. Begin with the head, and draw it in the position shown in Fig. 1. Next draw the body, Fig. 2, and then the arms, Fig. 3. Add the legs, Fig. 4, and the feet, Fig. 5. Finish the figure by drawing the clothes, Fig. 6.

Fig. 1. Fig. 2. Fig. 3. Fig. 4. Fig. 5. Fig. 6.

Fig. 7 shows the figure complete. Fig. 8 shows the figure in a sitting position. Fig. 9 shows the figure in a stooping position. Fig. 10 shows the figure in a kneeling position. Fig. 11 shows the figure in a standing position. Fig. 12 shows the figure in a walking position. Fig. 13 shows the figure in a running position. Fig. 14 shows the figure in a jumping position. Fig. 15 shows the figure in a dancing position. Fig. 16 shows the figure in a swimming position. Fig. 17 shows the figure in a climbing position. Fig. 18 shows the figure in a falling position. Fig. 19 shows the figure in a lying position. Fig. 20 shows the figure in a sleeping position.

Fig. 7. Fig. 8. Fig. 9. Fig. 10. Fig. 11. Fig. 12.

Fig. 13. Fig. 14. Fig. 15. Fig. 16. Fig. 17. Fig. 18.

Fig. 19. Fig. 20.

ἀμύνασθαι, κατηγορῶν τοῦ στρατηγοῦ πρὸς Ἀθηναίους ἀπέστειλε, παραβεβηκέναι τὰς συνθήκας λέγων αὐτοῖς, καὶ τοῦ Διοπείθους τῶν ῥητόρων οἱ φιλιππίζοντες κατατρέχουσιν, οἷς ὁ Δημοσθένης ἐναντιούμενος ὑπὲρ Διοπείθους ἀπολογίαν πεποίηται· οὐδὲ γὰρ ἄδικά φησιν αὐτὸν ποιεῖν, ἐπειδὴ τὴν εἰρήνην παραβὰς ὁ Φίλιππος εὕρηται· διὰ δὴ τοῦτο καὶ τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν οὐ συμφέρον ἐστὶ, καὶ τὴν ὑπ' ἐκεῖνον δύναμιν διαλῦσαι, ἥτις νῦν Χερρονήσου Φίλιππον ἀποκρούεται· τὸ δὲ ὅλον παρακαλεῖ τοὺς Ἀθηναίους εἰς πόλεμον, καὶ πολλὴν Φιλίππου οἷα δὴ παρασπονδοῦντος κατηγορίαν πεποίηται.

πβ. Ἐπὶ δὲ [45] προσώπου συστάσει, ὡς Ξενοφῶν πολλάκις Κῦρον ἐπαναλαμβάνων. Ἐν τῇ Κύρου παιδείᾳ συνεχῶς ἐπαναλαμβάνει τὸ τοῦ Κύρου ὄνομα, ὡς ἔχει καὶ ταῦτα ἐν τῷ τρίτῳ· „ὁ δὲ Ἀρμένιος ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ Κύρου καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας καὶ ἄλλα ὅσα ᾤετο δεῖν, ἦκε πρὸς τὸν Κῦρον, ὡς ἐδύνατο τάχιστα· ἐπεὶ δὲ εἶδε τὸν Κῦρον, ἔλεξεν, ὦ Κῦρε, ὡς ὀλίγα δυνάμενοι ἄνθρωποι προορᾷν περὶ τοῦ μέλλοντος πολλὰ ἐπιχειροῦμεν πράττειν, νῦν γὰρ δὴ καὶ ἐγὼ ἐλευθερίαν μὲν μηχανᾶσθαι ἐπιχειρήσας δοῦλος ὡς οὐδέποτε ἐγενόμην· ἐπεὶ δὲ ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομίσαντες νῦν ἀναφαινόμεθα σεσωσμένοι ὡς οὐδέποτε· οὐδὲ γὰρ οὐδὲ πώποτε ἐπαίοντο πολλὰ κακὰ ἡμᾶς ποιοῦντες· νῦν ὅρα τούτους ἔχοντας, ὥσπερ ἐγὼ ἠὐχόμην, καὶ τοῦτο ἐπίστω, ἔφη, ὦ Κῦρε, ὅτι ἐγὼ ὥστε ἀπελάσαι Χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων πολλαπλάσια ἂν ἔδωκα χρήματα, ὧν σὺ νῦν ἔχεις παρ' ἐμοῦ."

45 Mon. ἐπαναλαμβάνει δὲ τὸ τοῦ Κύρου ὄνομα ὁ Ξενοφῶν λέγων· ὁ δὲ Ἀρμένιος — — ἔλεξεν ὦ Κῦρε [Cyrop. III. 2, 14.] reliqua usque ad litt. πγ'. om.

πγ'. Ἐπὶ δὲ διαβολῇ προσώπου· [46] ὡς τὸ Ἀνδροτίων ὦ γῆ, Ἀνδροτίων, [47] τοῦτο καὶ ἐν τῷ κατὰ Τιμοκράτους καὶ ἐν τῷ κατὰ [48] Ἀνδροτίωνος τέθειται, διὰ τὸ καὶ ἐν τῷ κατὰ Τιμοκράτους λόγῳ [49] μνείαν τοῦ Ἀνδροτίωνος γίνεσθαι, ὡς τοῦ [50] νόμου, ὃν ὁ Τιμοκράτης τέθεικε, διὰ [51] Ἀνδροτίωνα δοκοῦντος τεθεῖσθαι· ἔστι δὲ ἡ ὑπόθεσις τοῦ χωρίου τοιαύτη· στεφάνους [52] τινὰς ἀνακειμένους τῇ πόλει, οὓς οἱ σύμμαχοι ἀνέθεντο τιμῶντες τὸν δῆμον τῶν Ἀθηναίων, συνεβούλευσεν ὁ Ἀνδροτίων χωνεῦσαι, [53] ὡς διὰ τὸν χρόνον παλαιωθέντας καὶ ποιῆσαι φιάλας καὶ ἐκπώματα· ᾑρέθη οὖν εἰς τὴν τούτων κατασκευὴν ὁ Ἀνδροτίων ἐπιστατεῖν· [54] σχετλιάζων τοίνυν [55] ὁ τοῖς λόγοις τούτοις τοῦ Δημοσθένους χρησάμενος Διόδωρος [56] ἐπὶ τῷ τὸν Ἀνδροτίωνα πονηρὸν ὄντα εἰς τὴν τούτων ἐπιμέλειαν καταστῆναι ταῦτά φησιν, οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτήματα τοῦ πλούτου πεποίηται μικρὰ καὶ ἀνάξια ἡμῶν· οὐδ' ἐκεῖνο οἶδεν, ὅτι πρὸς μὲν κτημάτων κτῆσιν οὐδὲν πώποθ' ὁ δῆμος ἐσπούδασεν, ὡς οὐδὲ πρὸς ἑνὸς τῶν ἄλλων· τεκμήριον δὲ, χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτ' ἔχων, πάνθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσεν· ὑπὲρ δὲ δόξης εἰσφέρων ἐκ τῶν ἰδίων οὐδένα πώποτε κίνδυνον ἐξέστη· ἀνθ' ὧν κτήματα ἀθάνατα αὐτῷ περίεστι, τὰ μὲν τῶν ἔργων ἡ μνήμη, τὰ δὲ τῶν ἀναθημάτων [57] τῶν ἐπ' ἐκείνοις σταθέντων τὸ κάλλος· προπύλαια ταῦτα, ὁ παρθενών, στοαὶ, νεώσοικοι, οὐκ ἀμφορίσκοι δύο οὐδὲ

---

46 ἐπὶ δὲ διαβολῇ προσ. Mon. om. 47 Ἀνδροτίων Mon. om. 48 Mon. κατ'. contr. Androt. p. 618. in Timocr. p. 758. 49 λόγῳ Mon. om. 50 Mon. ὡς καί. 51 Mon. δι'. 52 Mon. στεφάνους οὖν. omisso ἔστι δὲ ἡ ὑπόθ. τοῦ χωρίου τοιαύτη. 53 Mon. συγχωνεῦσαι. 54 ὁ Ἀνδροτίων ἐπιστατεῖν Mon. om. 55 Mon. οὖν. 56 Mon. Διόδωρος ταῦτά φησιν. omissis sqq. usque ad litt. πδ'. 57 Vind. ἀθημάτων.

χρυσίδες, τέτταρὰς ἢ τρεῖς ἑκάστη ἄγουσα μνᾶς· ὡς ὅταν σοι δοκεῖ πάλιν γράφει καὶ καταχωνεύει· οὐ γὰρ δεκατεύοντες, οὔτ' ἂ καταράσαιντ' ἂν οἱ ἐχθροὶ ποιοῦντες, διπλᾶς πράττοντες τὰς εἰσφορὰς ταῦτ' ἀνέθεσαν, καὶ μετ' ὀλίγα, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής· Ἀνδροτίων ὦ γῆ καὶ θεοὶ, καὶ τοῦτ' ἀσέβημα ἐλάττονός τινος ἡγεῖσθε, ἐγὼ μὲν γὰρ ἡγοῦμαι δεῖν τὸν εἰς ἱερὰ εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἁψάμενον, καὶ ταῖς πρὸς τοὺς θεοὺς ἐπιμελείαις προστάτην ἐσόμενον οὐχὶ προειρημένον ἀριθμὸν ἡμερῶν ἁγνεύειν, ἀλλὰ τὸν βίον ὅλον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων, οἷα τοῦτο βεβίωται.

πδ'. Ὑμεῖς δὲ, εἰ χρὴ φρουρεῖν Χαρίδημον, βουλεύεσθε· τοῦτο [58] ἐν τῷ κατὰ Ἀριστοκράτους εἴρηται λόγῳ· „καίτοι πηλίκον [59] ποτ' ἂν στενάξαιεν οἱ ἄνδρες ἐκεῖνοι, οἱ ὑπὲρ δόξης καὶ ἐλευθερίας τελευτήσαντες καὶ πολλῶν καὶ καλῶν ἔργων ὑπομνήματα καταλιπόντες, εἰ ἄρα αἴσθοιντο, ὅτι νῦν ἡ πόλις εἰς ὑπηρέτου σχῆμα καὶ τάξιν προσελήλυθεν, [60] καὶ Χαρίδημον εἰ χρὴ φρουρεῖν βουλεύεται, Χαρίδημον, οἴμοι, [61] ἀλλὰ τοῦτ' ἐστι τὸ δεινὸν, εἰ τῶν προγόνων, οἳ διενηνόχασιν ἁπάντων ἀρετῇ, χεῖρον βουλευόμεθα, ἀλλ' ὅτι καὶ πάντων ἀνθρώπων." ἡ δὲ ὑπόθεσις τοῦ κατὰ Ἀριστοκράτους αὕτη. Ἀθηναῖοι Χαρίδημον τὸν Ὠρείτην πολίτην σφῶν αὐτῶν ἐποιήσαντο, τὰ μὲν αὐτοῖς γενόμενον χρήσιμον, τὰ δὲ προσδοκώμενον ἔτι μᾶλλον γενήσεσθαι· περὶ τούτου Ἀριστοκράτης [62] ἔγραψε ψήφισμα, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἐξ ἁπάσης ἔστω

58 Mon. βουλεύεσθε· ἀπὸ τοῦ κατὰ Ἀριστοκράτους καίτοι. 59 Vind. ποιλίκον. — contr. Aristocr. p. 690. 60 Vind. et Mon. προσελήλυθεν. Reisk. tacite correxit κατελήλυθεν. 61 ἀλλὰ τοῦτ' ἐστι τὸ δεινὸν usque ad litt. πέ. Mon. om. 62 Vind. Ἀριστοκράτους.

and Christmas Carols, by the Rev. Hilderic Friend, F.L.S. Illustrated by Kate Greenaway. Cassell, Petter, Galpin & Co. 1881. 4to. 5s.

Christmas Carols, Ancient and Modern. By Sir Henry Bishop, Professor Wilson, and other eminent writers. With Illustrations by Harvey, Franklin, Gilbert, Cattermole, Absolon, Duncan, Thomas Landseer, and Jewitt. Bell & Daldy. 1871. 8vo. 5s.

Christmas Carols, New and Old. Edited by H. Ramsden Bramley. With Music. Novello, Ewer & Co. 1871. 8vo. 5s.

Christmas Carols, Printed and Illustrated by Edmund Evans. Routledge & Sons

θεωρικά. Ἐσπούδαζέ ποτε ἡ Ἀθηναίων πόλις περὶ τὰς θέας [70] τῶν Διονυσίων καὶ μάλιστα διὰ τὴν τραγῳδίαν, ἐπὶ πλεῖστον προβᾶσαν λαμπρότητος, [71] χορηγῶν τε φιλοτιμίαις καὶ ποιητῶν ἀρεταῖς· συῤῥεόντων οὖν ἐπὶ τὴν θέαν τῶν ἀνθρώπων καὶ νυκτὸς τοὺς τόπους καταλαμβανόντων, οὐ μόνον ὀχλήσεις ἐκ τούτου [72] ἐγίνοντο, ἀλλὰ καὶ πληγαὶ καὶ μάχαι καὶ θραύματα· [73] ἔδοξεν οὖν τοὺς τόπους μισθοῦν, ἵνα ἕκαστος τὸν τόπον ἔχων [74] αὐτοῦ μὴ ὀχλοῖτο, φυλάττων καὶ προκαταλαμβάνων, μήτε ὑστερῶν ἀποστεροῖτο τῆς θέας· ἐπειδὴ δὲ ἠλαττοῦντο οἱ πένητες τῶν πλουσίων, πολλοῦ [75] καὶ ἑτοίμως μισθουμένων, ἡ πόλις ἐκ τῶν κοινῶν ἑκάστῳ παρεῖχε τὸ εἰς τοῦτο ἀνάλωμα· δραχμὴ δὲ ἦν τὸ διδόμενον, καὶ οὔτε πλέον ἐξῆν δοῦναι δραχμῆς, οὔτε ἔλαττον· ἐκλήθη οὖν θεωρικὸν τοῦτο δὴ [76] τὸ ἀργύριον, καὶ οἱ χαρίζοντες [77] αὐτὸ τὴν ἐπὶ θεωρικῷ ἀρχὴν ἄρχειν ἐλέγοντο· ταῦτα [78] ἐποίησε Περικλῆς, ἀρέσαι τῷ δήμῳ βουλόμενος· [79] ἐπιχειρήσαντος δέ τινος Ἀπολλοδώρου αὐτὰ ποιῆσαι στρατιωτικά, Εὔβουλός τις δημαγωγὸς ὤν, πλείονα τοῦ δήμου πρὸς ἑαυτὸν ἐπισπᾶσθαι εὔνοιαν βουλόμενος, νόμον ἔγραψε τὸν κελεύοντα θάνατον ἔχειν τὸ ἐπιτίμιον, εἴτις ἐπιχειρήσῃ μεταποιεῖν τὰ θεωρικὰ στρατιωτικά·

---

70 Med. 1. θεωρίας. 71 Vind. λαμπρότητος. 72 Med. 1. τούτων. 73 Vind. θραύματα. 74 Med. 1. σχών. 75 Med. 1. πολλοῦ. Vind. πολλοῖς. 76 δὴ Med. 1. om. 77 Vind. χειρίζοντες. Med. 1. χαρίζοντες. 78 Med. 1. ταῦτα δ' ἐπ. 79 Pro iis, quae sequuntur usque ad litt. πς'. habet Med. 1. τοῦ δὲ λόγου τούτου ἐστὶν ἡ ὑπόθεσις αὕτη· κακῶς οἱ Ἀθηναῖοι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ διακείμενοι, εἰς ἐκκλησίαν ἀθυμοῦντες ἀνελήλυθασιν· ὅ τοίνυν ῥήτωρ τὴν ἀθυμίαν παύειν πειρᾶται, οὐδὲν εἶναι λέγων θαυμαστὸν, εἰ ῥᾳθυμοῦντες κεκράτηνται (Cod. κεκράντηνται), καὶ εἰσηγεῖται, πῶς ἂν τῷ πολέμῳ χρήσαιντο ἄριστα. vide litt. ργ'.

διὰ τοῦτο ὁσάκις ἐν τοῖς Φιλιππικοῖς αὐτῶν ἐμνήσθη μόνον ὁ Δημοσθένης, ὥστε αὐτὰ λυθῆναι δὴ συνεβούλευεν, οὐ μέντοι καὶ ἔγγραφον ἐξέθετο ψήφισμα, τοῦτο γὰρ ἦν ἐπικίνδυνον, ὅμως τοῦτο λῦσαι οὐκ ἔπεισεν, εἰ μὴ τελευταῖον αὐτὴν εἰς πᾶσαν ἀπορίαν ἐλάσαντες, ἐποίησε τὰ χρήματα στρατιωτικὰ μὴ βουλόμενοι.

πγ'. Καὶ πάλιν[80] ἐν τῷ κατὰ Μειδίου· ἀλλ' ἵππον, ἵππον μὲν οὐκ ἐτόλμησε· ταῦτα κεῖνται ἐν τῷ κατὰ Μειδίου· „ἀλλὰ μὴν κἀκεῖνό γε ἐπίστασθε, ὅτι τῆς μὲν παράλου ταμιεύσας[81] Κυζικηνῶν ἥρπασε πλεῖον ἢ πέντε τάλαντα, ὑπὲρ ὧν ἵνα μὴ δῷ δίκην πάντα τρόπον περιωθῶν καὶ ἐλαύνων τοὺς ἀνθρώπους καὶ τὰ σύμβολα συγχέων τὴν μὲν πόλιν ἐχθρὰν τῇ πόλει πεποίηκε, τὰ χρήματα δ' αὐτὰ ἔχει, ἵππαρχος δὲ χειροτονηθεὶς λελύμανται τὸ ἱππικὸν ἡμῶν, τοιούτους θεὶς νόμους, οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τεθεικέναι, καὶ τῆς μὲν παράλου ταμιεύων τότε τὴν ἐπὶ Θηβαίους ἐποιεῖτο ἔξοδον εἰς Εὔβοιαν, δώδεκα τῆς πόλεως τάλαντα ἀναλίσκειν ταχθεὶς, ἀξιούντων ὑμῶν πλεῖν καὶ παραπέμπειν τοὺς στρατιώτας, οὐκ ἐβοήθησεν· ἀλλ' ἤδη τῶν σπονδῶν γεγονυιῶν, ἃς Διοκλῆς ἐσπείσατο Θηβαίοις, ἦκε, καὶ τότε ἡττᾶτο πλέον τῶν ἰδιωτικῶν τριήρων μιᾶς· οὕτως εὖ τὴν ἱερὰν τριήρη παρεσκευάκει. Ἱππαρχῶν τοίνυν, τί οἴεσθε τἆλλα·[82] ἀλλ' ἵππον, ἵππον οὐκ ἐτόλμησεν ὁ λαμπρὸς καὶ πλούσιος οὗτος πρίασθαι, ἀλλ' ἐπ' ἀλλοτρίου τὰς πομπὰς ἠγεῖτο, τοῦ Φιλομήλου[83] τοῦ Παιανιέως ἵππου,[84] καὶ ταῦτα πάντες ἴσασιν οἱ συνιππεῖς," καὶ ἐνταῦθα γοῦν ἐπὶ βεβαιώσει τοῦ ἤθους τὴν ἐπανάληψιν ἐποιήσα-

80 Mon. ἀλλ' ἵππον, ἵππον. (Mon. ἵππῳ) ἱππαρχῶν τοίνυν κ. τ. λ. ut paullo inferius. 81 Vind. ταμιεύσεως. corr. ex Dem. p. 570. 82 Mon. τἄλλα. 83 Mon. Φιλοκλί. 84 Vind. ἵππων. Mon. ἵππου· ἐνταῦθα οὖν ἐπὶ βεβ. — ἐποιήσατο, παριστῶν τὸ τοῦ Μειδ. ἦθος φειδωλὸν καὶ φιλοχρήμ.

το, ὥστε παραστῆσαι τὸ τοῦ Μειδίου ἦθος ὡς φιλοχρήματόν τε καὶ φειδωλόν.

πζ. Καὶ Ἡρόδοτος· φονεὺς μὲν τοῦ ἑαυτοῦ[85] ἀδελφοῦ· ἀλλὰ[86] περὶ τούτου ἐν τῷ τ' κεφαλαίῳ ἐροῦμεν διεξοδικώτερον· τέως δὲ νῦν πεζαῖς λέξεσι τὴν ἱστορίαν ὑμῖν παραθήσομαι, ὡς οἷόν τε συνελών. Ἄτυς παῖς ἦν τῷ Κροίσῳ· περὶ τούτου ἔδοξεν ὁ πατὴρ ὄναρ ἰδεῖν, ὡς ἀπολεῖται αὐτὸς ἀπὸ αἰχμῆς, ἐν δὲ τῷ αὐτῷ χρόνῳ σῦς ἐξελθὼν τὰ τῶν Μυσῶν ἔργα διέφθειρε, καὶ οἱ Μυσοὶ πρὸς Κροῖσον ἐλθόντες ἐκπέμψαι πρὸς τὸν τοῦ συὸς φόνον τινὰς τῶν λογάδων ἐδέοντο, συνεκπέμψαι δὲ σφίσι καὶ τὸν υἱόν. Ὁ μὲν οὖν Κροῖσος ὑπὸ τοῦ ὀνείρου πεφοβημένος τὸν υἱὸν ἐπὶ θήραν πέμπειν οὐδόλως ἠνείχετο, ὁ δὲ παῖς δυσφορῶν ἐπὶ τούτοις ἔπεισε τὸν πατέρα μόλις ἐπὶ τὴν θήραν μεθεῖναι αὐτόν. Κροῖσος οὖν καλέσας Ἄδραστόν τινα ξένον πρῶτον μὲν ξενίας ἀνέμνησεν· εἶτα καὶ φύλακα τοῦ παιδὸς καταστήσας ταύτην ἐζήτει παρ' Ἀδράστου τὴν ἀμοιβήν, τὸ φυλάξαι τὸν υἱὸν Ἄτυν ἀπήμονα· Ἄδραστος δὲ τὸν παῖδα φυλάττειν ἐπαγγειλάμενος πρὸς ἄγραν συνεξώρμα τῷ Ἄτυϊ. Ἀφικόμενοι δὲ εἰς τὸ ὄρος, ἔνθα τὸ θηρίον εἶχε τὴν δίαιταν περιστάντες κυκλόθεν αὐτὸ κατηκόντιζον, μεθ' ὧν καὶ Ἄδραστος ἐπὶ τὸν σῦν ἀφεικὼς τὴν αἰχμὴν τοῦ μὲν ἀπέτυχεν, ἔτυχε δὲ τοῦ παιδός· ὁ μὲν οὖν βληθεὶς τοῦ ὀνείρου τὴν φήμην ἐξέπλησεν κατ' αὐτὸν εἰπεῖν τὸν Ἡρόδοτον, Κροῖσος δὲ τῇ ἀγγελίᾳ διαταραχθεὶς τῷ Ἀδράστῳ κεχόλωτο, ὅτι ὃν φύλακα τῷ υἱῷ συνεξέπεμψε, τοῦτον πολεμιώτατον εὗρηκε· παρῆσαν δὲ

85 Mon. ἑωϋτοῦ. 86 Mon. historiam breviter ita narrat: περὶ τοῦ Ἀδράστου τοῦτό φησιν, ὃς φόνον τοῦ ἀδελφοῦ ποιησάμενος, καὶ τῷ Κροίσῳ ἐπιξενωθεὶς καὶ πρὸς θήραν τῷ τούτου παιδὶ Ἄτυϊ συνεξελθών, καὶ βαλὼν κατὰ τοῦ θηρὸς καὶ ἀποτυχὼν ἐπήνεγκε πληγὴν καιρίαν τῷ Ἄτυϊ.

μετὰ τούτου οἱ Λυδοὶ, φέροντες τὸν παῖδα νεκρόν· εἵπετο δὲ καὶ ὁ Ἄδραστος ἐλεεινὸς, εἰς σφαγὴν προτείνων τὸν τράχηλον· ἰδὼν δὲ Κροῖσος οὕτω τοῦ σχήματος ἔχοντα, ἀπέχω, φησὶ, τὴν δίκην, ὦ ξένε, παρὰ σοῦ. Ἄδραστος δὲ φονεὺς μὲν γεγονὼς τοῦ ἑαυτοῦ ἀδελφοῦ, φονεὺς δὲ τοῦ καθήραντος, ἑαυτὸν τῷ τύμβῳ ἐπικατέσφαξεν.

Cap. X.

Περὶ τοῦ κατὰ πεῦσιν σχήματος.

Τὸ κατὰ[1] πεῦσιν σχῆμα ἀναντίῤῥητόν ἐστιν. Ἐνταῦθα διδάσκει, πότε χρὴ τὸν ῥήτορα ἐρωτᾷν, καὶ τὴν πεῦσιν παραλαβεῖν, καὶ πόσας καὶ ποίας ἡ πεῦσις ἔχει μορφάς. εἶτ' οὖν κατὰ πόσους τρόπους ἐκφέρεται· γένος δὲ οὖσα ἡ ἐρώτησις διαιρεῖται εἰς δύο εἴδη, τὴν πεῦσιν καὶ τὴν ἐρώτησιν, ἥτις καὶ ἐν πολιτικοῖς λόγοις καὶ ἐν διαλόγοις θεωρεῖται, καὶ ἔστι πρὸς τὴν πεῦσιν μὲν μὴ μοναχῶς ἀποκρίνασθαι, ἀλλὰ διεξοδικῶς, ἡ γὰρ πεῦσις διὰ πλειόνων δέχεται τὴν ἀπόκρισιν. οἷον πρὸς τό·

Τίς, πόθεν εἰς ἀνδρῶν;

ἠναγκάσθη[2] ὁ Γλαῦκος ἄνωθεν γενεαλογῆσαι· ἔστι γὰρ πεῦσις, πρὸς ἣν διεξοδικῶς ἀποκρίνασθαι δεῖ, καὶ ἡ μέν ἐστιν ἁπλῆ, ἡ δὲ οὐχ ἁπλῆ· ἁπλῆ μὲν, οἷον ποῦ μένει Λίων; οὐχ ἁπλῆ δὲ, οἷον· ἐμόν γε τίς ἐχθρὸν ἢ τῆς πόλεως φήσειεν εἶναι; πρὸς δὲ τὴν ἐρώτησιν καταφῆσαι δεῖ μόνον ἢ ἀποφῆσαι· ἐρώτησις γάρ ἐστι, πρὸς ἣν καταφατικῶς ἢ ἀποφατικῶς ἀποκρίνεσθαι δεῖ· ἔστι δὲ καὶ αὕτη διττὴ, ἡ μὲν ἁπλῆ, ἡ δὲ οὐχ ἁπλῆ· καὶ ἁπλῆ μὲν

---

1 Mon. omnia usque ad litt. πθ'. om. 2 Vind. ἀναγκάσθη. — Il. ζ. 123. quaerit Diomedes: τίς δὲ σύ ἐσσι, φέριστε.

ἡ τοιάδε· ἆρ᾽ οὖν δοίητέ μοι κίναιδον αὐτὸν εἰπεῖν; οὐχ ἁπλῆ δὲ ἡ τοιαύτη· πότερον [3] ἠδίκει καὶ παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν, ἢ οὔ; ἔστι δὲ καὶ ἄλλην διαφορὰν εἰπεῖν, ὅτι ὁ μὲν ἐρωτῶν οἶδεν, ἃ ἐρωτᾷ, μόνον δὲ τὴν συγκατάθεσιν ζητεῖ, ὁ δὲ πυνθανόμενος οὐκ οἶδε περὶ ὧν πυνθάνεται. Ἰστέον δὲ, ὅτι ἡ πεῦσις ἐνταῦθα ἀντὶ ἐρωτήσεως παραλαμβάνεται. Μέθοδος δὲ καὶ τοῦτο δεινότητος, τὸ εἰδέναι, πότε δεῖ τοὺς ἀκούοντας ἐρωτᾶν, καὶ πότε ἑαυτόν· ὅτε γὰρ θέλει ὁ ῥήτωρ ἄλλο τι εἶναι τὸ ἐρωτώμενον, ἑαυτὸν ἐρωτᾷ· ἐνίοτε δὲ καὶ τὸ πάντως ἂν ὑπ᾽ ἀλλήλων ἐρωτηθὲν ἑαυτῷ ἐπιφέρει, οἷον· τίνος ἕνεκα ταῦτα λέγω; ἵν᾽ εἰδῆτε, ὦ Ἀθηναῖοι· ποτὲ δὲ καὶ ὡς ἠρωτηκότος [4] τινὸς ἀποκρίνεται, οἷον, ποῖ δὴ [5] προσορμιούμεθα; ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων. Ἐνίοτε δὲ καὶ καθ᾽ ὑπόθεσιν ἐρωτᾷ· εἶτις ὑμᾶς ἔροιτο, τί πονηρότατον νομίζετε ἐν τῇ πόλει; οὐ δεῖ δὲ ἐρωτᾶν πολλάκις, ὅταν ἐστὶν εὐχερῶς ἀποκρίνεσθαι. Κἂν γὰρ ἐρώτημά τι εὐστόχως λυθείη, ἀνατέτραπται πᾶς ὁ ἀγών· λύεται δὲ τὰ ἄπορα ἐρωτήματα, ἢ κατὰ ἀντερώτησιν ἢ κατὰ ἀναβολὴν ἢ κατ᾽ ἀσφάλειαν ἢ κατὰ αἰτιολογίαν ἢ κατὰ τὸ ἀνακόλουθον ἢ κατὰ λύπην τοῦ ἀντιδίκου· κατὰ ἀντερώτησιν, ὡς οἱ πλουτοῦντες ἐρωτώμενοι, πότερον ἀδικοῦσιν ἢ μή; ἀπαντῶσι, κατὰ ἀντερώτησιν· ὑμεῖς δὲ πότερον ὡς φίλους ἢ ὡς ἐχθροὺς ἐρωτᾶτε; καὶ ὁ Δημάδης ἐρωτηθείς, πῶς οὖν πολεμήσομεν; ἀπεκρίνατο, πῶς οὖν τὴν εἰρήνην ἄξομεν; κατὰ δὲ ἀναβολὴν, ὡς Ἰφικράτης ἐρωτηθείς, εἰ ὑπεδέξατο Λακεδαιμονίους, οὐκ ἔχων ἀρνήσασθαι φησιν, ἐμοί τοσοῦτος καιρὸς ἐγένετο πρὸς τὴν ἀπόκρισιν, ὅσος τούτῳ καιρὸς πρὸς τὴν ἐρώτησιν ἐγένετο, ῥᾳδίως ἂν ἐλέγξαιμι τὸν λόγον. κατὰ δὲ ἀσφάλειαν, ὅταν δεικνύω-

---

3 pro cor. p. 248. 4 Vind. ἐρωτηκότος. 5 Phil. I. p. 52.

Lee (Sir Sidney). A Life of William Shakespeare. With 40 Illustrations. Crown 8vo. 6s.

Lees (J. A.) and Clutterbuck (W. J.). B.C. 1887, A Ramble in British Columbia. With Maps and Illustrations. Post 8vo. 6s.

Lehmann (R. C.). Harvard Oxford and Cambridge. A Record of Sport 1836-1877. With Portraits. Crown 8vo. 7s. 6d.

Leighton (Robert). The Complete Angler; or, Contemplations and Rules of Peace. With Introduction and Notes by Sir Edward Grey, and Illustrations by G. Mason. Crown 8vo. 6s.

Lilly (W. S.). Four Centuries of Church and State. Crown 8vo. 6s.

Lindsay (W. M.). Plautus and Terence. Crown 8vo. 6s.

Lodge (Eleanor C.). Peeresses of the Reign of Queen Victoria. Crown 8vo. 6s.

Lodge (Henry Cabot). Life of George Washington. With Portraits and Maps. 2 vols. Crown 8vo. 12s.

Lodge (Sir Oliver). Signalling across Space without Wires. With Diagrams. Crown 8vo. 6s.

Lodge (Sir Oliver). The Substance of Faith Allied with Science. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Modern Problems. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Pioneers of Science. Crown 8vo. 6s.

Lodge (Sir Oliver). The Work of Hertz and some of his Successors. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Easy Mathematics. Crown 8vo. 6s.

Lodge (Sir Oliver). The Ether of Space. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Elementary Mechanics. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Signalling through Space without Wires. With Diagrams. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Man and the Universe. Crown 8vo. 6s.

Lodge (Sir Oliver). The Substance of Faith Allied with Science. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Modern Problems. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Pioneers of Science. Crown 8vo. 6s.

Lodge (Sir Oliver). The Work of Hertz and some of his Successors. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Easy Mathematics. Crown 8vo. 6s.

Lodge (Sir Oliver). The Ether of Space. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Elementary Mechanics. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Signalling through Space without Wires. With Diagrams. Crown 8vo. 6s.

Lodge (Sir Oliver). Man and the Universe. Crown 8vo. 6s.

ἐπισκεψάμενος ἔσωσε, καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ἐν χειρὶ Μωσέως καὶ Ἀαρὼν τῶν ἐκλεκτῶν αὐτοῦ· τί γίνεται καὶ τί θαυματουργεῖται, ἃ βίβλοι καὶ μνῆμαι φέρουσιν; ἐκ γὰρ τοῦ εἰπεῖν τί γίνεται; καὶ ἐρωτᾷν ἑαυτὸν, προσεκτικὸν ἐποίησε τὸν ἀκούοντα· σαφήνεια δὲ ὡς ἐν τῷ ἐπιταφίῳ, τίνος διώκοντος ἢ συναναγκάζοντος; οὐδενός· τίνων ἱππέων; ποίων κυνῶν; τίνος ὑλακῆς, ἢ κραυγῆς; ἐνταῦθα ἡ ἐρώτησις γέγονεν, ἵνα παραστήσῃ σαφῶς, ὅτι θεία τις ἦν δύναμις ἡ ταῦτα ποιοῦσα. Ἔλεγχος, ὡς τὸ, τί οἶν ἔδει ποιεῖν, ὦ πρὸς τῆς τριάδος αὐτῆς, μὴ ὅτι τὸν μέγαν Βασίλειον, ἄλλον δέ τινα τῶν πολὺ μετ' ἐκεῖνον; ἐρωτᾷ γὰρ, ἵνα ἐλέγξῃ τοὺς λέγοντας, ὅτι θρασὺς ἦν ὁ μέγας Βασίλειος, ἐπεξερχόμενος τοὺς δικαστάς.

πθ'. Ἀναντίῤῥητόν ἐστιν ἐκεῖνο, πρὸς ὃ ἀνταποκριθῆναί τις οὐ δύναται.

ρ'. Γίνεται δὲ ἢ περὶ τῶν φύσει ὁμολογουμένων, ἢ περὶ τῶν [10] λόγῳ προαποδεδειγμένων, ὥσπερ ὁ θεολόγος πυνθάνεται ἐν τῷ περὶ τῆς πληγῆς τῆς χαλάζης λόγῳ, λέγων, πόθεν ταῦτα; καὶ τίς ἡ αἰτία τοῦ θραύσματος; τοῦτο γὰρ πρόδηλόν ἐστιν, ὅτι ἐξ ἁμαρτιῶν ἡμῖν ἐπέρχεται ἡ θραῦσις, ἤγουν ἐπὶ τῶν ὁμολογουμένων ἢ ἐπὶ τῶν τῷ λόγῳ προαποδεδειγμένων. οἷόν ἐστι τὸ τοῦ Δημοσθένους· „ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος [11] σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ τὰ ἑξῆς, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν ἢ οὔ;" καὶ πάλιν „ἐμὲ, [12] ὦ τριταγωνιστὰ, τίνος [13] φρόνημα λαβόντα τοῦτο συμβουλεύειν ἔδει;" καὶ ὁ θεολόγος [14] εἰς

10 ἢ περὶ τῶν λόγῳ προαποδ. ex Mon. recepi. 11 Vind. ἐκείνη. pro cor. p. 248. 12 Mon. ἐμὲ μέν. pro cor. p. 297. 13 τίνος Mon. om. 14 καὶ ὁ θεολόγος usque ad litt. ρβ'. Mon. om.

τὸν ἐξισωτήν· „τί πρὸς ταῦτα λέγεις, τί γράφεις, ὦ φίλων ἄριστε καὶ ἡλίκων, καὶ παιδευτῶν ἡμῖν κοινωνὲ καὶ παιδευμάτων, εἰ καὶ νῦν ἡμᾶς εἰς τὴν κρείττω μοῖραν ὁ θεὸς ἔταξεν, ὑμᾶς ταῦτα παιδεύειν τοὺς ἐν ἐξουσίᾳ, καὶ τὰ ἐξῆς; ἃ πατρίδος εὐσεβοῦς καὶ γένους καὶ γονέων ἱερῶν ἱερόν φυτόν· ὦ ῥίζα τέκνων ἱερωτάτη· πῶς πότε ἀποδέχῃ τοὺς ἐμοὺς λόγους; ἆρά τι πείθομεν ἢ δεήσει κατεπᾴδειν μακρότερα; τοῦτο μὲν οὐκ εἰκάζειν ἀλλ᾽ εἶ εἰδέναι χρή, ὅτι γε οἱ παρ᾽ ἐμοῦ λόγοι ἐκ πλείονος ἔχουσιν."

ρά. Ἀναντίῤῥητον δὲ ὂν τὸ σχῆμα τρεῖς ἔχει μορφάς. Ἀντίῤῥησίς ἐστι λόγος τὸ πιθανὸν ἑτέρου λόγου διαβάλλων, οἷον ἂν ἐπιχειρήσῃ τις τὰ λεγόμενα ἀσαφῆ ἢ ἀδύνατα ἢ ἀπίθανα ἢ ψευδῆ, ἢ μὴ πρέποντα δεικνύναι, ἢ πλεονάζοντα ἢ οὐκ ἐναργῆ, ἀλλὰ συγκεχυμένα ἢ μαχόμενα αὐτὰ ἑαυτοῖς, ἢ παράνομα ἢ αἰσχρά, ἢ ἀπρεπῆ ἢ ἀσύμφορα, ἢ οὐδὲν μᾶλλον ὑπὲρ αὐτοῦ ἢ τοῦ ἐναντίου λεγόμενα, ἃ ἔνιοι καλοῦσιν ἀντιστρεφόμενα, ἢ παρὰ τὴν προσήκουσαν τάξιν εἰρημένα· τὴν δὲ γυμνασίαν οὕτω ποιησόμεθα· πρῶτον μὲν ἀντιλέξομεν τοῖς ἐπιχειρήμασιν, ὅπερ πεποίηκέ τις τῶν νεωτέρων· πρὸς γὰρ τὸ ῥηθὲν ὑπὸ Δημοσθένους, [15] „τὸ λαβεῖν οὖν τὰ διδόμενα ἔννομον εἶναι ὁμολογῶν, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ," ἀπήντησεν οὕτως. ὦ Δημόσθενες, δίδωσι μέν, ὅτε βούλεταί τις, λαμβάνει δὲ, ὅτε ἔξεστι, μετὰ δὲ τοῦτο καὶ προσηνῶς ἀντεροῦμεν, ὡς τὸ ὅλον κεφάλαιον, ὅπως ἔξις τις γένηται, ὥστε καὶ ὅλῳ λόγῳ ἀντιγράψαι.

ρβ. Ἀναντίῤῥητον δὲ ὂν τὸ [16] σχῆμα τρεῖς ἔχει μορφάς· μορφὰς τοὺς σχηματισμοὺς νοητέον· ὃ γὰρ ἡ μορφὴ τῷ σώματι, τοῦτο τῷ λόγῳ τὸ σχῆμα· ἐρωτᾷ οὖν, φησὶν, ὁ λέγων ἢ τοὺς ἀκούοντας ἢ τοὺς ἀντι-

15 pro cor. p. 267. 16 Mon. ὄντως σχῆμα.

λέγοντας, ἢ ἑαυτόν· ἑκάστη δὲ τῶν ἐρωτήσεων διάφορον ἔχει τὸ ἀποτέλεσμα· ἡ μὲν γὰρ πρὸς τοὺς ἀκούοντας ἐρώτησις ἐλεγκτικὴ, τουτέστιν ὀνειδιστικὴ, ἡ δὲ πρὸς τοὺς ἀντιλέγοντας ἀνατρεπτικὴ τῶν παρ' αὐτῶν προτεινομένων, ἡ δὲ πρὸς ἑαυτὸν τοῦ ῥήτορος πεῖσις καὶ τοὺς ἀκούοντας ἐπιστρέφει εἰς προσοχὴν ἐπισπωμένη, καὶ τὴν πίστιν προκαταλαμβάνει· τουτέστι τὰ παρά τινων ὑφορμῶντα λύει καὶ πρὶν εἴπωσιν αὐτά. [17]

ργ'. Ἡ πρὸς τοὺς ἀκούοντας πεῦσις ἐλεγκτική· οἷον πότε, [18] ὦ Ἀθηναῖοι; πότε, ἃ δεῖ πράξετε; τοῦτο κεῖται ἐν τῇ πρώτῃ τῶν Φιλιππικῶν. λέγει γὰρ ὁ Δημοσθένης, ὁρᾶτε, ὦ Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας ἄνθρωπος, ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ, [19] καὶ λόγους ὑπερηφάνους, ὡς φασι, λέγει, καὶ οὐχ οἷός τέ ἐστιν, ἔχων, ἃ κατέστραπται, μένειν ἐπὶ τούτοις, ἀλλ' ἀεί τι προσπεριβάλλεται κύκλῳ, καὶ πανταχοῦ μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζεται· πότε οὖν, ὦ Ἀθηναῖοι, πότε, ἃ χρὴ πράξετε; [20] ἐπειδὰν τί γένηται; ἐπειδὰν νὴ Δι' ἀνάγκη τις ᾖ; νῦν δὲ τί χρὴ τὰ γινόμενα ἡγεῖσθαι; Ἡ δὲ ὑπόθεσις [21] τοῦ λόγου τούτου αὕτη· κακῶς Ἀθηναῖοι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ φερόμενοι εἰς ἐκκλησίαν ἀθυμοῦντες συνεληλύθασιν· ὁ τοίνυν ῥήτωρ τὴν ἀθυμίαν παύειν πειρώμενος, οὐδὲν εἶναι λέγων θαυμαστὸν, εἰ ῥᾳθυμοῦντες κεκράτηνται, καὶ εἰσηγεῖται, πῶς ἂν τῷ πολέμῳ χρήσονται ἄριστα, κελεύει δὲ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω πολιτικὴν, ἥτις οἴκοι μένουσα πρὸς τὰς τῶν ἐπικαίρων χρείας ὑπάρξειεν ἕτοιμος, ἑτέραν δὲ ἐλάτ-

---

17 Vind. ἅπαντα. αὐτὰ 18 Mon. πότε οὖν. Phil. I. p. 42. 19 Vind. ἀπολεῖ. Mon. ἀπειλεῖ. 20 Vind. πράξεται. 21 ἡ δὲ ὑπόθεσις usque ad litt. ῥέ. Mon. om.

